A f. 159v **ἀληθέστατα ἐννοοῦσαι τὴν | ἀρίστην τε καὶ εὐδαιμονεστάτην ἀνύωσιν ἐκεῖ ζωήν, συντηρῶν αὐτὰς ἐν τῷ ἀποδοθέντι ἑκάστῃ τῆς εὐδαιμονίας ὅρῳ, ὅπως ἂν μηδέποτε ἀποπίπτοιεν, (ὃ ἔνιαι πεπονθυῖαι μυρίων κακῶν σφίσι τε αὐταῖς αἴτιοι καὶ τῷ ἀνθρωπίνῳ γένει εἰσὶ καὶ γίνονται ὁσημέραι), ἀλλ' οὐ μεταβάλλει αὐτὰς πρὸς τὸ ἄμεινον ἢ βελτιοῦσθαι προθυμουμένας χειραγωγεῖ. Οὐ γὰρ ἄν τι αὐταῖς ἄμεινον γένοιτο ἐν τῷ ἐσχάτῳ τῆς εὐδαιμονίας ἱδρυμέναις ἀπὸ Θεοῦ βαθμῷ καὶ αὐταρκουμέναις ἑκάστῃ κατὰ τὸ εἶδος· (φημὶ δὲ τὸ εἶδος, ὅτι εἴδεσι διακεκριμέναι εἰσὶ καὶ ἐν τῇ ἀτομότητι αὐτῶν εἶδος ἐστὶν ἄλλο αὐτῶν ἑκάστῃ). Καλῶς ἄρα ἐλέγετο ὅτι κρεῖττον ἢ κατὰ τὰ ἄλλα πάντα τοῦ ἀνθρώπου προμηθεῖται τὸ θεῖον κἀν τῇ ἀνθρωπίνῃ φύσει τὸ πάνσοφον καὶ πολυειδὲς τῆς οὐρανίου ἐπιμελείας, ἅμα δὲ καὶ εὐμενέστατον διαφαίνεται. Ἀλλὰ χωρίσασιν ἐπισκεπτέον ἡμῖν τὴν περὶ τὸν ἄνθρωπον κηδεμονίαν τύπῳ τε καὶ ὁλοσχερῶς.**

7. Τῆς μὲν οὖν ψυχῆς τοῦ ἀνθρώπου, ὡς εἴρηται, πρόνοιαν ποιεῖται ὁ Θεὸς μάλα ἐπιμελῶς, ὅπως τὸν οἰκειότατον καὶ λυσιτελέστατον ἑλομένη βίον ἐνταῦθα καὶ ὡς οἷόν τε ἐξανύσασα καὶ κατὰ λόγον καὶ νόμον βεβιωκυῖα τοῦ κειμένου αὐτῇ τύχοι τέλους καὶ οὗ χάριν τοιαύτη γέγονε· τί

6.,2 λειτουργὰ πνεύματα] Hebr. 1, 13-14. **5** Προνοεῖ…**11** προθυμουμένας χειραγωγεῖ] Cf. Procl. Is., *dec. prov.* 7, 46 (199, 1-5).

6.,1 Αὐτῶν…**4** ζῶσι] Cf. *SG* III, 79.1 (*Taurin.* XXIII, 222r 6-8); cf. *SG* III, 79.4-5 (*Taurin.* XXIII, 220r 18-28). **5** Προνοεῖ…**14** ἑκάστῃ] Cf. *ST* I, Q50 A.5 Resp. (*Coisl.* 280, 49v 3-9); cf. *ST* I, Q50 A.5 Resp. (*Coisl.* 280, 49v 23-50r 2). **8** ὃ…**9** ὁσημέραι] Cf. *ST* I, Q63 A.5 Resp. (*Coisl.* 280, 110v 15-19). **13** φημὶ…**14** ἑκάστῃ] Cf. *SG* II, 95.4 (*Taurin.* XXIII, 155r 5-9); cf. *ST* I, Q50 A.4 Resp. (*Coisl.* 280, 49r 11-14). **7.,1** Τῆς…**4** γέγονε·] Cf. *SG* II, 87.6 (*Taurin.* XXIII, 146r 14-20). **4** τί…**6** συνηγορεῖ] Cf. *ST* I, Q93 A1 Resp. (*Coisl.* 280, 289v 1-6).

6.,1 φαμὲν] καλοῦμεν E **13** φημὶ…εἶδος] *om.* E

γε ἄλλο, εἰμὴ εἰκὼν **ἐν γῇ τοῦ Θεοῦ, ὡς τὰ θεῖα λόγια ἀποφαίνεται καὶ αὐτοῖς τὰ ἔργα συνηγορεῖ; Καὶ οὐ μόνον προνοεῖ τῆς φύσεως ὅλης ἀπ' ἀρχῆς ἄχρι καὶ νῦν ἀεὶ τὸν ἀνθρώπινον καταρτίζων λόγον νόμοις τε καὶ παραδείγμασι βίου ἀρίστου, ἃ τῷ ἀνθρωπίνῳ γένει κατέπεμψεν, ἀλλὰ καὶ ἑκάστης ψυχῆς ἰδικώτερον προνοεῖ, ὅπως ἂν ἐφαρμόζοιτο τοῖς τῇ φύσει δεδομένοις ἐξ αὐτοῦ ἀγαθοῖς. Εἰ δὲ πολλοὶ ἀποφοιτῶσι τῶν θείων μαθημάτων, ἢ οὐδὲ τὴν ἀρχὴν ἐθέλουσιν αὐτὰ ζητεῖν, καὶ διὰ τοῦτο ἐνταῦθά τε τυφλοὶ διαπορεύονται, διανοίᾳ καὶ θελήσει διεστραμμέναις φρονοῦντές τε καὶ βιοῦντες ὃν ζωώδη καλοῦμεν βίον, καὶ ἐπειδὰν ἀπαλλαγῶσι τοῦ σώματος, τοῦ μὲν τῇ φύσει κειμένου τέλους οὐκ ἀξιοῦνται, εἰς δὲ τὸν τῆς ἀθλιότητος κατασπῶνται τόπον, ὅς ἐστιν οἰκεῖος τῇ τοιαύτῃ αὐτῶν ζωῇ, τοῦτο οὐ χρὴ θαυμάζειν. Οὐ γὰρ δὴ τοῦτο παρὰ τὸν θεῖον σκοπόν ἐστι, | τὸ ἐνδέχεσθαι καὶ τοιούτους εἶναι τινάς. Μηδὲ** A f. 160r **ἐνδέχεσθαι γὰρ τοῦτο γὲ οὐκ ἂν οἷόν τε ἦν (ἕως ἂν ἄνθρωποι ὦσι τῇ φύσει), προαίρεσις δέ τῶν ἐν ἀνθρώποις τὸ βέλτιστον καὶ ὃ τοῦ ἐν αὐτοῖς ἴδιον λόγου καὶ ᾧ τῇ θείᾳ πῃ ἐξομοιοῦνται ζωῇ. Οὔτ' ἂν οὖν συνήνεγκεν αὐτοῖς βιάζεσθαι ἐπὶ τὸ ἀγαθόν, οὔτε οἷόν τ' ἂν ἦν, ἕως ἂν προαιρέσει δύναιντο χρῆσθαι ἄνθρωποι ὄντες, οὔτε, εἰ μὴ ἄγοιντο πρὸς τἀγαθὸν ἢ ἀπάγοιντο αὐτοῦ βιαζόμενοι, ἀλλ' αἱρούμενοι καὶ ἑκόντες, θαυμαστόν, ὅτι οἱ μὲν προῄρηνται τὰ βελτίω, οἱ δ' ἐπὶ τὰ χείρω ὥρμηνται, οὔτε ἡ πονηρία τῶν ἀνθρώπων τοῦ περὶ αὐτοὺς ἐπικρατεῖν δόξειεν ἂν εὐλόγως θείου σκοποῦ.** Εἰ γὰρ τὸ βέλος γνώμην εἶχεν, ὥστ' ἀφιέμενον, ὅμως ἔρχεσθαι καὶ ἑκὸν ἐπὶ τὸν σκοπὸν ἢ παραφέρεσθαί ποι καὶ διαπίπτειν, καὶ τοιοῦτον αὐτὸ ὁ ποιῶν ἐποίει θέλων τε καὶ δυνάμενος, ὁ αὐτός γε ὢν καὶ ποιητὴς αὐτοῦ καὶ τοξότης, ἡ μὲν ἀγαθὴ αὐτοῦ πρόνοια διεφαίνετ' ἂν ἐν τῷ προθεῖναι μὲν τὸν

7.,17 Μηδὲ…**20** ζωῇ] Cf. Jos. Br., *Cruc. IV* 317; *ibid*., 317-318. **20** Οὔτ…**26** σκοποῦ] Cf. Nic. Meth., *vit. term*. I, 233; cf. Jos. Br., *Cruc. IV* 317. **26** Εἰ…**31** ἄγειν·] Cf. Dem. Cyd*., de contemn. morte* XIII (24, 19-22).

---

10 Εἰ…**16** θαυμάζειν] Cf. *ST* I, Q64 A.4 Resp. (*Coisl*. 280, 120v 9-11). **16** Οὐ…**20** ζωῇ] Cf. *SG* III, 5.3 (*Taurin*. XXIII, 163r 28-33). **20** Οὔτ…**26** σκοποῦ] Cf. *SG* III, 73.4 (*Taurin*. XXIII, 217r 32-34). **26** Εἰ…**35** ἐθελοκακία] Cf. *SG* III, 2.2 (*Taurin*. XXIII, 160v 36-161r 1); cf. *SG* III, 16.4 (*Taurin*. XXIII, 170r 22-29); cf. *SG* III, 24.4 (*Taurin.* XXIII, 176v 17-24); cf. *SG* III, 64.5 (*Taurin.* XXIII, 207v 19-24); cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 117r 1-4).

7.,17 Μηδὲ] Μὴ B **18** γὲ] *om*. A **21** οὔτε…ἦν] οὔτ'ἂν οἷόν τ' ἦν B **22** ἄγοιντο πρὸς] αὐτοῦ *add. post* ἄγοιντο E **27** ποι] πη E **28** ὁ…29 τοξότης] *comm. in marg. dext.* A m^2 | γε] τε E

σκοπὸν καὶ οἰκεῖον τῇ δυνάμει τοῦ βέλους, ἀφεῖναι δὲ πρὸς αὐτὸν εὐφυῶς καὶ ἠρέμα τι καὶ συνεπωθεῖν, εἰ βούλοιτο καὶ ἑαυτὸ ἄγειν· **εἰ δὲ ᾧδέ που παραφερόμενον καὶ οὐχ ἑπόμενον τῷ καλῶς ἀφιέντι τε καὶ συνεπωθοῦντι ἢ καὶ ὁδοποιοῦντι μὴ ἐφίκοιτο τοῦ σκοποῦ, ἀλλ' αὐτοῦ που καταπατοῖτο κείμενον, οὔτ' ἂν ἀσθένεια τῆς ἐπ' αὐτῷ προνοίας εἴη τοῦτό γε οὔτε ἐθελοκακία. Οὕτω δὴ καὶ Θεὸς προνοεῖ μὲν ἑκάστου ἀνθρώπου, ὅπως ἂν ὡς βέλτιστος γεγονώς, καὶ τῷ μὲν νῷ τἀληθὲς ἐκζητήσας, ὃ τέλος οἰκεῖον αὐτῷ, τῇ δὲ θελήσει τὸ ἀγαθόν, τῇ διπλῇ ταύτῃ ὁδῷ εἰς τὸν τῆς εὐδαιμονίας ἀξίως ἀναχθῇ τόπον. Καὶ ἀνάγονταί γε ὡς πλεῖστοι, ἀλλ' οὐδένα βιάζεται, ὥστε καὶ μὴ βουληθέντα ἂν λαβεῖν ὅπερ αὐτῷ πρόκειται ἀγαθόν· τοῦτο γὰρ ἀδύνατον ἂν ἦν διὰ τὰ εἰρημένα. Εὐλόγως δὲ καὶ ὁ διττὸς τοῖς ἀνθρώποις τόπος ἡτοίμασται· εἰ γὰρ ἀιδίως ζῆν ἔδει αὐτοὺς τοῦ σώματος ἀπαλλαττομένους, οὐκ ἂν ὁμοίως ἔδει ἐκεῖ ζῆν τοὺς μὴ ὁμοίως ἐνταῦθα προῃρημένους μήτε τῶν αὐτῶν ἐπιθυμήσαντας διὰ βίου,**

A f. 160v **οὔτε συνεῖναι δίκαιον ἦν τοὺς πλεῖστον κἀνταῦθα τῇ | προαιρέσει ἀφεστηκότας, ἀλλὰ τοὺς μὲν κεκαθαρμένους τε καὶ φιλοσοφήσαντας εἰς τὸν τοιούτοις πρέποντα ἀφικνεῖσθαι τόπον, τοὺς δὲ τῶν αἰσθητικῶν ὀρέξεων ἐμπλησθέντας καὶ τὴν χρείαν τῆς ἐνταῦθα ζωῆς ἀγνοήσαντας ἐκεῖ μὲν οὐ παραγίνεσθαι** (ἀκάθαρτος γὰρ οὐδεὶς εἰσέλθοι δι' ἐκείνης τῆς πύλης, **ὁ ἱερὸς ἔφη λόγος**), **σκότους δὲ καὶ ἀθλιότητος γέμοντι ἐναπολαμβάνεσθαι χώρῳ. Τούτοιν τοῖν χωρίοιν καὶ ταῖν διατριβαῖν ὁ μέν ἐστι κατὰ φύσιν τῷ ἀνθρώπῳ ἡτοιμασμένος καὶ ἀποδιδόμενος τοῖς κατὰ φύσιν βεβιωκόσιν, ὁ δὲ ἀπότευξίς ἐστι τοῦ οἰκείου τέλους τοῖς μὴ ἐπιθυμήσασιν αὐτοῦ μήτε ἐπιμεληθεῖσι τυχεῖν. Καὶ τὸν μὲν ἡ ἀγαθότης τοῦ Θεοῦ ἑτοιμάζει τῆς δικαιοσύνης αὐτοῦ συμψηφιζομένης (ἀγαθὴ γάρ ἐστι καὶ αὐτή), τὸν δὲ ἡ θεία δικαιοσύνη τῆς ἀγαθότητος οὐκ ἀντιλεγούσης· καὶ αὐτὴ γὰρ τὰ δίκαια βούλεται. Σοφώτατα δὲ καὶ τῆς σωματικῆς τοῦ ἀνθρώπου**

48 ἀκάθαρτος…πύλης] Cf. Par. II. 23.19; cf. Is. 52.1-2; cf. Sap. 7, 14.

30 οἰκεῖον…βέλους] Cf. *SG* III, 3.2 (*Taurin.* XXIII, 162r 1-3). **35** Οὕτω…**38** τόπον] Cf. *SG* III, 26.16 (*Taurin.* XXIII, 180r 36-180v2). **50** Τούτοιν…**56** βούλεται] Cf. *SG* III, 140.3-4 (*Taurin.* XXIII, 278r 27-32); cf. *SG* III, 142.1 (*Taurin.* XXIII, 279v 38-280r 7). **56** Σοφώτατα…**58** ὁδηγοῖτο] Cf. *SG* III, 37.7 (*Taurin.* XXIII, 184v 9-12).

35 καὶ Θεὸς] ὁ *add. ante* Θεὸς E **52** ἐπιθυμήσασιν] ἐπιμήσασιν *cor.* ἐπιθυμήσασιν E

προνοεῖται ζωῆς ἐνταῦθα, οὐ πρὸς αὐτὸ τὸ ζῆν μόνον, ἀλλὰ καὶ ὅπως ἡ ψυχὴ αὐτῷ μήτε ἐμποδίζοιτο ὑπ' αὐτῆς πρὸς τὸ τέλος καὶ ὁδηγοῖτο.

8. Ὅτι μὲν οὖν πάντων ὧν πεποίηκεν ὁ Θεὸς καὶ ποιεῖ προνοεῖ, καὶ διαφόρως κατὰ τὴν τάξιν τῆς ἑκάστων οὐσίας, καὶ ὅτι πέρας τῆς τοιαύτης προμηθείας ἐστὶν ἀνθρώπῳ τὸ τοῦ ἀρίστου αὐτὰ τυχεῖν, ἢ ἁπλῶς ἢ τοῦ κατὰ τὴν φύσιν, καίτοι καὶ αὐτῶν τέλος ἔσχατον τὸ ἁπλῶς ἐστιν ἄριστον, εἰ καὶ μὴ ὡς ἀπολαυστόν, ἀλλ' ὅτι καὶ αὐτὰ τρόπον τινὰ αὐτοῦ ἐφίενται ἐν τῷ τὴν θείαν ἐπ' αὐτοῖς βούλησιν καὶ μὴ εἰδότα ἀποπληροῦν, ἣν καὶ εἰδότα ἂν ἐπλήρου καὶ προαιρούμενα, **τοσοῦτον ὡς ἐν σημειώσει εἰρήσθω· προῦργου μὲν γὰρ ἡμῖν ὁ περὶ ἀνθρώπου λόγος ἐστί. Τὰ δ' ἄλλα, ὡς ἐν τῷ ἔργῳ ταῖς περὶ αὐτὸν προνοίαις ὑπουργεῖ τοῦ Θεοῦ, οὕτω κἀν τῷ λόγῳ συνείληπται ἀναγκαίως, οὐχ ἵνα μόνον τὸ πᾶσι τοῖς οὖσιν ὑπάρχον καὶ τῷ ἀνθρώπῳ προσαρμοσθείη, ἀλλὰ καὶ ὅτι τοῦ ὑπερέχοντος τῆς περὶ αὐτὸν οὐρανίου προμηθείας ἐπιδειχθέντος, τύπῳ μὲν καὶ δι' ἐλαττόνων, ἀλλ' ἱκανῶς ὁδὸς ἂν γένοιτο πρὸς τὴν εὕρεσιν τῆς ἀληθείας περὶ τοῦ μάλιστα προκειμένου. Ἐξ αὐτῶν δὲ τῶν εἰρημένων δῆλον ἐστὶν καὶ ὅτι ὥρισται τοῖς ἀνθρώποις τὸ τέλος καὶ τὰ ἐπ' αὐτὸ φέροντα· | ἄλλως γὰρ οὐδ' ἂν ἡ τοιαύτη περὶ** A f. 161r **αὐτῶν πρόνοια ἦν. Περὶ μὲν γὰρ τῶν** κεχωρισμένων οὐσιῶν **οὐ πάνυ ἂν τὸ τοιοῦτο ζητοῖτο· αὗται γὰρ οὐκ ἐν τῇ ὁδῷ εἰσιν, ἀλλ' ἐν τῷ τέλει, (καὶ εἴ ποτε οὐκ ἦσάν πω ἐν τῷ τέλει, τί ἂν περὶ αὐτῶν ἐζητεῖτο, ἀφείσθω νῦν σκοπεῖν). Καὶ περὶ τῶν τοῦ παντὸς τοῦδε μερῶν, ἃ διηνεκῶς εἰσὶν ἐξότου γεγόνασι, σαφές ἐστιν ὅτι ὥρισται αὐτοῖς τὸ τέλος καὶ ἄκοντα ἐπ' αὐτὸ ἴεται, ὡς δὴ φύσει ἐρχόμενα ἐπ' αὐτό, εἴτε τὸ τῆς κινήσεως αὐτῶν τέλος εἴτε τὸ τῆς ἐνεργείας ἐν τοῖς κατωτέροις τοῖς ἐν γενέσει καὶ φθορᾷ πράγμασι. Καὶ οὐδέποτε ἀποτυγχάνει τοῦ τέλους καθόλου οὐδὲν αὐτῶν, εἴπερ μὴ οἷόν τε ἀτευκτεῖν τὸν Θεὸν τὸν κινοῦντα αὐτὰ ἐπὶ τὸ τέλος τῇ παντοδυνάμῳ αὐτοῦ βουλήσει, δι' ἧς καὶ μὴ ὄντα ποτὲ ὑπέστησε. Καὶ τὰ ἐν γενέσει δὲ καὶ φθορᾷ ἀποτυγχάνει μέν ποτε ἕνια τοῦ προσεχοῦς τέλους,**

8.,1 Ὅτι…**7** προαιρούμενα] Cf. Dem. Cyd., *de contemn. morte*, XIII (24, 2-22).

8.,16 Περὶ…**19** σκοπεῖν] Cf. *ST* I, Q62 A.9 Resp. (*Coisl*. 280, 104v 2-8). **25** Καὶ…**37** ἐλάχιστον] Cf. *SG* III, 73.2 (*Taurin*. XXIII, 217r 9-12); cf. *SG* III, 99.9 (*Taurin*. XXIII, 244v 1-9).

8.,3 ἢ ἁπλῶς] τοῦ *add. ante* ἁπλῶς E **4** καίτοι] ἤτοι E **14** ἐστὶν] ἐστὶ B E

ἐν οἷς ἀμβλώματα καὶ πηρώματά ποτε γίνεται διὰ τὸ τὰ εἴδη αὐτῶν ἐμβεβαπτίσθαι τῇ ὕλῃ καὶ δι' ἔλλειψιν ἀρχῆς τινος προσεχοῦς ἢ τῆς τῶν ὑψηλοτέρων αἰτίων συμπλοκῆς, ἃ καὶ τῶν ὑψηλοτέρων αἰτίων ἀποτεύγματα ἂν εἴη τρόπον τινά. Ἀλλὰ τὸ μὲν τοδὶ ζῷον καὶ μὴ τοδὶ ἀμβλωθῆναι ἢ πηρωθῆναι ἢ τερατῶδές τι ἀποβῆναι οὐδεὶς ἂν εἴη λόγος, ὅτου χάριν μέλλοι ἂν ὑπὸ τοῦ θείου ὁρίζεσθαι· τὸ μέντοι ἐν τοῖς ἔργοις τῆς φύσεως καὶ τοιάδε τινὰ γίνεσθαί ποτε ἐγχωρεῖν, τοῦτο δὴ καὶ λίαν ὥρισται δήπου (ἄλλως γὰρ οὐκ ἂν οἷόν τ' ἦν οὐδέποτέ τι αὐτῶν οὕτω γίνεσθαι), καὶ ἔοικέ πῃ τοῖς διὰ προαίρεσιν ἁμαρτάνουσι τὰ διὰ τὴν ὕλην κακοπραγοῦντα, πλὴν ὅτι ἀκουσίως σφίσι τοῦτο συμβαίνει καὶ ἐπ' ἐλάχιστον. Εἰ δὴ μόνοι ἐκ πάντων τῶν ὄντων καὶ γινομένων οἱ ἄνθρωποι ὁδοιπόροι εἰσὶν ἐν τῇ ζωῇ ταύτῃ, τὴν ἀίδιον εὐδαιμονίαν σκοπεῖν τεταγμένοι, καὶ θέλοντες (οἵ γε σπουδαῖοι), περὶ αὐτῶν δεῖ μάλιστα τὰ τοιαῦτα ἀκριβῶς σκοπεῖν, καὶ ταῦτα ἡμετέρου τοῦ περὶ ἡμῶν σκοπεῖν ὄντος.

9.1 Πᾶσι μὲν οὖν ἀνθρώποις κοινῇ ὥρισται φύσει τὸ τῆς ζωῆς ταύτης πέρας, τοῖς μὲν κατὰ φύσιν ζῶσι –ταὐτὸν δ' εἰπεῖν κατὰ τὸν ἐν αὐτοῖς λόγον καὶ νόμον–, τὸ κατὰ φύσιν τέλος (οὐ γὰρ χεῖρον τὰ αὐτὰ ἐπαναλαβεῖν), τὸ δέ ἐστιν ἡ Θεοῦ καὶ τῶν θείων ἄμεσος γνῶσις καὶ ἡ ἐν
A f. 161v **αὐτῇ | νοερὰ ἡδονή.** Νοῦς γὰρ ὢν ὁ ἄνθρωπος, ἐπειδὰν τοῦ συνημμένου τοῦδε ἀπαλλαγῇ, τῶν καθόλου τε θεωρητικὸς καὶ τῆς ἀληθείας γνωριστικός, ἀνεωγὸς ἔχων τὸ ὄμμα καὶ καθαρὸν τῇ ἐντεῦθεν σπουδῇ, τοῦτ' ἂν εὐδαιμονίαν ἔχοι καὶ τέλος, τὴν τῆς καθόλου ἀληθείας ἐπίγνωσιν, ἣν καὶ ἀίδιον ζωὴν εἶναι φαμέν.

9.1,5 Νοῦς…**8** φαμέν] Cf. Gr. Naz., *or. VII* 46 (21.1-2); cf. Anast. S., *inter. et resp.* 21 (89, 533B-C); cf. Dem. Cyd*., de contemn. morte* XIV (25, 9-10); cf. Dem. Cyd*., de contemn. morte* XIV (26, 14-27, 10).

32 τὸ…**34** δήπου] Cf. *SG* III, 74.4 (*Taurin.* XXIII, 217v 30-31). **34** καὶ…**37** ἐλάχιστον] Cf. *SG* III, 1.5 (*Taurin.* XXIII, 160v 3-6). **37** Εἰ…**39** σπουδαῖοι] Cf. *ST* I, Q113 A.4 Resp. (*Coisl.* 280, 388r 4-12). **9.1,1** Πᾶσι…**8** φαμέν] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop.* 254, 116v 28-31) [=*Vatic*. 609, 45r 22-23]; cf. *SG* III, 25.13-16 (*Taurin.* XXIII, 178v 26-179r 7). **4** τὸ…**5** ἡδονή] Cf. *SG* III, 37.9 (*Taurin.* XXIII, 184v 22-24); cf. *SG* III, 52.7 (*Taurin.* XXIII, 199v 3-8). **5** Νοῦς…**8** φαμέν] Cf. *SG* III, 26.16 (*Taurin.* XXIII, 184v 22-24); cf. *SG* III, 32.2-3 (*Taurin.* XXIII, 183r 30-35); cf. *SG* III, 37.8-9 (*Taurin.* XXIII, 184v 20-24); cf. *SG* III, 47.2 (*Taurin.* XXIII, 193v 18-23); cf. *SG* III, 48.17 (*Taurin.* XXIII, 196r 31-33); cf. *SG* III, 63.7 (*Taurin.* XXIII, 207r 28-30). **7** τοῦτ…**8** φαμέν] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop.* 254, 117r 7-9).

27 γίνεται] γίνονται E **34** οὕτω] *om.* A **9.1,5** Νοῦς] | τοῦδε] τοῦτου E

Τοῖς δὲ παρὰ φύσιν βεβιωκόσι κοινῇ πᾶσιν ὥρισται ἡ τῆς αἰωνίου ζωῆς ἀπότευξις, οὖσι μὲν καὶ αὐτοῖς ἀιδίως, ἀλλ᾽ ἐν ζόφῳ βαθεῖ ζῶσι καὶ ἀθλιότητι, ἣν ὁποία τίς ἐστι τὰ θεῖα ἱστορεῖ λόγια**. Ὥρισται δὲ ταῦτα ἑκατέροις οὐ τῇ αὐτῇ τοῦ θείου βουλήσει, ἀλλὰ προηγουμένῃ μὲν τοῖς ἀγαθοῖς τὸ ἄριστον τέλος (καὶ τοῦτ᾽ ἐστὶ τὸ** θελήσει θέλειν**, εἴρηταί τε ἐν τοῖς λογίοις ὁ Θεὸς λέγων** οὐ θελήσει θέλειν τὸν θάνατον τοῦ ἁμαρτωλοῦ**, ὥσπερ** θέλει θελήσει τὸ δι᾽ ἐπιστροφῆς ζῆν αὐτὸν αἰωνίως**), ἑπομένῃ δὲ ὥρισται τοῖς πονηροῖς ἡ τοῦ τέλους ἀπότευξις, ἀθλιότης οὖσα·** θέλει γὰρ καὶ τὴν κόλασιν τῆς πονηρίας, ὡς οὕτως ἂν καὶ τῆς θείας δικαιοσύνης ἐκπληρωθησομένης, καὶ ὡς ἐπακολουθοῦν τῷ τοὺς ὁδεύσαντας τὴν ἐπὶ τὸ ἀγαθὸν φέρουσαν ἀμεταστρέπτως ἐφικέσθαι αὐτοῦ τὸ καὶ τοὺς μὴ ὁδεῦσαι θελήσαντας μὴ ἐφικέσθαι. **Ὅθεν διὰ τὸ τοὺς σῳζομένους ἐκ προηγουμένης τῆς ἀγαθῆς τοῦ Θεοῦ θελήσεως ὡρίσθαι εἰς τὴν ζωήν, διὰ τοῦτο τοὺς τῆς σωτηρίας ἐκείνης ἀξίους ἰδιαίτερον ὡρισμένους τε καὶ ὡρίσθαι φαμέν, τοὺς δὲ κολαστέους οὐχ ὡρίσθαι κυρίως εἰς τὰς αἰωνίους δίκας, ἀλλὰ μᾶλλον ἀποδεδοκιμάσθαι ἀπὸ τῆς προκειμένης ἀνθρώποις ἐκ τοῦ ἀγαθοῦ Πατρὸς ζωῆς. Ἀλλὰ νῦν ἐπὶ πάντων τὸ ὡρίσθαι λεγέσθω.**

9.2. Κοινῇ μὲν δὴ οὕτω πᾶσιν ἀνθρώποις δύο ταῦτα ὥρισται πέρατα, καὶ ὡς δὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου ὑπάρξεως ὡρισμένα, προωρισμένα εἶναι φαμὲν τοῖς ἀνθρώποις, καὶ τοὺς εἰς ταῦτα ἐρχομένους εἰς ταῦτα καὶ προωρίσθαι. Ὡρισμένου δὲ ὄντος τοῖς ἀνθρώποις τοῦ τέλους δεῖ καὶ τὰ πρὸς αὐτὸ φέροντα ὡρίσθαί που. Καὶ ὡς μὲν κοινῇ πᾶσιν ὥρισται τοῖς ἀνθρώποις τὰ τοιαῦτα, δῆλον· ὅσα τε γὰρ ὁ φυσικὸς ἐκπαιδεύει νόμος καὶ ὁ ἐν τῷ γράμματι καὶ ὁ τῆς χάριτος ὁ εὐαγγελικὸς

---

10 ἀλλ…**11** λόγια] II Petr. 2,4-7. **11** Ὥρισται…**16** οὖσα·] Cf. Theoph. Nic., *de aet. mundi* 36 (33, 23-25). **14** οὐ…**15** αἰωνίως] Ez. 33, 11; cf. Joh. Damasc., *exp. Fid*. 43, II 29 (102, 67-70); cf. Blemm., *vit. fin.* I (2, 26-29). **16** θέλει…**20** ἐφικέσθαι] Cf. Joh. Damasc., *exp. Fid*. 43, II 29 (102, 67-70); cf. Marc. Eug., *ad Reg.* 23 (339-341).

---

9 Τοῖς…**11** καὶ ἀθλιότητι] Cf. *SG* III, 140.3 (*Taurin.* XXIII, 278r 27-32). **11** Ὥρισται…**16** οὖσα·] Cf. *SG* III, 10.16 (*Taurin.* XXIII, 167v 23-25). **16** θέλει…**25** ζωῆς] Cf. *ST* I, Q19 A.6 Resp. (*Vatop*. 254, 101r 9-23); cf. *ST* I, Q19 A.6 Resp. (*Vatop*. 254, 101r 27-101v 4). **20** Ὅθεν…**25** ζωῆς] Cf. *ST* I, Q23 A.3 Resp. (*Vatop*. 254, 118r 24-26). **9.2.,6** ὅσα…**9** τοὐναντίον] Cf. *SG* Iv 55.11 (*Taurin.* XXIII, 365v 7-29).

---

13 καὶ] *om.* E **14** τὸν…ἁμαρτωλοῦ] τὸν ἁμαρτωλοῦ θάνατον B **9.2.,5** που] δήπου E **6** ὁ…7 νόμος] ὁ φυσικὸς νόμος ἐκπαιδεύει B, *cum corr. superscr*. ⌜β⌝ *supra* νόμος *et* ⌜α⌝ *supra* ἐκπαιδεύει

καὶ οἱ τῶν ἁγίων τοῦ Θεοῦ νόμοι καὶ σύμπασα ἡ περὶ τὰ ἤθη φιλοσοφία,
A f. 162r **περὶ τούτων εἰσίν, ἃ πρὸς τὴν εὐδαιμονίαν | φέρει, καὶ τοὐναντίον, καὶ τὰ μὲν ἀρεταί, τὰ δὲ κακίαι ὀνομάζονται, ἔχοντα τάξιν, οἵαν καὶ τὰ μόρια τοῦ ἀνθρώπου, ὧν εἰσι καὶ ἐν οἷς γίνονται, οἷον φρόνησις μέν λόγου ἀρετή, καὶ δικαιοσύνη ἕτερον τρόπον, σωφροσύνη δὲ ἐπιθυμίας, καὶ θυμοῦ ἀνδρία, καὶ ἄλλη μὲν ἀρετὴ διανοίας, ἄλλη δὲ γλώττης, ἄλλη δὲ ἔργου· καὶ γεννᾷ μὲν ἥδε ἐκείνην, φύεται δὲ ἄλλη ἐκ ταύτης, καὶ ἡ μὲν προοδοποιεῖ, ἡ δὲ καθαίρει, ἡ δὲ τελειοῖ καὶ ἀνάγει, δι' ὧν ὁδεύοντα εὐτάκτως τὸν ἄνθρωπον οὐκ ἔστι μὴ εἰς τὸ τῆς εὐδαιμονίας πέρας ἐλθεῖν. Τοῖς δ' ἐναντίοις τούτων ἡ τῆς πονηρίας ὁδὸς ἐπὶ τὴν ἀθλιότητα ἄγει τὸν διὰ τούτων ἰέναι προῃρημένον. Καὶ ὥσπερ ἀδύνατον τὸν σῖτον μὴ ὁδῷ τινι γενέσθαι ὑπὸ τῆς φύσεως καὶ δένδρου τοῦδε καρπόν, ἢ πάντων τῶν πρὸς ταῦτα ζητουμένων σὺν τάξει ἀποβαινόντων μὴ καὶ ταῦτα εὐθὺς ἐπακολουθεῖν, διὰ τὸ ἑκάτερα πρὸς ἑκάτερα ὡρίσθαι (διό φησι καὶ** ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς), **οὕτως ἀνάγκη κἀν τῷ ἀνθρωπίνῳ κατὰ προαίρεσιν βίῳ ἀρετὴν ἀρετῇ ἐπακολουθεῖν καὶ κακίᾳ αὖθις κακίαν, ἕως ἂν διὰ τῆς τοιαύτης ἐπιπλοκῆς ἕκαστος προσήκων γένηται ἢ τῷ μετασχεῖν τοῦ Θεοῦ ἢ τῷ ἀποχωρῆσαι αὐτοῦ δυστυχῶς, ὁποτέρου ἂν ἐπιμεληθείη.**

Ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, οὔτε ἐστί τι ἡ κακία, ἀλλὰ στέρησις ἀρετῆς μόνον, οὔτε ὡρισμένον τί ἐστιν ἐν τῇ τῆς κακίας ὁδῷ, ἀοριστία δὲ μᾶλλον πάντα καὶ σύγχυσις. Ἀλλ' εἴ τι ὥρισται κἀν τούτοις, ἐκ τῆς πρὸς τἀγαθόν ἐστιν ἀντιθέσεως καὶ διὰ τἀγαθόν· **τῷ γὰρ ὡρίσθαι τὰ ἀγαθὰ καὶ τὰς ἕξεις καὶ εὐτάκτως ἀλλήλοις συνέπεσθαι καὶ αἱ στερήσεις αὐτῶν ἀλλήλαις ἀκολουθοῦσιν,** οὔτε ζῆν ἔστιν ἀληθῶς τοὺς ταῖς στερήσεσι τὸν οἰκεῖον

9.2.,9 καὶ[2]…**13** ἔργου·] Cf. Theodor., *prov.* VI, 83 (645C). **10** ἔχοντα…**13** ἔργου·] Cf. Plot., *Enn.* III, 2, 5 (96, 12-14); cf. Pleth., *virt.* A. 2 (4, 4-5); *ibid.*, B.14 (17-18). **21** ἐκ…**22** αὐτούς] Mat. 7, 20. **26** οὔτε…**29** τἀγαθόν·] Cf. Plot., *Enn.* III 2, 5 (54, 25-26); cf. Procl. Is., *mal. subs.* 14 *(*143, 22-24); cf. Procl. Is., *mal. subs.* 64 *(*182, 21-22); cf. Joh. Phil., *in Phys.* 16 (122, 5-12); Joh. Damasc., *exp. Fid*. 93, IV 20 (220, 22–221, 28); cf. Theoph. Nic., *de aet. mundi* 11 (6, 5-6). **31** οὔτε…**32** εἰσιν] Cf. Dem. Cyd*., de contemn. morte,* XVI (31, 1-3); cf. Marc. Eug., *ad Reg.* 24 (379-380).

---

26 Ἀλλ…**28** σύγχυσις] Cf. *SG* III, 7.2 (*Taurin.* XXIII, 164r 31-34); cf. *SG* III, 7.3 (*Taurin.* XXIII, 164r 37-38); cf. *SG* III, 8.9 (*Taurin.* XXIII, 165r 38-165v 3); cf. *SG* III, 11.3 (*Taurin.* XXIII, 168r 12-16); cf. *SG* III, 13.3 (*Taurin.* XXIII, 169r 27-28); cf. *ST* I, Q19, A.9 Resp. (*Vatop.* 254, 103v 21-12).

---

19 καὶ] ἢ E **24** τῷ[2]] *om.* E **28** πάντα…σύγχυσις] καὶ σύγχυσις πάντα E

μορφοῦντας βίον, ἀλλ᾽ ἐν εἰδώλῳ ζωῆς εἰσιν. **Ὡσαύτως δὲ καὶ ἡ μετὰ ταῦτα ἀθλιότης αὐτοῖς θανάτου παντὸς χεῖρον,** οἷς συνήνεγκεν ἂν **κατὰ τὸ λόγιον** μηδὲ τὴν ἀρχὴν γεννηθῆναι**, εἴπερ οἷόν τε ἦν αὐτοὺς πρὸ τοῦ γενέσθαι μαθεῖν, οἷα προῃρημένοις οἷα συμβήσεται. Κοινῇ μὲν δὴ τὸ ἀνθρώπειον γένος τοιαύτης παρασκευῆς καὶ ὁδηγίας ἔτυχεν ἐκ Θεοῦ πρὸς τὸ ἀγαθὸν καὶ τυγχάνει.** Εἰ γὰρ πατράσι καὶ ἐθνῶν | ἄρχουσι σφόδρα μέλει ὅπως τὰ A f. 162v
τέκνα ἢ οἱ ὑπήκοοι ζήσονται ἁρμοδίως τῇ ἐλπιζομένῃ ἐξ αὐτῶν εὐκληρίᾳ, καὶ διὰ τοῦτο ὁρίζουσι μὲν αὐτὴν αὐτοῖς, διδάσκουσι δὲ ἅττ᾽ ἂν ποιοῦντες καὶ ὅπως τὸν αὐτῶν διοικοῦντες βίον ἄξιοι αὐτῆς ποτε γένοιντο, πολλῷ μᾶλλον τὸν Θεὸν ἔδει τοῖς τέκνοις ὁρίσαι τὴν εὐδαιμονίαν καὶ τὰ εἰς αὐτὴν φέροντα, ἵνα εἰδότες πάντα δύναιντο σπεύδειν.

9.3. Ἡ δὲ περὶ ἕκαστον ἐπιμέλεια αὐτοῦ πολλῷ πλείω καὶ θαυμαστότερα περιέχει τῶν κοινῇ πᾶσιν ἀφωρισμένων καλῶν. Πατρὶ γὰρ πρεπόντως καὶ εὐμενεῖ ἄρχοντι τὰ μὲν ξυλλαμβάνει, τὰ δὲ ἐπανορθοῖ, οὐδὲ τὸ τέλος δείξας μόνον καὶ τὴν ὁδὸν καὶ τὰ καταλύματα ἀφίησιν ἑαυτοῖς χρῆσθαι μόνοις· καὶ ἄλλοις ἄλλα δίδωσι βοηθήματα προσήκοντα τῇ ἀγωγῇ αὐτῶν καὶ τῇ φύσει, καὶ ἀνέχεται ὀλιγωρούντων, καὶ γογγύζουσιν οὐκ ὀργίζεται, ἕως ὁρᾷ καὶ πειρωμένους τι ἀναλαμβάνειν ἑαυτοὺς ἀπὸ τῆς μικροψύχου ἀκηδίας καὶ προστιθέναι τῇ ὁδῷ σὺν ἐλπίδι ἀμείνονι. Ἀλλὰ καὶ προτροπάδην ποτὲ ἐκ μέσης τῆς ὁδοῦ ὑποστρέψασιν, εἶτα βοῇ καὶ δάκρυσιν ἐκ μετανοίας εἰσελθεῖν καὶ ἄρξασθαι δεομένοις ἀμνησικάκως ἀνίησι τὴν ὁδὸν αὖθις, καὶ τοῖς μὲν τῇ ἀφθονίᾳ τῶν τοῦ σώματος καὶ ἐκτὸς ἀγαθῶν, τοῖς δὲ τῇ αὐτῶν ἐνδείᾳ τὴν αὐτὴν διάθεσιν πρὸς τἀγαθὰ καταπράττεται. Καὶ τοῖς μὲν ἀτονοῦσι πρὸς τὴν ἐν τῷ ἀγαθῷ ἐπιμονήν, αἱρουμένοις μέντοι καὶ αἱρεῖσθαι αὐτὸ θέλουσιν, ὃ πολλοῖς ἐκ πολλῶν

---

32 Ὡσαύτως…**35** συμβήσεται] Mat. 26, 24; cf. Joh. Damasc., *exp. Fid.* 94, IV 21 (222, 10-14); cf. Theod. Met., *misc.* 28 *(*339-340); cf. Man. Palaeol.*, disp. de. Jud.* I (123); cf. id.*, disp. de Jud.* II (130-131). **37** Εἰ…**42** σπεύδειν] Cf. Dem. Cyd.*, de contemn. morte,* X (19, 4-16). **9.3.,6** καὶ[2]…**8** ἀμείνονι] Cf. Marc. Eug., *ad Reg.* 25 (415-416). **13** Καὶ…**16** νικᾶν] Cf. Sym. Theol., *exhort.,* 97-102 (318).

---

35 Κοινῇ…**37** τυγχάνει] Cf. *ST* I, Q23, A1 Resp. (*Vatop*. 254, 117r 7). **37** Εἰ…**42** σπεύδειν] Cf. *SG* III, 99.5 (*Taurin.* XXIII, 244r 7-10). **9.3.,1** Ἡ…**13** καταπράττεται] Cf. *SG* III, 156.2 (*Taurin.* XXIII, 292v 13-15); cf. *ST* I, Q103, A.5 Resp. (*Coisl.* 280, 333v 10-14). **13** Καὶ…**19** Θεοῦ] Cf. *SG* III, 155.10 (*Taurin.* XXIII, 292v 3-17).

---

35 ἀνθρώπειον] *non discernibile, cum colon supra* ┌ : ┐, *quod rep. in marg. infern. et scr.* ἀνθρώπειον, ἀνθρώπινον B E **37** Εἰ…ἐθνῶν] παράδειγμα, *adnot. in marg. dext.* A m^2

αἰτιῶν συμβαίνειν εἴωθεν, ἢ σχολὴν ἐκ τῶν ἀνθισταμένων ποιεῖ, ἢ τὴν προαίρεσιν ἀναλαμβάνει τε καὶ ῥωννύει πρὸς τὸ ἐπιόντα αὐτὰ νικᾶν. Πολλαὶ δὲ ἔκ τε ἀνθρώπων ἔκ τε πονηρῶν δαιμόνων γίνονται ἀνθρώποις πρὸς τὴν αἵρεσιν τοῦ ἀγαθοῦ καὶ τὴν πρᾶξιν ἐπιβουλαί, αἷς χαλεπὸν ἀντισχεῖν μὴ μετὰ Θεοῦ. Τοῖς δὲ ἐρρωμένην τὴν θέλησιν ἔχουσι καὶ συγχωρεῖ ἐπιέναι τὰς δυσχερείας, ὥστε ἀνθισταμένους ἀνδρικῶς καὶ νικῶντας σὺν τῇ ἀπ' αὐτοῦ ῥοπῇ ἐνδίκως μείζονος ἀξιοῦσθαι ἐκεῖ τῆς εὐδαιμονίας καὶ τῷ ἀνθρωπίνῳ βίῳ καρτερίας παράδειγμα ἵστασθαι τοῦ
A f. 163r **λοιποῦ. | Ἀπαλλάττει δὲ ἀπροόπτων κινδύνων καὶ ἀγαθὰ οὐ προσδοκηθέντα δίδωσιν, ὅταν τινὲς εἰς αὐτὸν ἀτενῶς ἐλπίζοντες καὶ τὸ θεῖον θέλημα διηνεκῶς μόνον ἐπιζητοῦντες** τῆς θείας ἀγάπης τὰ αὐτῶν πάντα ἐξάπτωσιν**. Ἔστι δ' ὅτε καὶ προορώμενοι τῶν μὲν ἀξιοῦνται εὐχόμενοι, τῶν δὲ ἀπαλλάττονται, δυναμένου καὶ βουλομένου πολλὰ καὶ παρὰ τὴν τῶν μερικῶς ποιούντων τάξιν ποιεῖν· ἃ πάντα, κρείττω λόγου ὄντα καὶ ἀριθμοῦ, ἱστορούμενά τε ἐν τῷ παλαιοτέρῳ τῶν ἀνθρώπων βίῳ εὑρίσκομεν καὶ ὁσημέραι ἐπιτελούμενα βλέπουσιν οἱ προσέχοντες. Τούτων δὲ τῶν περὶ ἕκαστον οἰκονομουμένων ἐκ τοῦ Θεοῦ ἔν ἐστι τέλος, ἡ τῆς θείας ἀγαθότητος καὶ δικαιοσύνης ἐκπλήρωσις, καθόσον ἕκαστος δηλονότι ἢ προώρισταί γε εἰς τὴν ζωὴν ἢ τῶν ἀποδεδοκιμασμένων ἐστίν, ἡμῶν μὲν ἀγνοούντων ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ παραυτίκα τὴν πρὸς τὸ ἔσχατον πέρας τάξιν τῶν οἰκονομουμένων, τοῦ δὲ Θεοῦ πάντα πρὸς τὴν ἐκπλήρωσιν τῆς ἀιδίου βουλῆς ἑτοιμάζοντος. Οὐδὲν γὰρ ἔστι τῶν τοιούτων, ὃ μὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἔγνωστο τῷ Θεῷ τοιῶσδε ἀποβησόμενον. Οὐδὲ γινώσκει μόνον αὐτά, ἐᾷ δὲ ὅπῃ ἔτυχε γίνεσθαι, ἢ τελειοῦσθαι ἢ μὴ τελειοῦσθαι, ἀλλὰ καὶ ὠδὶ γενησόμενα διατάττεται. Οὐδὲ τοῦτο μόνον αὖ, ἀλλὰ καὶ τὴν τοιαύτην**

---

25 τῆς…**26** ἐξάπτωσιν] Joh. Damasc., *Const.* 95 (313B). **36** Οὐδὲν…**38** ἀποβησόμενον] Cf. Psel., *phil. min.* 46 (159, 6-7). | Οὐδὲν…**52** συμβεβηκός] Cf. Germ., *vit. term.* 56, 4-21.

---

17 Πολλαὶ…**19** Θεοῦ] Cf. *SG* III, 155.1-2 (*Taurin.* XXIII, 291v 24-27). **23** Ἀπαλλάττει…**28** ποιεῖν] Cf. *SG* III, 99.2 (*Taurin.* XXIII, 243v 13-15); cf. *SG* III, 100.1 (*Taurin.* XXIII, 244v 26-27); cf. *SG* III, 99.10 (*Taurin.* XXIII, 244v 10-19). **31** Τούτων…**36** ἑτοιμάζοντος] Cf. *SG* III, 142.1 (*Taurin.* XXIII, 279v 38-280r 7). **36** Οὐδὲν…**38** ἀποβησόμενον] Cf. *ST* I, Q23 A.4 Resp. (*Vatop.* 254, 118v 25-26). **38** Οὐδὲ…**41** ὀργάνοις] Cf. *SG* III, 76.3 (*Taurin.* XXIII, 219v 28-29); cf. *SG* III, 77.1 (*Taurin.* XXIII, 220v 30-221r 4); cf. *ST* I, Q22 A.3 Resp. (*Vatop.* 254, 115v 16-18).

9.3.,24 εἰς…ἀτενῶς] ἀτενῶς εἰς αὐτὸν E **39** ὅπῃ] ὅποι E

αὐτῶν τάξιν ἀποπληροῖ καὶ ἀμέσως μόνον καὶ σὺν ὀργάνοις, ὡς εἴρηται. Οὔτε δὲ βραχύν τινα τοῦ ἀνθρωπείου λόγον ποιεῖσθαι αὐτὸν εὔλογον ἦν, οὗ χάριν τὰ ἄλλα σχεδὸν ἔστι πάντα, ὡς μηδὲ μόνης μιᾶς ἀνθρώπου ψυχῆς εἶναι τὸν αἰσθητὸν κόσμον ἀντάξιον**. Ὥσπερ ἄρα οὐδὲ τοῦ τέλους παντὸς τὰ δι' αὐτὸ ὄντα καὶ οὗ τὴν βελτίωσιν πλείσταις οἰκονομίαις καὶ μιᾷ τῇ πασῶν μεγίστῃ πεπίστευταί τε καὶ ἔγνωσται καταπράξασθαι, οὔτε ὀλίγα πρὸς τὴν ἑκάστης ψυχῆς βελτίωσιν ἡ κατὰ τὴν ἄλλην τοῦ συναμφοτέρου ζωὴν οἰκονομία λυσιτελεῖ, οὔτε χρὴ δεδιέναι μὴ κάμνῃ τὸ θεῖον ἐν ταῖς τοιαύταις φιλανθρωπίαις ἢ δι' ἑαυτοῦ λογιζόμενον ἢ καὶ δι' ἄλλων ἀποπληροῦν· οὔτε τῇ κινήσει τῶν ὑψηλοτέρων σωμάτων οἷόν τ' ἦν ἐπιτετράφθαι αὐτάς, μὴ δυναμένων εἰς τὸν ἀνθρώπινον νοῦν καὶ τὴν θέλησιν | καὶ τὴν κατ' αὐτὰ ζωὴν δρᾶν, εἰμή τι κατὰ συμβεβηκός. Πλεῖστα** A f. 163v **δὴ τοῦ περὶ προνοίας λόγου προβαλλομένου καὶ οὐδὲ νῷ καὶ λόγῳ περιληπτά, κεφαλαίῳ τῷδε τὸν περὶ ἁπάντων λόγον συγκλείσομεν ὡς οἷόν τε, ὅσα δεῖ περὶ τῆς εἰς ἀνθρώπους προνοίας οἴεσθαι εὐσεβοῦντας, τὰ μὲν ἐπαναλαμβάνοντες, τὰ δὲ προστιθέντες.**

10. Πέρας μὲν δὴ τῆς τῶν ἀνθρώπων γενέσεως καὶ ζωῆς ἠτοίμασται ἐκ Θεοῦ τούτοις διττόν, ἐπειδὴ ἔδει προαιρουμένους, οὐ φύσεως ἀνάγκῃ βιοῦν. Καὶ ἀνάγκη μὲν πάντα ὁντινοῦν ἐπὶ θάτερον ἀφικνεῖσθαι, ἀφικνεῖται δὲ πρὸς ὅ τις τὸν ἴδιον ἡτοίμασε βίον. Ἐρχόμενος δὲ οὐδὲν ἧττον καὶ ἄγεται· συντρέχει γὰρ πρὸς τὸν ἀνθρώπινον βίον ἥ τε προαίρεσις αὐτοῦ ἑκάστου καὶ ἡ ἐκ Θεοῦ συνεργία, ὅτι καὶ ἡ θέλησις ἡμῖν καὶ τὸ θέλειν καὶ ἡ πρᾶξις ἐκ τοῦ Θεοῦ ἔστι, παρ' οὗ καὶ τὸ εἶναι, καθάπερ ἐν τοῖς φαύλως βιοῦσιν ἥ τε προαίρεσις συντρέχει καὶ ἡ τῆς θείας χάριτος ἀναχώρησις. Καὶ οὐ μόνον πρὸς τὸ ἔσχατον πέρας ἀφικνεῖταί τις ἅμα καὶ ἄγεται, ἀλλὰ καὶ ὁ σύμπας ἑκάστῳ βίος οὕτως οἰκονομεῖται· ὥσπερ γὰρ

10.,3 Καὶ…**5** ἄγεται·] Cf. Nic. Meth., *vit. term*. I (230-231). **4** Ἐρχόμενος…**9** ἀναχώρησις] Cf. Nic. Meth., *vit. term*. I (231).

---

50 οὔτε…**52** συμβεβηκός] Cf. *ST* I, Q115 A.4 Resp. (*Coisl*. 280, 400v 8-15); cf. *SG* III, 84.1 (*Taurin.* XXIII, 226r 29-35); cf. *SG* III, 85.19 (*Taurin.* XXIII, 229r 38-229v,14). **10.,2** ἐπειδὴ ἔδει…**3** βιοῦν] Cf. *SG* III, 85.4 (*Taurin.* XXIII, 228r 3-12); cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 11-13). **4** Ἐρχόμενος…**9** ἀναχώρησις] Cf. *SG* III, 89.5 (*Taurin.* XXIII, 232v 31-36); cf. *SG* III, 90.2 (*Taurin.* XXIII, 233r 14-16); cf. *SG* III, 91.2 (*Taurin.* XXIII, 233v 28-29); cf. *ST* I, Q23 A.3 Resp. (*Vatop*. 254, 118v 7-8). **10** ὥσπερ…**12** τεταγμένοι] Cf. *SG* III, 17.5 (*Taurin.* XXIII, 170v 7-8).

---

42 ἀνθρωπείου] ἀνθρωπίνου B E **47** ἄλλην] ὅλην E

ὅροι τινὲς τῆς πρὸς τὸ ἔσχατον πέρας κινήσεως αἱ κατὰ τόνδε τὸν βίον πράξεις εἰσίν, ἐν τῇ πρὸς ἀλλήλους τάξει πρὸς τὸ ἔσχατον τεταγμένοι. Καὶ πρὸς τούτους τοίνυν τοὺς ὅρους ὁμοῦ τε κινεῖται καὶ ἄγεται ἄνθρωπος, πανταχοῦ τῆς χάριτος συνεργούσης ἢ ἐγκαταλειπούσης· ἧς συνεργούσης μὲν τῷ ἀγαθῷ, κἂν δυσχερὲς ᾖ, προσφύεται, ἀφισταμένης δὲ τῷ κακῷ πολλῷ ῥᾷον αὐτομολεῖ. Ἀλλ' οὐκ ἀναγκάζεται πρὸς τἀγαθὸν ἢ τὸ χεῖρον τῷ συνεῖναι τὴν θείαν χάριν ἢ ἀπολείπεσθαι. Ἐκεῖνα μὲν γὰρ ἀοράτως ἐπιτελοῦνται, ἡ δὲ πᾶσα πρὸς τἀγαθὸν ἢ τὸ χεῖρον ὁρμὴ τῆς ψυχῆς ἐξ αὐτῆς γίνεται· καὶ οὐ τῷ μὴ φαίνεσθαι μόνον τὴν θείαν χάριν συνοῦσαν ἢ ἀπολείπουσαν ἐναργῶς ἐν αὐτῷ τῷ αἱρεῖσθαι, ἀλλὰ καὶ τῷ μηδεμίαν ἐπάγειν βίαν τῇ προαιρέσει οὐδὲν ἀνάγκης ἐκεῖθεν ἔστιν πρὸς τὸ πράττειν ὅ τι ἄν τις μὴ πάνυ βούλοιτο. Ἔστι δ' ὅτε τὸ θεῖον καὶ συναναγκάζειν δοκεῖ, ὥσπερ τὰς ἀπαλυνομένας ἢ σκληρυνομένας καρδίας κλῖνον ὅπου θέλει **κατὰ τὸ λόγιον, ἀλλὰ τῇ βεβαίῳ τῆς ψυχῆς κρίσει προστεθειμένον, ἢ**
A f. 164r **λανθάνει μὲν | τοὺς πολλούς, τὴν δὲ σοφωτάτην γνῶσιν οὐ διαφεύγει. Καὶ πολλὰ μέν, ὡς πρότερον εἴρηται, διὰ τῶν κατωτέρων διατιθεὶς αἰτίων, πολλὰ δὲ δι' ἀγγέλων οἰκονομῶν ἀγαθῶν, πολλὰ δὲ ἀμέσως δρῶν εἰς τὰς τῶν ἀνθρώπων ψυχάς, ἄνευ βίας τοὺς ἑκάστων διατίθησι βίους. Καὶ οἰκονομεῖ δὲ πολλὰ πρὸς ὠφέλειαν κοινοτέραν, ποῦ μὲν δριμύτερον τοῖς φαυλοτέροις ἐπεξιὼν καὶ ὧν ἀπέγνω τὴν ἐπανόρθωσιν, ἵνα τοὺς ὁμοίους ἰατρεύσῃ τῷ δέει, ποῦ δὲ πρὸς τὴν ἐπίγνωσιν ἐκκαλούμενος τοῦ καλοῦ ἔκ τινος παραδοξοποιίας, ἵνα τὸ περιὸν τῆς σοφίας δείξῃ καὶ τῆς δυνάμεως. Ἐνίους γὰρ δοκεῖν μὲν τοῖς πολλοῖς φαυλοτάτους γενέσθαι, ἀξιότητος δέ τινος ἐνούσης αὐτοῖς, λανθανούσης μὲν τοὺς πολλούς,** τῷ δὲ πάντα ἐρευνῶντι γνωριζομένης πνεύματι**, πρὸς τὰς τῶν θειοτάτων ὑπουργίας κληθέντας εὐδοκιμῆσαι. Ἐν τούτοις καὶ αἱ τῶν ἀδοκήτων ἐπαγωγαὶ**

---

23 τὰς…θέλει] Prov. 21, 1; cf. Bas., *Deus non auct. mal*. 31 (340c-341a). **28** Καὶ…**40** κακουμένοις] Cf. Nic. Meth., *vit. term*. II (241); cf. *ibid.* II (252). **34** τῷ…**35** πνεύματι] I Cor. 2.10.

---

12 Καὶ…**16** αὐτομολεῖ] Cf. *ST* I, Q22 A.2 Resp. (*Vatop*. 254, 115r 1-2). **16** Ἀλλ…**22** βούλοιτο] Cf. *SG* III, 163.2-3 (*Taurin.* XXIII, 296r 28-8). **22** Ἔστι…**25** διαφεύγει] Cf. *SG* III, 88.7 (*Taurin.* XXIII, 232v 11-13); cf. *SG* III, 162.7 (*Taurin.* XXIII, 295v 37- 296r 4). **25** Καὶ…**28** βίους] Cf. *ST* I, Q22 A.3 Resp. (*Vatop*. 254, 115v 16-18). **28** Καὶ…**43** παραμυθουμένου] Cf. *SG* III, 161.1 (*Taurin.* XXIII, 295r 36- 295v 8).

10.,15 κἂν…προσφύεται] προσφύεται, κἂν δυσχερὲς ᾖ E

θλίψεων καὶ θανάτων ἰδέαι μυρίαι καὶ τὰ λεγόμενα εὐτυχήματά τε καὶ ἀτυχήματα, ὅταν τισὶ χειρόνως δόξασι βεβουλεῦσθαι ἐπακολουθήσῃ τι παρὰ δόξαν ἡδὺ ἢ τοὐναντίον, ὥσπερ ἔκ τινων ἐξωτέρων αἰτίων βοηθουμένοις ἢ κακουμένοις. Ἐν οἷς πολὺ μὲν τὸ παράδοξον διὰ τὴν ἄγνοιαν τῶν ἐν τῇ θείᾳ προνοίᾳ κειμένων λόγων, τοὺς δὲ καλῶς ἐφιστῶντας καὶ εὐσεβῶς ἐπιτελουμένοις οὐ πάντα ἂν διαφύγοι, ὧν χάριν γίνεται, τοῦ θείου φωτὸς τὴν εὐσεβῆ δίψαν αὐτῶν παραμυθουμένου. Ἀλλ' εἴτε γινωσκομένων τῶν τελῶν εἴτε ἀγνοουμένων ἕν τι τοῦτο καὶ πάνυ βέβαιόν ἐστιν, ὡς ἄρα πάντα οἰκείως καὶ κατὰ λόγον τῷ θείῳ περὶ ἕκαστον ὑπουργεῖ σκοπῷ καὶ τῇ πόρρωθεν περὶ αὐτὸ διατάξει τῆς ὑψηλοτάτης προνοίας, καὶ διὰ πάντων ὁ ἄνθρωπος τῶν τε ὑπ' αὐτοῦ γινομένων τῶν τε ἐπ' αὐτῷ συμβαινόντων ὁποιωσδήποτε ἀπ' ἀρχῆς μέχρι τελευτῆς τοῦδε τοῦ βίου, πρὸς ἥν ποτε προαιρεῖται λῆξιν αὐτός, ἐκ τῆς θείας προνοίας συνδιατάττεται, πάντα ταῖς ἑαυτῆς στρεφούσης οἰκονομίαις, ὅπως αὐτὸς τύχοι τῶν προσηκόντων τῇ ὅλῃ προαιρέσει τοῦ βίου. Καὶ διὰ τοῦτο πάντα τὰ κατὰ τὴν παροῦσαν τῶν ἀνθρώπων | ζωὴν ὑπὸ Θεοῦ προώρισται καὶ A f. 164v **προδιατέτακται.** Γινώσκει **μὲν γὰρ** τὰς τῶν ἀνθρώπων ὁδούς, τάς τε τρίβους αὐτῶν καὶ τὰς σχοίνους ἐξιχνιάζει **κατὰ τὸ λόγιον, καὶ πρὶν αὐτοὺς γενέσθαι καὶ κινηθῆναι. Καὶ οὐκ ἔργα μόνον αὐτῶν ἢ τὰς ἐνδοτέρας περὶ τῶν πρακτέων βουλάς, ἀλλὰ καὶ τὴν πρώτην σύστασιν τοῦ νοήματος, πρὶν αὐτὸ κατεργασθῆναι καὶ μορφωθῆναι, ὁρᾷ τοῖς πάντα βλέπουσιν ὀφθαλμοῖς, τῶν οὔπω γεγονότων ἐν ἑαυτοῖς ἐν αὐτῷ πάντων ὄντων τὸν αὐτῷ προσήκοντα τρόπον. Οἶδε δὲ πολλῷ μᾶλλον καὶ ἑαυτὸν συνεργήσοντα, πρὶν ἄν τις συνεργηθείη καὶ εἴη, καὶ ἐγκαταλείψοντα, πρὶν ἄν τις ἑκὼν τοῦτο πάθοι, καὶ συγκινήσοντά γε πρὸς τὴν εὐδαιμονίαν, ἢ τῷ μὴ συγκινῆσαι διὰ τὸ μὴ βούλεσθαί τινα συγκινηθῆναι καὶ συναποδοκιμάσοντα, καὶ πᾶσαν τὴν ἀνθρωπίνην ἀναστροφὴν καὶ ζωὴν διαθησόμενον, ὡς ἂν συμφέροι πᾶσι τοῖς λόγοις τῆς περὶ ἁπάντων**

55 Καὶ…**59** τρόπον] Cf. Nic. Meth., *vit. term*. II (253); cf. id., *vit. term*. III (264-265).

44 εἴτε[1]…ἀγνοουμένων] Cf. *SG* III, 16.4 (*Taurin.* XXIII, 170r 22-29). **45** πάντα…**47** προνοίας] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 117r 3-6). **51** Καὶ…**53** προδιατέτακται] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 27-28). **55** Καὶ…**59** τρόπον] Cf. *ST* I, Q57, A.4 Resp. (*Coisl*. 280, 75v 23- 76r 2).

43 παραμυθουμένου] παραμυθουμένων E **49** προαιρεῖται] προῄρηται B

προνοίας, αὐτοῦ τε δηλονότι τῶν ἀνθρώπων ἑκάστου καὶ οἷς σύνεστι καὶ τοῦ πάντων ἀνθρώπων βίου καὶ τοῦ παντὸς τοῦδε, καὶ ὡς ἂν ἥ τε ἀγαθότης τοῦ διατάττοντος ἥ τε δικαιοσύνη θαυμαστῶς ἐκπληροῖντο· εὐμήχανος γὰρ ὤν, μιᾷ ψήφῳ περὶ ἑνὸς τοσαῦτα περὶ ἁπάντων ἐξανύει.

11.1 Ταῦτα δὲ πάντα βεβαίως προεγνωκὼς καὶ διατάττει κατὰ τὴν περὶ αὐτῶν πρόγνωσιν καὶ συμπληροῖ. Οὐκ ἐξαιρεῖ μέντοι γε τῆς τοιαύτης προγνώσεως ἢ διατάξεως ἢ τῶν διατεταγμένων ἐκβάσεως τὴν περὶ τὰς πράξεις ἰδιότητα τοῦ ἀνθρώπου, ἥ ἐστι τὸ θέλοντα καὶ αἱρούμενον πράττειν ἅττ' ἂν πράττοι, ἀλλ' ἐν πᾶσιν ἐκείνοις αὕτη βέβαιος μένει.

Καὶ ἵνα ἐφ' ἑνὸς παραδείγματος ἅπας ἡμῖν ὁ λόγος σαφὴς γένηται, ᾔδει μὲν ὁ Θεὸς ὡς, ἐνδεχομένου τὸν Ζαχαρίου Ἰωάννην ἢ κολακεύσαντα τὸν Ἡρώδην ὠφεληθῆναι μὲν προσκαίρως, αἰωνίως δὲ κολασθῆναι διὰ τὸ παριδεῖν τὸν τοῦ Θεοῦ νόμον πατούμενον καὶ τοὺς πατοῦντας τὸ καθ' αὐτὸν ἀνωφελήτους περιιδεῖν, ἢ ἐλέγξαντα ἀποθανεῖν μὲν δι' αὐτό, στεφανωθῆναι δὲ αἰωνίως, ὅτι προείλετο ἀποθανεῖν, ἵνα μόνον παντὶ
A f. 165r **ὀφειλομένῳ τοῖς τοῦ Θεοῦ νόμοις ἱκανο | ποιήσῃ, τὸ δεύτερον προαιρήσεται, καὶ ᾔδει τοῦτο ἀιδίως περιουσίᾳ γνώσεως ἀπείρῳ προσηκούσῃ δημιουργῷ. Ὁμοίως ᾔδει ἐκεῖθεν ὅτι καὶ Ἡρώδης, ἐνδεχομένου αὐτῷ ἢ αἰδεσθέντι τὸν θεῖον νόμον καὶ τὸν ἐλέγχοντα Ἰωάννην ἀποσχέσθαι τε τοῦ ἄγους καὶ τῷ ἀπαγαγόντι χάριν ὁμολογεῖν ἢ ἀγανακτήσαντι καὶ τῇ συναγανακτούσῃ χαριζομένῳ ζητεῖν ὅπως ἀμύνηται αὐτόν, ἵνα ἀνεξελέγκτως δύνηται παρανομεῖν καὶ ἀμύνασθαί ποτε, τὸ δεύτερον προαιρήσεται, ὃ τῆς αἰωνίου κολάσεως αὐτῷ πολυτρόπως αἴτιον ἔσται. Ἐνστάντος δὲ τοῦ τὸν Ἰωάννην γενόμενον καὶ τῶν ἄλλων συνενεχθέντων ὡς γενησόμενα προεγνώσθη, βουλεύσασθαι ὁποτέραν δραμεῖται (οὐ γὰρ ἄνευ βουλῆς τὰ τοιαῦτα ἐκλέγεται τοῖς σπουδαίοις, ὅπου ἔνθεν μέν τινι ὑπαντᾷ τὸ ἀποθανεῖν μετ' ἀρετῆς καὶ δόξης καὶ ἐλπίδος**

---

68 εὐμήχανος…ἐξανύει] Cf. Germ., *vit. term.* 56, 23-58, 2. **11.1,1** Ταῦτα…**2** συμπληροῖ] Cf. Germ., *vit. term.* 54, 16-17. **2** Οὐκ…**5** μένει] Cf. Mich. Glyc., *In S. Scr.* 36 (388, 5-6); cf. Pleth., *fat.* 70. **6** ἐφ…παραδείγματος] Cf. Nic. Meth., *vit. term*. II (257-258).

11.1,1 Ταῦτα…**5** μένει] Cf. *SG* III, 163.2-3 (*Taurin.* XXIII, 296r 28-38). **2** Οὐκ…**5** μένει] Cf. *SG* III, 10.17 (*Taurin.* XXIII, 167v 36-38).

11.1,1 προεγνωκὼς] προεγνωκὸς B **10** περιιδεῖν] παριδεῖν E **16** χάριν] χάριτας E **21** συνενεχθέντων] *correx.* Œ : συνενεγχθέντων A B : συνενεχθόντων E **23** τινι] τι E

ἀμείνονος, ἔνθεν δὲ τὸ μετὰ τῶν τούτοις ἐναντίων ἐπιβιῶναι μικρόν), τότε δὴ τότε οὐκ ἠνάγκαζε τὸν Ἰωάννην ὁ Θεὸς τόδε ἢ ἐκεῖνο αἱρεῖσθαι, συνήργει <δὲ> μόνον πρὸς τὸ θελῆσαι ἂν μᾶλλον τὸ ἀγαθὸν τῇ ἐνοικούσῃ αὐτῷ χάριτι, ἣν καὶ ἐνοικισθῆναι αὐτῷ καὶ αὐτὸς αἴτιος ἦν, ἄξιον αὐτὸν παρασχόμενος· ὁμοίως οὐδὲ τὸν Ἡρώδην ἠνάγκαζε τόδε ἢ τόδε αἱρεῖσθαι περὶ Ἰωάννου καὶ ἑαυτοῦ, ἐνστάντος ἤδη καὶ αὐτῷ τοῦ αὐτοῦ καιροῦ περὶ τοῦ βουλεύσασθαι ὁπότερα αὐτῷ εἴη αἱρετέα. Οὔτε τοίνυν τοῦ θείου ἀναγκάζοντος οὔτε αὐτῶν ποθεν ἀναγκαζομένων τόδε ὡρισμένως αἱρεῖσθαι, ἀλλ᾽ ἐν τῇ αὐτῶν προαιρέσει ἑκατέρου κειμένου τοῦ τί ἂν φαίνοιτο αὐτοῖς αἱρετώτερον, καὶ ἐνδεχομένου ἑκατέρου ὁμοίως αἱρεθῆναι αὐτοῖς, ὅσον ἐπὶ τῇ ἐλευθερίᾳ τῆς γνώμης καὶ τῇ φύσει αὐτοῦ τοῦ πράγματος, ὅτι ἐν τοῖς προαιρέσει γινομένοις ἔστι τὸ ἐνδεχόμενον**, ὁ μὲν Ἰωάννης αἱρεῖται τὸ βέλτιον, ὁ δὲ Ἡρώδης τὸ χεῖρον. Καὶ ὃ μὲν Ἰωάννης προείλετο, καὶ πανταχοῦ παραβαλλόμενον βέλτιον ἦν αἱρεθῆναι οὕτως, τὸ δὲ τῷ Ἡρώδῃ αἱρεθὲν καὶ αὐτῷ καὶ πᾶσι χεῖρον ἐτύγχανεν. Καὶ οὕτω μὲν συνεπέπλεκτο, ὥστε, εἰ μὴ Ἡρώδης ᾑρεῖτό τε καὶ ἐποίει τὰ χείρω, | οὐκ ἂν τὸν Ἰωάννην** A f. 165v **ἐνταῦθα τυχεῖν τοῦ βελτίονος, καὶ εἰ μὴ Ἰωάννης ἐποίει τὸ βέλτιον, οὐκ ἂν τὸν Ἡρώδην ἐκπληρῶσαι τὸ χεῖρον. Οὔτε μέντοι διὰ τὸν Ἡρώδην ἀγαθὸς ἦν Ἰωάννης εἰμὴ διὰ τὴν αὐτοῦ προαίρεσιν, οὔτε Ἡρώδης διὰ τὸν Ἰωάννην φαῦλος ἦν εἰμὴ δι᾽ ἑαυτόν. Ἦν μέντ᾽ ἂν καὶ δι᾽ ἐκεῖνον ἀγαθός, εἰ τόδε μᾶλλον ᾑρεῖτο. Καὶ ἐπειδὴ ἑκάτερος εἵλετο ὃ ἤρεσεν αὐτῷ καὶ τῇ ἕξει, κατὰ τὸν εἰπόντα·** οὐκέτι ἐργάζομαι ἐγὼ τὸ κακόν, ἀλλ᾽ ἡ ἐνοικοῦσά μοι ἁμαρτία, **ὡς δὲ καὶ** τὸ ἀγαθὸν ἡ χάρις ἐν τῷ ἔχοντι, ἐγὼ δὲ τῆς ἁμαρτίας αἴτιος κἀκεῖνος τῆς χάριτος, ἄξιον τοῦ λαβεῖν ἑαυτὸν παρασχόμενος**, τότε δὴ συνέτρεχε πάντα καὶ συνειργάζετο τῷ τὸν μὲν ὧν προείλετο ἀξίως στεφανωθῆναι, τὸν δὲ κἀνταῦθα κἀκεῖ δίκας ὑποσχεῖν ἀξίας ἀκολασίας καὶ παρανομίας καὶ φόνου. Τοῖς μὲν οὖν ἐνδεχόμενα ὁμοίως ἦν καὶ τὰ ἐναντία πρὸ τοῦ ποιῆσαι θάτερον αὐτῶν ἑλομένους· ἐπ᾽ αὐτοῖς γὰρ ἦν**

30 Οὔτε…**35** ἐνδεχόμενον] Cf. Psel., *phil. min.* 44 (157, 27-32). **45** οὐκέτι…**46** ἁμαρτία] Rom. 7, 17. **46** τὸ…**47** παρασχόμενος] Eph. 3,8; *ib*. 4,7. **50** Τοῖς…**89** αὕτη] Cf. Anast. S., *qu. et resp*. 16, 3 (24, 17-25, 3).

30 Οὔτε…**34** πράγματος] Cf. *SG* III, 73.3 (*Taurin.* XXIII, 217r 25-26).

24 τότε…25 τότε] τότε δὴ E **27** καὶ[2]] *om.* E **33** ἑκατέρου ὁμοίως] ὁμοίως ἑκατέρου E **39** ᾑρεῖτό…ἐποίει] ἐποίει τε καὶ ᾑρεῖτό E **40** μὴ Ἰωάννης] ὁ *add. ante* Ἰωάννης E **47** ἄξιον…ἑαυτὸν] ἄξιον ἑαυτὸν τοῦ λαβεῖν E

ὁμοίως ἀμφότερα. Ἐπεὶ δὲ θάτερον ἐποίει ἑκάτερος, ἀναγκαῖον ἦν τὸ γεγενημένον οὐ τῇ αὐτοῦ φύσει, ἀλλὰ τῷ ἐξειργάσθαι ἤδη, καὶ οὐκ ἐνδέχεσθαι καὶ μὴ εἶναι ἐξειργασμένον, ὥσπερ πρὸ τοῦ γενέσθαι ἐνδεχόμενον ἦν, καὶ μὴ γίνεσθαι. Ἐκείνοις τε οὖν οὕτω ταῦτ' εἶχε, καὶ ἡμῖν οὕτω κρίνεται· τῇ δὲ θείᾳ γνώσει προὔκειτο ὡς γεγενημένα καὶ πρὶν γενέσθαι. Καὶ ἦδει μὲν ὅτι αὐτοὶ ἐνδεχομένως αἱρήσονται ἃ αἱρήσονται καὶ οὐκ ἀνάγκῃ τινὶ τὰ ἐπ' αὐτοῖς ὄντα· ὅτι δὲ τοδὶ αἱρήσεται ἑκάτερος καὶ μὴ τοδί, ἠπίστατο ὡρισμένως· καὶ ὡς προεγίνωσκε τὸ ἐσόμενον εἰς τοσούτους ἐνιαυτούς, οὕτω καὶ τὸ ἐνδεχομένως ἐσόμενον ἠπίστατο ἀναγκαίως. Συναιρεῖ μὲν γὰρ ἡ θεία ἐπιστήμη τὸ πᾶν τῆς ἀνθρωπίνης αἱρέσεώς τε καὶ πράξεως, ὡς ἔχει καθ' ἑαυτὴν περὶ ὁτιοῦν, ἅμα δὲ καὶ πρὸς τὸ ἔσχατον φέρεται, ὅπερ ἔν ἐστιν ἔν τε ἐνδεχομένοις ἔν τε ἀναγκαίοις ὁμοίως, μᾶλλον δὲ αὐτῇ πάντα πάρεισιν οὕτως, ὡς ἀπείρῳ καὶ κοινοτάτῃ πάντων αἰτίᾳ· **διὸ καὶ τὴν σύμπασαν ἑκατέρου ἀγωγὴν οὐκ ἐγίνωσκε μόνον, ἀλλὰ καὶ συνδιετίθει οἰκείως, πρότερον μὲν ἐν τῷ θείῳ προορισμῷ, ὕστερον δὲ καὶ ἐν αὐτῷ τῷ**
A f. 166r **ἔργῳ. Συνδιετίθει δὲ τῷ μὲν προστιθεὶς χάριν, τοῦ δὲ | χάριτος ἀφαιρουμένης διὰ τὸ μὴ δύνασθαι τῷ σκότει τῆς ἑκουσίου κακίας τὸ φῶς τῆς χάριτος συνοικεῖν, μήτε καταλάμπεσθαι δεῖν ἄκοντας τοὺς ἐζοφῶσθαι μᾶλλον προαιρουμένους. Καὶ οὐκ ἐποίει μὲν ἡ χάρις τὸν Ἰωάννην μὴ ἡγεῖσθαι φοβερὸν εἶναι τὸ φοβερὸν ἢ ἐφήδεσθαι ἁπλῶς τῷ θανάτῳ, ἐποίει δὲ δεδιέναι** πλέον τὸν φοβερώτερον τοῦ σῶμα μόνον ἔχοντος κτείνειν**, τῆς δὲ ψυχῆς μὴ ἐφαπτομένου, ᾗ συμβουλεύει τὸ λόγιον, καὶ διὰ τοῦτο ἀνδρείως αἱρεῖσθαι τὴν τελευτήν, ἢ καὶ σφοδροτέρᾳ τοῦ θείου ἀγάπῃ τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν τοῦ ἐρωμένου δογμάτων. Ἀλλὰ καίτοι βοηθούμενος ἐκ τῆς χάριτος, ὥστε κρῖναι τὸ αἱρετέον ὀρθῶς, ὅλῃ μέντοι τῇ προαιρέσει ἐλάμβανέ γε τὸ βέλτιον, καὶ τῆς αὐτοῦ γνώμης ἅπαν ἦν τὸ καλόν, οὐδὲν δ' ἧττον καὶ τῆς χάριτος τὸ πᾶν ἦν, ὅσον ἐπ' αὐτῇ ἦκει, ἧς** χωρὶς οὐ δυνάμεθα

---

57 Καὶ…**60** ἀναγκαίως] Cf. Eus., *p. e.* VI,11 (352,15–21); cf. Procl., *inst. theol.* 124 (166, 10-13); cf. Procl. Is., *dec. prov.* 2, 6 (159, 18-160, 3). | Καὶ…**64** αἰτίᾳ·] Cf. Psel., *phil. min.* 44 (157, 27-32). **59** καὶ…**60** ἀναγκαίως] Cf. Nic. Meth., *vit. term*. I, 234. **70** Καὶ…**75** δογμάτων] Mat. 10, 28; cf. Ath., *pass*. 28, 200C-201D. **78** χωρὶς…**79** ὁτιοῦν] Io. 15, 5.

---

56 τῇ…**60** ἀναγκαίως] Cf. *SG* III, 94.10 (*Taurin.* XXIII, 238r 30-35); cf. *ST*, I, Q86 A.4 Resp. (*Coisl.* 280, 257r 3-13). **75** Ἀλλὰ…**81** αὐτῷ] Cf. *SG* III, 163.2-3 (*Taurin.* XXIII, 296r 28-38).

---

63 ἔν[1]…ὁμοίως] ἔν τε ἀναγκαίοις ἔν τε ἐνδεχομένοις ὁμοίως E **70** προαιρουμένους] προῃρημένους B **72** τῆς…73 ψυχῆς] ψυχῆς δὲ B

ὁτιοῦν. **Διὸ καὶ προηγεῖσθαι μὲν αὐτὴ λέγεται διὰ τὴν τοῦ κτίσματος ἀδυναμίαν ἀφ' ἑαυτοῦ, ἕπεσθαι δὲ ἡγουμένης τῆς προαιρέσεως διὰ τὸ μὴ ἐπαναγκάζειν· ὡς ἔχει ἐπὶ φωτὸς καὶ τοῦ ἔχοντος ἢ θέλοντος βλέπειν αὐτῷ. Καὶ ἔτι εὔχετο μὲν Ἰωάννης μὴ ἐγκαταλειφθῆναι ἄν, ἀλλ' ὁδηγηθῆναι πρὸς τὴν αἵρεσιν τοῦ βελτίονος, ἐπήκουε δὲ ὁ Θεὸς πρὸς μὲν αὐτὸν Ἰωάννην καὶ τὸ ἔργον αὐτοῦ τότ' εὐθύς, πρὸς δ' αὐτόν, ἐξότου καὶ προῄδει τὸν Ἰωάννην ἄξιον ἐπακούεσθαι· καὶ οὐ μάτην εὔχετο Ἰωάννης. Ὁ δὲ Ἡρώδης ἐσκέπτετό τε καὶ ἐποίει, οἷς ἂν ἔδει αὐτὸν ἐγκαταλιμπάνεσθαι, καὶ ἐγκατελίμπανεν οὐ τότε μόνον, ἀλλ' ἐξότου ᾔδει αὐτὸν ἄξιον ἐγκαταλιμπάνεσθαι. Οὐκοῦν καὶ αὐτοῦ ἡ πονηρία ἔπασχε τὸ ἑαυτῆς, καὶ οὐκ εἰκῆ ἐγίνετο οὐδὲ αὕτη.**

11.2. Ἐκ τούτων ἁπάντων οὕτω τύπῳ διῃρημένων καὶ ὑποδείγματι ἑνὶ ἐκ πλείστων καλῶς ἐφαρμοζομένῳ δῆλόν ἐστι καὶ τὰς ἀνθρωπίνας θελήσεις τε καὶ αἱρέσεις καὶ τὰ ἐφ' ἡμῖν εἶναι λεγόμενα καὶ ὅσα ἐνδεχομένως ὑφ' ἡμῶν πράττεται πάντα τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ (ἥ ἐστι πρόβλεψις τοῦ συμφέροντος ἐν ἀμεταβλήτῳ διατάξει τῶν πρὸς τοῦτο ἀποβαινόντων), προεγνῶσθαι δὲ ταῦτα ὡς ἔσται τῇ πάντων αἰτίᾳ | καὶ A f. 166v **προωρίσθαι. Γινωσκόμενα μὲν γὰρ ὅτι οὕτως ἔσται, καὶ ὡρίσθαι οὕτως ἐχρῆν· προγινωσκόμενα δὲ καὶ προωρίσθαι δήπου· προωρισμένα δὲ οὕτω, καὶ οὕτω γίνεσθαι, ἐπειδή, ὡς οὕτως ἐσόμενα, καὶ οὕτω προώριστο· οὔτε γὰρ οἷόν τε ἦν τὸ μέλλον ἀγνοεῖν τὸν Θεόν, ἢ ὑπομένειν ὅπως ἄν τι γένοιτο, ἵνα εἰδῇ, οὔτε ἔδει ἐγνωσμένης τῆς ἑκάστου τῶν γινομένων ἀκολουθίας τὴν θείαν διαπεσεῖν γνῶσιν, ἄλλως ἐν τῇ τοιαύτῃ ἀκολουθίᾳ τινὸς ἢ ὡς προέγνωστο ἀποβαίνοντος. Ἀλλ' οὐ προωρίσθαι γε ἐν ἑαυτοῖς (οὐ γὰρ ἀεί εἰσιν αὐτά), ἐν τῷ Θεῷ δὲ μόνον προωρίσθαι· καὶ οὔτε ἔχειν εἰδέναι τὸν θεῖον προορισμὸν τοὺς ἀνθρώπους περὶ ὁτουοῦν τῶν ἐπ' αὐτοῖς ὄντων, ἵνα**

11.2.,7 Γινωσκόμενα…**14** προωρίσθαι·] Cf. Nic. Meth., *vit. term*. I, 232; cf. *ibid*. III, 263. **8** προωρισμένα…**9** προώριστο·] Cf. Nic. Meth., *vit. term*. I, 234.

11.2.,1 Ἐκ…**4** προνοίᾳ] Cf. *ST* I, Q22 A.2 Resp. (*Vatop*. 254, 114r 4-5); cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 27-28); cf. *SG* III, 90.1 (*Taurin*. XXIII, 233r 13-14). **4** πάντα…**6** ἀποβαινόντων] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 117r 4-6). **7** Γινωσκόμενα…**14** προωρίσθαι·] Cf. *SG* III, 76.3 (*Taurin.* XXIII, 219v 28-29). **14** καὶ…**19** ποιῶσι] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 117r 23-25).

84 τότ] τότε E | δ αὐτόν] *correxi*, δ' ἑαυτὸν A B, δὲ ἑαυτὸν E **86** καὶ[2]…88 ἐγκαταλιμπάνεσθαι] *om.* B **11.2.,9** καὶ οὕτω[1]] *rep.* E **14** προωρίσθαι·] Cῆ (= σημείωσαι)] *adnot. in marg. sinis.* A m[2]

αὐτῷ καὶ ἄκοντες ἀκολουθῶσιν (καίτοι οὐκ ἀγνοοῦσιν οἵ γε σοφοί, ὡς ἀνάγκη πάντα ἐκεῖ ὡρίσθαι), οὔτε ἐκεῖθεν καὶ μὴ εἰδότας συναναγκάζεσθαι, ἵνα τὰ πεφυκότα ἐκ προαιρέσεως καὶ ἐνδεχομένως γίνεσθαι μὴ γίνηται οὕτως ἢ οἱ πεφυκότες ποιεῖν οὕτω μὴ οὕτω ποιῶσι. Δῆλον δὲ καὶ ὅτι τούτων οὕτως ἐχόντων οὐδὲν πρὸ τοῦ ἑλέσθαι τὸ βέλτιον ὠφελεῖ ὁ θεῖος προορισμὸς τοὺς προῃρημένους εἰμὴ ὅσον προώριστο τῇ ἀνθρωπείᾳ φύσει κοινῶς τὸ δεῖν κατὰ λόγον τε καὶ νόμον βιοῦν καὶ οὕτω βιοῦντας θεοφιλεῖς εἶναι, τοιούτους δὲ ὄντας ἄμεινον ζήσεσθαι ἐν τῷ μέλλοντι. Ταῦτα γὰρ καὶ πάνυ καλῶς οἴδασιν οἵ γε σπουδαῖοι. Ἀλλ' οὐ διὰ τὸ εἰδέναι μόνον τοιοῦτοί εἰσιν. Πολλοὶ γάρ, καλῶς εἰδότες καὶ ἄλλους πείθοντες, αὐτοὶ πονηροὶ ἐθέλομεν εἶναι. Ἀλλ' ὅτι ᾔδει καὶ τούτους ὁ Θεὸς τὰ χείρω αἱρησομένους καὶ προώριστο τοῦτο οὕτως ἐν τῇ θείᾳ περὶ αὐτῶν γνώσει, οὐδ' αὐτοὶ ἐπίστανται. Οὐκοῦν οὐδὲ βλάπτει αὐτοὺς τοῦτό γε. Ἑκόντες ἄρα αἱροῦνται ἀμφότεροι ὅ ποτε αἱροῦνται· διὸ καὶ οἱ μὲν στεφανοῦνται, οἱ δὲ κολάζονται, ὡς ὅλῃ αὐτῶν προαιρέσει τοιοίδε ἀποτελεσθέντες. Καὶ ὁ Θεὸς ἐν οἷς μέν ἐστιν αἴτιος, ἐν οἷς δὲ ἀναίτιος. Εἰ δὲ καὶ πάντων αἴτιος, ἀλλ' οὐδεμιᾶς γε ἀνάγκης ἐν τοῖς προαιρετοῖς· ὡς γὰρ ἔμελλε γίνεσθαι καὶ ὡς ἐπεφύκει ἕκαστα γίνεσθαι ἢ ποιεῖν, οὕτω προέγνωστο τῷ Θεῷ καὶ προώριστο, καὶ ὡς τὴν θείαν περὶ ἁπάντων βούλησιν εἰκός ἐστιν ἐμπλέκεσθαι τοῖς τοιούτοις, ὅπου μὲν οὐκ

A f. 167r **ἀναγκάζουσαν, | ὅπου δὲ συνεργοῦσαν μόνον, ὅπου δὲ συγχωροῦσαν ἐπ' ὠφελείᾳ, ὅπου δὲ ἐγκαταλείπουσαν τέλεον. Εἰ δέ τινες τῶν ἐνθέων** χωρίζοντες τὰ ἐφ' ἡμῖν προγινώσκειν **λέγουσι** τὸν Θεόν, οὐ προορίζειν, **'προορίζειν' τὸ ἐπαναγκάζειν βούλονται λέγειν· τοῦτο δὲ καὶ ἡμῖν εἴρηται,**

---

31 Καὶ…**32** προαιρετοῖς·] Nic. Meth., *vit. term*. I, 230-231; cf. *ibid.* I, 231 (Plat., *Resp.* 617E); cf. *ibid.* I, 232. **37** Εἰ…**39** λέγειν·] Joh. Damasc., *exp. Fid*. 44, II 30 (103, 1-2); cf. Eus., *p. e.* VI 11, 30 (350, 15-16); cf. Mich. Glyc., *In S. Scr.* 36 (387, 6-9); *ibid*. 37 (420, 5-7); cf. Blemm., *vit. fin.* II (26, 22-25); cf. Marc. Eug., *De vit. term.* 355; cf. Jos. Br., *cruc. IV* 317. **39** τοῦτο…**42** αὐτῶν] Cf. Eus., *p. e.* VI 11, 36 (351, 17-21); cf. Jos. Br., *cruc. IV* 317; cf. *ibid*., 317.

---

20 Δῆλον…**24** μέλλοντι] Cf. *ST* I, Q23 A.2 Resp. (*Vatop*. 254, 117r 27-29). **32** ἀλλ… προαιρετοῖς·] Cf. *SG* III, 94.7 (*Taurin.* XXIII, 237r 38-237v 3). **37** Εἰ…**39** λέγειν·] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 9-11); cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 117r 9-12); cf. *SG* III, 90.9 (*Taurin.* XXIII, 233v 21-26).

---

22 ἀνθρωπείᾳ] ἀνθρωπίνῃ B E **24** γε] *om.* E | σπουδαῖοι] σημείωσαι *adnot. in marg. sinis.* A m^2 **33** ἢ] καὶ *cum superscr.* -ἢ- A, ἢ B E **37** τινες] ὅ ρ α, *extens. adnot. in marg. sinis*. A m^2

ὅτι ἐν τοῖς θελήσει ποιοῦσιν οὐδὲν πλέον ἀνάγκης ἐπάγει τὸ προεγνῶσθαι καὶ προωρίσθαι πάντα ὑπὸ Θεοῦ ἢ εἰ μετὰ τὸ πράττειν αὐτοὺς ἐλευθέρως ἅττ' ἂν προαιροῖντο, ἐγίνωσκεν ὅτι τάδε πέπρακται ὑπ' αὐτῶν. Τὸ μὲν γὰρ γινώσκεσθαι αὐτά ποτε καὶ ἐξ αὐτῶν ἔστιν (ὡς γὰρ ὑπάρχοντα καὶ γινώσκεται), τὸ δὲ προεγνῶσθαι τοσοῦτον χρόνον τοῦ περιόντος τῆς θείας ἐπιστήμης ἐστίν. Οὔκουν συντελεῖ αὐτοῖς ἢ ἐμποδίζει τὸ προεγνῶσθαι, ἕως ἂν μὴ καί τις ἐπῇ ἀνάγκη ἐκ τοῦ προγινώσκοντος. Ὥστε οὐδὲ τὸ προωρίσθαι. Συντελεῖ δὲ τῷ προγινώσκειν τὸν Θεὸν τὸ προωρισμένα γινώσκειν· ἀορίστων γὰρ οὐκ ἄν ποτε γίνοιτο γνῶσις Θεῷ πρέπουσα. **Οὐκοῦν δεῖ μὲν ὡρίσθαι τὰ γινωσκόμενα ἁπλανῶς τε καὶ ὡρισμένως, δεῖ δὲ καὶ προωρίσθαι τὰ προεγνωσμένα, καὶ ὡρίσθαι γε οὐκ ἄλλοθεν ἢ ὑπ' αὐτοῦ, ποιητοῦ πάντων ὄντος καὶ τέλους ἐσχάτου· ταύτῃ γὰρ** ἐξ αὐτοῦ καὶ εἰς αὐτὸν εἶναι λέγεται πάντα**, ὡς αὐτοῦ γε ὄντος τοῦ τε τάττοντος ἕκαστα καὶ εἰς ὃν πάντα ἐσχάτως τάττονται, κἀντεῦθεν ἀκολουθεῖν τὸ καὶ εἰς τὰ προσεχῆ αὐτῶν τέλη ἕκαστα ὑπ' αὐτοῦ τάττεσθαι. Οὔκουν οὐδ' ἐκεῖνοι τὸν θεῖον προορισμὸν καὶ ἐν τοῖς ἐφ' ἡμῖν ἀγνοοῦσιν, ὡς μόνων τῶν ἀνθρωπίνων ἐνεργειῶν ἢ τῷ χείρους εἶναι τῶν ἄλλων οὐχ ὁριζομένων ἢ τῷ πάνυ βελτίους εἶναι μηδὲ τῇ θείᾳ γνώσει περιλαμβανομένων· ἤκουον γάρ που τοῦ λογίου** *κεκληκέναι **τὸν Θεὸν** οὓς προέγνω καὶ προώρισεν*, **οὗτοι δ' ἦσαν οἱ ὅσα ἦν ἐπ' αὐτοῖς θεοφιλῶς προῃρημένοι καὶ πράξαντες. Ἀλλὰ τὸ**

---

42 Τὸ…**51** ἐσχάτου·] Cf. Nic. Meth., *vit. term.* III, 263. **45** Οὔκουν…**47** προωρίσθαι] Cf. Procl. Is., *dec. prov*. 2, 7 (161, 39-42). | Οὔκουν…**54** τάττεσθαι] Cf. Nic. Meth. *vit. term.* I, 231; cf. Marc. Eug., *vit. term.* 357-358. **47** Συντελεῖ…**48** πρέπουσα] Cf. Procl. Is., *dec. prov*. 2, 7 (160, 21-23); cf. Psel., *phil. min.* 44 (156, 27-29); cf. *id*., *phil. min.* 47 (160, 9-10); cf. Nic. Meth., *vit. term.* III, 264; cf. Pleth., *fat.* 68. **48** Οὐκοῦν…**54** τάττεσθαι] Cf. Pleth., *fat.* 66. **51** ἐξ…**52** πάντα] I Cor. 8,6. **54** Οὔκουν…**59** πράξαντες] Cf. Marc. Eug., *vit. term.* 358. Οὔκουν…**63** εἶναι] Cf. Diod. Tars., *fr. in Rom*. 95, 11-19. **57** ἤκουον…**59** πράξαντες] Rom. 8, 29-30; cf. Anast. S., *qu. et resp*. 99, 3 (157, 27-35); cf. Nic. Meth., *vit. term.* II, 250. **59** Ἀλλὰ…**63** εἶναι] Cf. Eus., *p. e.* VI, 11 (354, 22-24); cf. Pleth., *fat.* 70; cf. Marc. Eug., *vit. term.* 357.

---

40 ἐν…**54** τάττεσθαι] Cf. *ST* I, Q23 A.6 Resp. (*Vatop*. 254, 121r 18-28). **51** ποιητοῦ… ἐσχάτου·] Cf. *SG* III, 17.2 (*Taurin.* XXIII, 170r 34-35). | ταύτῃ…**54** τάττεσθαι] Cf. *ST* I, Q22 A1 Resp. (*Vatop*. 254, 116r 9-10]; cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 14-16); cf. *SG* III, 16.3; cf. *SG* III, 25.6 (*Taurin*. XXIII, 177v 29-37); cf. *SG* III, 73.4 (*Taurin.* XXIII, 217r 26-27). **57** ἤκουον…**58** προώρισεν] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 25-26); cf. *ST* I, Q23 A.2 Resp. (*Vatop*. 254, 117v 16-18). **59** Ἀλλὰ…**63** εἶναι] Cf. *ST* I, Q23 A1 Resp. (*Vatop*. 254, 116v 10-13); Cf. *SG* III, 85.4 (*Taurin.* XXIII, 228r 3-12).

---

40 τὸ…41 προωρίσθαι] τὸ προωρίσθαι καὶ προεγνῶσθαι E **53** τάττονται] τάττεται E

‘προορίζειν’ ἀντὶ τῆς ἀνάγκης λαμβάνουσιν, οὐ πάνυ μὲν ἀκριβῶς ἐφιστῶντες τῷ σημαινομένῳ τῆς λέξεως, ἀκριβῶς δὲ πάνυ φρονοῦντες ὡς ὁ θεῖος προορισμὸς οὐκ ἀναγκάζει τὸ αὐτεξούσιον, ὡς μηδὲ τοιοῦτο λοιπὸν εἶναι. Ὥστε καὶ αὐτοὶ τῷ πλήθει τῶν ἄλλων ἐνθέων καὶ τῷ κανόνι τῆς ἀληθείας συνᾴδουσι.

A f. 167v **11.3. Τούτων ἁπάντων οὕτω τιθεμένων, | ὅτι οὐδὲν ἀναιρεῖται τῶν ὁμολογουμένων σαφές ἐστι. Μένει μὲν γὰρ τὸ ἐξ ἀνάγκης καλῶς, μένει δὲ τὸ ἐνδεχόμενον ἐν τοῖς αἰτίοις τε καὶ τοῖς ἐξ αὐτῶν γινομένοις, μένει δὲ τὸ συμβεβηκὸς ἐν τοῖς πράγμασι. Πάντα γὰρ ἐν τῇ τάξει τῆς θείας προνοίας, ὡς εἴρηται, περιέχεται, καὶ πάντα ἡ τάξις αὕτη διαλαμβάνει καλῶς μετὰ τοῦ ἑκάστῳ τὸ οἰκεῖον φυλάττειν.** Ἀλλὰ μὴν καὶ τὸ χρήσιμον τῶν εὐχῶν οὐκ ἐκβάλλεται οὕτως, οὐ μόνον ὡς καὶ αὐτῶν ὑπὸ τὴν τάξιν ταύτην οὐσῶν, ὡς ἐν τῷ τοῦ Ἰωάννου ὑποδείγματι εἴρηται, ἀλλ’ ὅτι καὶ πολλὰ παρὰ τὴν τάξιν τῶν ταπεινοτέρων αἰτίων ὁ Θεὸς εἴωθε πράττειν τὸν ἀνθρώπινον βίον οἰκονομῶν, ἃ τὴν ὅλην διάθεσιν τῆς αὐτοῦ προνοίας καὶ τὴν πάντα περιέχουσαν τάξιν οὐ μεταβάλλει οὔθ’ ὑπερβαίνει. **Οὐδὲν οὖν κωλύει τοιαῦτα ποιεῖν καὶ ταῖς εὐσεβέσι τῶν ἀνθρώπων αἰτήσεσι χαριζόμενον, ὃς** *τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιεῖν* **λέγεται καὶ** *τῆς αὐτῶν δεήσεως ἐπακούειν* **καὶ** *διηνεκῶς ἡμᾶς προτρέπεται ἐπὶ τὸ ζητεῖν*. **Ἀπολέλυται γὰρ ὁμολογουμένως πάσης ἀνάγκης, ἣν αὐτὸς ἐνέθηκε τοῖς ποιήμασι, καὶ διὰ τοῦτο πᾶσαν ὡρισμένην ἐξ αὐτοῦ τοῖς μερικοῖς αἰτίοις ἀνάγκην μεταποιεῖ θελήσας πρὸς τὴν σωτηρίαν τῶν εὐσεβῶς καταφευγόντων καὶ ἐπιμόνως προσεδρευόντων, ἢ ὑπὲρ ὧν ἱκετεύουσιν, ὧν ἁπάντων ἡ σωτηρία τῆς περὶ αὐτοὺς προνοίας τῆς καὶ διὰ τῶν ἄλλων κτισμάτων ὑπουργουμένης τέλος**

11.3.,13 τὸ…**14** ἐπακούειν] Ps. 144, 19. **14** διηνεκῶς…ζητεῖν] I Thes. 5, 17; Luc. 11,9-10 (cf. Mat. 7, 7-8). | Ἀπολέλυται…**20** ἐστίν] Cf. Marc. Eug., *vit. term.* 354.

11.3.,1 Τούτων…**6** φυλάττειν] Cf. *ST* I, Q19 A.8 Resp. (*Vatop*. 254, 102v 27-31); cf. *ST* I, Q19 A.8 Resp. (*Vatop*. 254, 103r 11-20); cf. *ST* I, Q22 A.4 Resp. (*Vatop*. 254, 116r 7-17); cf. *ST* I, Q23 A.6 Resp. (*Vatop*. 254, 121r 18-28); cf. *SG* III, 94.7 (*Taurin.* XXIII, 237r 38-237v 3); cf. *SG* III, 94.10 (*Taurin.* XXIII, 238r 29-35). **6** Ἀλλὰ…**11** ὑπερβαίνει] Cf. *ST* I, Q19 A.7 Resp. (*Vatop*. 254, 102r 22-25); *SG* III, 95.20 (*Taurin.* XXIII, 240v 27-30); cf. *SG* III, 99.2 (*Taurin.* XXIII, 243v 13-15); cf. *SG* III, 100.1 (*Taurin.* XXIII, 244v 26-27) **11** Οὐδὲν…**14** ζητεῖν] *SG* III, 95.21 (*Taurin.* XXIII, 240v 31-35); cf. *SG* III, 100.6-7 (*Taurin.* XXIII, 245r 21-25). **14** Ἀπολέλυται…**20** ἐστίν] Cf. *SG* III, 99.9 (*Taurin.* XXIII, 244r 35-244v 14-19).

11.3.,8 ταύτην] *add*. A **10** τὴν^2…11 τάξιν] τὴν .π.ε.ρ.ὶ. .τ.ὰ. περιέχουσαν τάξιν, περὶ τὰ *annot. et suppl. in marg. sinis.* “πάντα ex al. cod.”, B m^2

ἐστίν. Οὐδὲν γὰρ διαφέρει ἥλιον στῆσαι **τρέχοντα δικαίων εὐχαῖς ἢ ἐν πανσελήνῳ ποιῆσαι αὐτὸν ἐκλιπεῖν, τὸ παραδοξότερον, καὶ μηδενὸς εὐξαμένου τοῦτό γε, ἵνα τι ἑκατέρωθεν ἀγαθὸν καταπράξηται. Ἐν ἑκατέρῳ γὰρ τῶν θαυμάτων τὴν ὡρισμένην ἀνάγκην ἦγχε τῇ ἀπολελυμένῃ. Καὶ τὸν φονευθέντα ἂν ἐν ὕπνῳ ὑπὸ λῃστῶν ἐξαναστήσας καὶ κρύψας που ἀπήλλαξεν ἑτοίμης οὔσης τῆς συμφορᾶς, ἵνα τι περὶ αὐτὸν βέλτιον ἢ περὶ ἄλλους τῇ προσθήκῃ τοῦ βίου οἰκονομηθῇ. Ἀλλὰ καὶ εὐχῇ ἀπήλλαξεν ὁμοίου κακοῦ ἕτερον, ἰδόντα ἐπιὸν ἀφύκτως τὸ δεινὸν καὶ ἐπὶ τὸν δυνάμενον σῴζειν καταφυγόντα, ἔστιν ὅτε μετὰ τοῦ σῶσαι καὶ αὐτοὺς μεταβε | βλημένους τοὺς κτεῖναι προῃρημένους, καὶ φονευθέντας μὲν ἂν** A f. 168r **ὑπὸ τῶν τυράννων τοὺς μέχρι θανάτου ὑπὲρ τῆς πίστεως ἀπολογουμένους διεφύλαξε καὶ μὴ δεηθέντας, οἳ βυθιζόμενοι οὐκ ἀπεπνίγοντο, καὶ ἐμπιπρώμενοι οὐ κατεκαίοντο, καὶ θηρίων ἐπαφιεμένων οὔτε ἐβλάπτοντο ὁτιοῦν καὶ ἐτιμῶντο ὡς εἶχε τιμᾶν τὰ θηρία, καὶ δηλητηριούμενοι οὐκ ἀπέθνῃσκον· δεηθέντας δέ ποτε ἄλλους, μετὰ τὴν παρρησίαν καὶ ἄθλους πολλοὺς ἀποδεδειγμένους σὺν εἰρήνῃ ἐξῆγε τοῦ βίου καὶ χωρίς τινος φυσικῆς αἰτίας τῶν τὰ τοιαῦτα τέλη ἐν τοῖς ἀνθρώποις ἐργαζομένων. Ἐφ' ὧν ἁπάντων τὸ ὡρισμένως ἐν τοῖς κτίσμασιν ἀναγκαῖον, αἰτιατὸν ὂν καὶ κτιστόν, μείζονι τῇ ἀιδίῳ ἀνάγκῃ μεταποιεῖται. Ἡ μὲν γὰρ ἐν τοῖς ποιήμασιν ἀνάγκη διὰ τὸ θελῆσαι τὸν Θεὸν οὕτως ἔστιν, καὶ ἑκάστῳ θελῆσαι τὸ βέλτιστον τῇ αὐτοῦ φύσει καὶ τοῖς ἄλλοις, ὅσα δεῖταί τι αὐτῶν πρὸς τὸ εἶναι. Τὸ δὲ ἁπλῶς βέλτιστον, ἐν τῇ θελήσει τοῦ Θεοῦ κείμενον, ὥρισται μὲν καὶ αὐτὸ ἐκεῖ ἀεὶ καὶ ἑκάστοτε τῷ τε μὴ ἄν ποτε θελῆσαί τι τὸν Θεὸν παρὰ τὴν ὡρισμένην ἐν τοῖς ποιήμασι τάξιν, ὃ μὴ ἂν εἴη ἁπλῶς βέλτιστον, ὑφ' ὃ τὸ ἐν αὐτοῖς ἀγαθὸν τέτακται, τῷ τε τυγχάνειν ὡρισμένως προεγνωκότα ὅτι οὕτω ποιήσει, πρὸς δὲ τὴν ἐγκαθιδρυμένην τοῖς ποιήμασι καὶ δούλοις ἀνάγκην ἀόριστόν ἐστι καὶ ἀπολελυμένον, οὐδὲ συμπέπλεκταί**

---

20 ἥλιον στῆσαι] Ios. 10.12.

---

20 Οὐδὲν…**23** ἀπολελυμένῃ] Cf. *ST* I, Q19 A.8 Resp. (*Vatop*. 254, 102v 32-103r-4); cf. *ST* I, Q105 A.7 Resp. (*Coisl.* 280, 348r 9-11); cf. *ST* I, Q105 A.7 Resp. (*Coisl.* 280, 348r 14-16). **36** Ἐφ…**56** βούλεσθαι] Cf. *SG* III, 98.3-4 (*Taurin.* XXIII, 243r 12-29). **41** Τὸ…**45** ποιήσει] Cf. *ST* I, Q22 A.3 Resp. (*Vatop*. 254, 115r 22-24). **45** πρὸς…**48** ἑαυτῆς] Cf. *ST* I, Q19 A.5 Resp. (*Vatop*. 254, 100r 31-100v 4).

---

23 ἦγχε] ἦσχε E **29** ἂν] *supra lineam* E **39** ἔστιν] ἐστί E **46** καὶ δούλοις] καὶ τοῖς δούλοις B

γε τῇ τῶν ὄντων ἀκολουθίᾳ, ἀλλὰ τῆς ἁπλουστάτης καὶ ἐλευθέρας ἤρτηται τοῦ θείου θελήσεως, ᾗ νόμος οὐδεὶς ἔστιν οὐδ' ἀνάγκη πλὴν ἑαυτῆς. Οὐ γὰρ δύναταί ποτε εἰμὴ τοῦ βελτίστου εἶναι, ἢ ὡρισμένως ἢ ἀπολελυμένως. Καὶ ὡς μὴ ὄντα πρότερον ἐποίει τὰ ἐν τῷ κόσμῳ, οὐ δήπου τὴν ἐν τοῖς κτίσμασιν ὡρισμένην παρ' αὐτοῦ συμπροβιβάζων ἀνάγκην (οὔπω γὰρ ἦν), οὕτω καὶ ὄντα μετασκευάζει, ἐπειδὰν βουληθῇ ὁλοσχερεστάτῃ καὶ ἀρίστῃ διατάξει προνοίας καὶ τὸ μεῖζον ἢ κοινότερον ἀγαθὸν διαπραττομένῃ μετὰ τοῦ μηδὲ τὰ ἄλλα ἀναιρεῖν. Ταῦτα δὲ συνᾴδει καλῶς τοῖς ἐξ ἀρχῆς εἰρημένοις, ἐν οἷς ἔστι καὶ τὸ τὸν Θεὸν μὴ πεποιηκέναι τὰ ὄντα τῷ πεφυκέναι, ἀλλὰ τῷ βούλεσθαι**.**

A f. 168ᵛ **12. Εἰ δὴ περὶ τὰ κεφάλαια τοῦ ἀνθρωπείου | βίου τὸ τῶν εὐχῶν οὐκ ἀναιρεῖται δραστήριον, πολλῷ μᾶλλον ἐν διαθέσεσι καὶ ὕλαις καὶ τρόποις καὶ τόποις καὶ ὅσα ἁπλῶς ταῖς ἀνθρωπίναις πράξεσιν ἢ πάθεσι σύνεισιν. Οὔτε γὰρ ὡρισμένα ἐκ τούτων τοῖς ἀνθρώποις ἀκολουθεῖ οὔτε ἑνὶ τρόπῳ πάντα πᾶσι συμπλέκεται, ἀλλ' ἐνδέχεται μὲν ἐκ τῶν αὐτῶν πρὸς τἀναντία κινεῖσθαι τὰς ἀνθρωπίνας αἱρέσεις, καὶ οὐ μόνον πλειόνων ἀνθρώπων, ἀλλὰ καὶ τῶν αὐτῶν ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ, ὡς δὲ καὶ ἐκ τῶν ἐναντίων ἢ διαφόρων ἐνδέχεται πρὸς τὸ τὰ αὐτὰ αἱρεῖσθαι ἐνάγεσθαι. Καὶ ἐμπεριλαμβάνονται μὲν τῇ διατάξει τῇ θείᾳ, οὐκ ἐκπληροῦνται δ' ἀεὶ πάντα ἰδιαιτάτῃ τῆς θείας χάριτος ἐκπληρώσει ὥσπερ τὰ τέλη αὐτῶν, ἀλλ' ὡς προηγούμενα μόνον ἢ ἐπακολουθοῦντα αὐτοῖς ἐνώπιόν εἰσι τῶν ὀφθαλμῶν τοῦ Θεοῦ καὶ ὡς δι' αὐτῶν ἑκάστου ἀνθρώπου ἐπὶ τὰ κεφάλαια τοῦ ἰδίου βίου παρασκευαζομένου· τῇ δὲ τάξει τῶν μερικῶν αἰτίων**

---

54 Ταῦτα…**56** βούλεσθαι] Cf. Theodor., *prov.* II 83 (581D-584A); cf. Theoph. Nic., *de aet. mundi* 36 (32, 26-28). **12.,1** Εἰ…**13** παρασκευαζομένου·] Marc. Eug., *vit. term.* 355.

---

48 Οὐ…**54** ἀναιρεῖν] Cf. *ST* I, Q45 A.5 Resp. (*Coisl*. 280, 15v 15-18); cf. *ST* I, Q103 A.5 Resp. (*Coisl*. 280, 329v 17-23). **54** Ταῦτα…**56** βούλεσθαι] Cf. *SG* III, 1.2 (*Taurin.* XXIII, 160r 8-10); cf. *SG* III, 64.9 (*Taurin.* XXIII, 208r 11-13); cf. *SG* III, 75.5 (*Taurin.* XXIII, 218v 4-5);.cf. *SG* III, 98.4 (*Taurin.* XXIII, 243r 21-22); cf. *SG* III, 99.10 (*Taurin.* XXIII, 244v 14-19); cf. *ST* I, Q19 A.4 Resp. (*Vatop*. 254, 99r 10-12). **55** τὸ…**56** βούλεσθαι] *ST* I, Q19 A.4 Resp. (*Vatop*. 254, 98r, 10–12); *SG* III, 1.2 (*Taurin.* XXIII, 160r, 8–10); *SG* III, 64.9 (*Taurin.* XXIII, 208r, 11–13); *SG* III, 75.5 (*Taurin.* XXIII, 218v, 4–5); *SG* III, 98.4 (*Taurin.* XXIII, 243r, 21–22); *SG* III, 99.10 (*Taurin.* XXIII, 244v, 14–19). **12.,8** Καὶ…**18** κινουμένας] Cf. *ST* I, Q23 A.8 Resp. (*Vatop*. 254, 123r 17-28).

---

47 ὄντων] ἀνθρώπων E **12.,1** ἀνθρωπείου] ἀνθρωπίνου B E

ἀφίενται ὡς ἐπίπαν καὶ τῇ ἀνθρωπίνῃ βουλῇ. Ἐν τούτοις οὖν καὶ μάλιστα τῶν εὐχῶν ὁ Θεὸς ἐπακούων τῷ ταῖς ἀνθρωπείαις ἀσθενείαις συντρέχειν τὴν τῶν μερικῶς ποιούντων διάταξιν πρὸς τὸ συμφέρον πολλάκις μεταποιεῖ μετὰ τοῦ καὶ τὰς θελήσεις τῶν ἀνθρώπων ἔσθ' ὅτε προσάγειν αὐτῷ τὰς οἴκοθεν κινουμένας. Ἱκετεύομεν δὲ καὶ ὑπὲρ ἀμφοῖν τούτων οἱ ἄνθρωποι, καὶ οὐχ οἷόν τε ἦν τὸν ὑπεράγαθον τοῖς τὸ συμφέρον αἰτοῦσι πρὸς τὴν προκειμένην ζωήν, ἧς προὔργου ἐπιθυμεῖν φαίνονται, μὴ τά τε ἔξωθεν κωλύματα ἀναιρεῖν καὶ τὰς ψυχὰς καταλάμπειν πρὸς τὴν εὕρεσιν τοῦ συμφέροντος, ὁπόταν μὴ πάνυ σαφὲς ᾖ· ταῦτα δὲ καὶ χωρὶς εὐχῶν πάνυ ποιεῖ ἐν τοῖς ἀξίοις καὶ μὴ εὐχομένοις τυγχάνειν, ὥσπεροῦν πολλοὶ εὐχόμενοι οὐκ ἀξίᾳ παρασκευῇ ἢ ἀγνοίᾳ τοῦ ὠφελίμου, οἱ μὲν τῇ ὁδῷ τῆς αὐτῶν βουλῆς καταλείπονται καὶ τῆς φύσεως ἐπ' ὠφελείᾳ δήπου τινὶ αὐτῶν ἢ ἑτέρων, εἰ καὶ κακῶς τι πάσχειν δοκοῦσιν, οἱ δὲ οὐχ ὃ ζητοῦσιν, ἀλλ' ὃ σφίσι συμφέρει λαμβάνουσιν· τῆς γὰρ αὐτῆς τοῦ εὐμενεστάτου πατρὸς **προνοίας ἂν εἴη** ἰχθῦν τε αἰτοῦντι μὴ ἐπιδιδόναι, **φησίν,** ὄφιν καὶ ἰχθῦν ἀνανεύοντι ἐξηπατημένῳ παρέχειν ἰχθῦν, οὐκ ὄφιν, | εἴ τις τῶν ἀγαθῶν τοῦ A f. 169r
πατρὸς δομάτων ἄξιος εἴη, **τ' ἄλλα παῖς ἀγαθὸς ὤν. Ὃ δὲ μεῖζον εἰς ἔνδειξιν τῆς περὶ ἡμᾶς ἀγαθῆς τοῦ Θεοῦ προνοίας, ὅτι καὶ πρὸς τὸ εὔξασθαί που ἐνάγει, ἵνα σὺν ὑποσχέσει τοῦ ἀμέμπτως ποτὲ βιώσεσθαι καὶ θεοφιλῶς αὐτοῦ δεηθέντες λάβωσιν ὃ βούλεται αὐτοῖς διδόναι βελτιωθεῖσιν, εἴτε προσθήκη ζωῆς εἴη τοῦτο εἴτε δουλείας ἀπαλλαγὴ εἴτε ὁτιοῦν. Οὐδεὶς γὰρ ἔστιν, ᾧ μὴ ἀφορμὰς δίδωσιν ὁ Θεὸς καθάρσεως, ἄλλῳ ἄλλας, εἰδὼς μὲν ὅσοι αὐτὰς οὐχ ἁρπάσουσι, τὸ δὲ ἀνῆκον τῇ ἀγαθότητι ἅπαν παντὶ τῷ πλάσματι χαριζόμενος, ἵνα περὶ τῶν ὑπολοίπων τοῖς τε βελτιουμένοις τοῖς τε ἀνεπιστρόφως ἔχουσι τῇ αὐτοῦ μέλῃ δικαιοσύνῃ.**

---

14 Ἐν…**18** κινουμένας] Cf. Marc. Eug., *vit. term.* 354. **28** ἰχθῦν[1]…**30** εἴη] Luc. 11, 11-13; Mat. 7, 9-11. **34** Οὐδεὶς…**35** Θεὸς καθάρσεως] Cf. Nic. Meth., *vit. term.* I, 234.

---

14 Ἐν…**18** κινουμένας] Cf. *SG* III, 95.5 (*Taurin.* XXIII, 239r 20-21). **22** ταῦτα…**27** λαμβάνουσιν·] Cf. *SG* III, 10.14 (*Taurin.* XXIII, 167v 5-9); cf. *SG* III, 95.9 (*Taurin.* XXIII, 239r 30-34).

---

15 ἀνθρωπείαις] ἀνθρωπίναις B E **19** τὸν ὑπεράγαθον] παντοδύναμόν τε καὶ *add. ante* ὑπεράγαθον E **25** καὶ] *rep. apud mutatio folii* B **27** λαμβάνουσιν·] λαμβάνουσι E **29** ἰχθῦν…ὄφιν] ἀλλ' *add. ante* οὐκ ὄφιν E **32** ποτὲ] λοιπὸν E **36** ἁρπάσουσι] ἁρπάζουσι E

13. Τοιούτων πλήρεις αἱ ἱεραὶ ἱστορίαι, καὶ οἱ πολύθεοι δὲ τοιαῦτα ἱστοροῦσι πολλά, εἰ καὶ περὶ τὰ αἴτια αὐτῶν καὶ τοὺς τρόπους πεπλάνηνται, θεότητα μέν τινα καὶ αὐτοὶ αἰτιώμενοι τῶν τοιούτων καὶ πρόνοιαν καὶ ἀνάγκην, διανέμοντες δὲ τὴν θεότητα οὐκ εὐσεβῶς τοῖς τοῦ μόνου Θεοῦ ποιήμασι, πρὸς τὸ αἰτιῶδες αὐτῶν ἐξηπατημένοι, τὴν δὲ πρόνοιαν ἢ οὐ πάντων ἢ οὐκ ὀρθῶς λέγοντες, τήν τε ἀνάγκην ἱδρύοντες ἔνθα οὐ χρὴ σὺν οὐδεμιᾷ λόγων ἀνάγκῃ, καί, ὃ μεῖζόν ἐστιν, οὐδὲν οὔτε σφίσιν αὐτοῖς ἕκαστοι οὔτε ἀλλήλοις ὁμόλογον ἀξιοῦντες**. Ἐν τούτοις πᾶσι τοῖς περὶ τῆς θείας φιλανθρωπίας ἱστορουμένοις μετὰ τοῦ ταῦτά τε ἀληθῆ εἶναι καὶ ἡμᾶς ὀρθοτάτῳ λογισμῷ κεχρημένους εὔχεσθαι περὶ ὧν χρὴ τῷ δημιουργῷ καὶ τὸ τῆς θείας προνοίας προωρισμένον καὶ ἀμετάβλητον διασῴζεται. Οὔτε γὰρ διὰ τὸ ἅπαξ ἢ δὶς** στῆναι τοῦ δρόμου τὸν ἥλιον **τῇ τοῦ ποιήσαντος αὐθεντίᾳ ἡ περὶ αὐτὸν ἤμειπται καθόλου τῆς προνοίας διάταξις, οὔτ' ἔξω τῶν περὶ ἡλίου προωρισμένων καὶ τοῦτ' ἦν. Καὶ** Ἐζεκίας δὲ προσθήκην ζωῆς ἐλάμβανεν ἐκ τῆς περὶ τὸν βίον μεταμελείας καὶ καταφυγῆς εὐσεβοῦς πρὸς τὸν ζωῆς αἴτιον**, οὕτως οἰκονομήσαντος τοῦ Θεοῦ καὶ ὁρισαμένου ἂν τότε ὁμολογουμένως αὐτῷ τὴν ζωήν, ὡς ἠπείλησεν, εἰ μὴ μετενόει, ἀλλ' οὔτ' ἐντεῦθεν ὁ θεῖος ἠμείφθη προορισμὸς περὶ τῆς ἑκάστου ζωῆς τε καὶ τελευτῆς, ἐν ᾧ περιέχεται καὶ τὸ δύνασθαι ταῦτα πρὸς τὸ συμφέρον**
A f. 169v **διατιθέναι | τὸν θανάτου καὶ ζωῆς κύριον, οὔτ' ἔξω τῶν περὶ Ἐζεκίου προωρισμένων καὶ τοῦτ' ἦν, τὸ εὐξάμενον σὺν βελτιώσει τοῦ βίου προσθήκην ταύτην λαβεῖν· καὶ ὅ ποτε πέρας τῆς περὶ τὸν Ἐζεκίαν καθόλου**

13.,1 καὶ…**7** ἀνάγκῃ] Cf. Pleth., *fat.* 64-66. **3** τοιούτων…**8** ἀξιοῦντες] Theodor., *Graec. aff. cur. (serm.* VI, *De provid. Dei)* 14 (258), 11-15; Anast. S., *inter. et resp.* 96 (89, 736C) **8** Ἐν…**14** ἦν] Cf. Pleth., *fat.* 64. **12** στῆναι…ἥλιον] Ios. 10.12. **14** Καὶ…**16** αἴτιον] Cf. Germ., *vit. term.* 24, 10-11. | Καὶ…**31** προωρισμένως] Cf. Anast. S., *qu. et resp*. [App.], 23a (titulus), (213,1-214,13) [= (Ps.-) Ath., *qu. Ant.* 113 (titulus), 28, 668a]. | Ἐζεκίας…**16** αἴτιον] IV Regn. 20, 1-6; cf. Anast. S., *qu. et resp*. [App.] 23b, 9 (220, 81-86); cf. Nic. Meth., *vit. term.* II, 250; cf. Blemm., *vit. fin.* I (11, 24-33); cf. Marc. Eug., *vit. term.* 353.

13.,1 Τοιούτων…**8** ἀξιοῦντες] Cf. *SG* III, 2.10 (*Taurin.* XXIII, 161v 33-35); cf. *SG* III, 38.3 (*Taurin.* XXIII, 185r 4-10). **7** οὐδὲν…**8** ἀξιοῦντες] *ST* I, Q22 A.2 Resp. (*Vatop*. 254, 113v, 28–32); *ST* I, Q116 A.1 Resp. (*Coisl*. 280, 404r, 13–16). **8** Ἐν…**11** διασῴζεται] Cf. *SG* III, 129.3 (*Taurin.* XXIII, 266v 25-26). **11** Οὔτε…**14** ἦν] Cf. *ST* I, Q19 A.8 Resp. (*Vatop*. 254, 102v 32-103r-4); cf. *ST* I, Q105 A.7 Resp. (*Coisl.* 280, 348r 9-11); cf. *ST* I, Q105 A.7 Resp. (*Coisl.* 280, 348r 14-16). **14** Καὶ…**23** μεταποιηθῆναι] Cf. *ST* I, Q19 A.7 Resp. (*Vatop*. 254, 102r 32-102v 3); *SG* III, 95.17 (*Taurin.* XXIII, 240r 19-23).

13.,8 ὁμόλογον] ὁμόλογα E **18** τε] *supra* ζωῆς B **19** πρὸς…20 διατιθέναι] διατιθέναι πρὸς τὸ συμφέρον B

θείας προνοίας ἦν, τοῦτ' ἀμήχανον ἦν μεταποιηθῆναι. Ὥστε, εἰ καὶ δὶς αὐτῷ, τοσοῦτος αὖ προσετίθετο χρόνος, ἐκεῖνος ἂν ἦν ὁ τῆς ζωῆς τελευταῖος ὅρος αὐτῷ καὶ προσετίθετ' ἂν δήπου, οὐκ ὢν δὲ οὐδὲ προσετίθετο. Καὶ εἰ προαιρούμενος μετενόει Ἐζεκίας ἐνδεχομένου αὐτῷ καὶ μὴ θέλειν μετανοεῖν, ἀλλ' ὁ Θεὸς ᾔδει ὡρισμένως ὅτι μετανοήσει καὶ οὐκ ἀποθανεῖται εὐθὺς τότε· καὶ εἰ ἀπέθνῃσκεν ἂν εὐθὺς μὴ μετανοῶν, οὐχ ὡς οὕτω καὶ προωρισμένον ἐγίνετ' ἂν οὕτως, ἀλλ' ἦν ἂν ὅτι γενήσεται οὕτω προωρισμένον ἐν τῇ πάντα περιεχούσῃ τοῦ Θεοῦ γνώσει, καὶ ἐγίνετ' ἂν τὸ ἀνθρωπίνῃ γνώμῃ γινόμενον καὶ τῇ θείᾳ γνώσει προωρισμένως. Ὁ δ' αὐτὸς καὶ περὶ τῶν ὁμοίων ἔστι λόγος. Ἐπεὶ τοίνυν καὶ οὐδὲν ἀναιρεῖται τῶν ὁμολογουμένων ἐκ τοῦ πάντα ἐκεῖνα οὕτω τίθεσθαι ὡς περὶ ἀληθεστάτων, τῷ δεδωκότι καὶ γνῶναι οὕτω καὶ εἰπεῖν χάριν ὁμολογοῦμεν Θεῷ· ᾧ πρέπει δόξα ἐκ πάντων εἰς τοὺς αἰῶνας· ἀμήν.

---

28 τότε·] *om.* E **34** οὕτω…εἰπεῖν] καὶ εἰπεῖν οὕτως B

A f.170r

Περὶ θείου προορισμοῦ, δεύτερον

1. Κλινοπετὴς ἐδεξάμην σου τὴν ἐπιστολήν. Καὶ νῦν ὀψὲ μικρὸν ἀνασφήλας τῆς νόσου ἐβουλόμην μὲν μηδὲν ἀποκρίνεσθαι περὶ ὧν ἐπυνθάνου, συνήθει δὲ γραφῇ τὸ τῆς εὐνοίας μόνον χρέος πληροῦν· ὁ γὰρ ἡμέτερος καιρὸς καὶ τῶν ἡμετέρων ᾤχετο λόγων, μᾶλλον δὲ παντὸς ἀγαθοῦ, καὶ δεῖ τὴν ἐσχάτην ἀμορφίαν τοῦ γένους ἐν ἅπαντι πράγματι καθημένους ἐν γωνίᾳ που θρηνεῖν σιωπῇ καὶ τὴν ἀπαγωγὴν τῆς τοιαύτης ἐξαιτεῖσθαι ζωῆς, ὁπόταν ἐπινεύῃ τὸ θεῖον. Ἀλλ' ἡ πρὸς τὸν μέγαν Βασίλειον αἰδὼς κατηνάγκασεν· ἐκείνῳ τοίνυν ἔχοις ἂν τὴν χάριν, οὐχ ἡμῖν, ταυτησὶ τῆς ἀπολογίας. Ὁ μὲν γὰρ μέγας τῆς ἐκκλησίας διδάσκαλός φησί που· Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἡμᾶς συμφέρον προβλεπομένου**. Σὺ δὲ ὁσιώτατε καὶ φίλτατε, ἀκούειν λέγεις πολλῶν πολλοῖς ἐπιχειρήμασι μὴ θελόντων τοῦτο μηδὲ δεχομένων· ὅθεν καί τινας αὐτῶν τὸν μέγαν ἐξαιτιωμένους ἐπὶ τούτῳ Βασίλειον λέγειν, ὡς ἐκ τοῦ παρήκοντος εἶπεν οὕτω καὶ δι' ὠφέλειαν τῶν τότε ἐκείνου ἀκουόντων.**

2.1. Εἶναι μὲν οὖν πολλοὺς τοὺς ταῦτα λέγοντας οὐδὲν θαυμαστόν· τὰ γὰρ θεῖα καὶ ὑψηλὰ **καὶ φιλοσοφίας γέμοντα τοὺς πολλοὺς διαπέφευγεν. Ὅθεν οὐδὲ χρὴ ποιεῖσθαι πρὸς ἐκείνους λόγον οὐδένα· σὲ δὲ εὐνοίας ἕνεκα τῷ μεγάλῳ συνιστῶμεν πατρὶ καὶ τῷ τὴν ἱερὰν ἐκείνου ψυχὴν φωτίσαντι Πνεύματι.** Ἔστω δέ, ὡς αὐτοί φασιν, ἐκ τοῦ παρήκοντος θεολογεῖν τινα τῶν ἀληθῶν θεολόγων· ἀλλὰ ψευδῆ θεολογεῖν οὐχ οἷόν τε οὔτε προὔργου οὔτ' ἐκ

1.,10 Θάνατοι…**12** προβλεπομένου] Bas., *Deus non auct. mal.* 31 (333B); Bas., *mor.* 11 / *mort.* 32 (1268C); cf. Germ., *vit. term.* 12, 24-30; cf. *ibid.* 18, 9-12; cf. *ibid.* 56, 4-9; cf. Nic. Meth., *vit. term.* II, 238-239; cf. Blemm., *vit. fin.* I (6, 26-29); cf. Blemm., *vit. term.* II (24, 1-4). **12** Σὺ…**15** ἀκουόντων] Cf. Marc. Eug., *vit. term.* 351; cf. *ibid.* 358, 14-16; cf. *ibid.* 359, 4-11; cf. Nic. Meth., *vit. term.* II, 244; cf. Nic. Meth., *vit. term.* II, 244; cf. Blemm., *vit. term.* II (22, 29- 23, 4). **13** ὅθεν…**15** ἀκουόντων] Cf. Mich. Glyc., *In S. Scr.* 37 (452, 3-10); cf. *ibid.* 37 (453, 10-14). **2.1.,1** τὰ…**2** ὑψηλὰ] Sir. 3, 21–23. | τὰ…**2** διαπέφευγεν] Cf. Nic. Meth., *vit. term.* I, 223. **5** Ἔστω…**6** θεολόγων·] Cf. Anast. S., *qu. et resp.* 99, 5 (158, 46-58). | Ἔστω…**21** μᾶλλον] Cf. Marc. Eug., *vit. term.* 358; cf. Nic. Meth., *vit. term.* II, 244.

---

36 Περὶ…δεύτερον] Titulus: Περὶ προορισμοῦ, δεύτερον· †Τῷ τιμιωτάτῳ καὶ ὁσιωτάτῳ ἐν μοναχοῖς γενναίῳ Ἰωσὴφ τῷ ἐν Θεσσαλονίκῃ Γεννάδιος μοναχός, Ἰνδικτιῶνος ιε΄ Ἰουλίῳ (ex Ἰουλλίῳ *correxi*) ἐν τῇ μονῇ τοῦ Τιμίου Προδρόμου [ἐν τῷ ὄρει τοῦ] Μενοικέως A | Περὶ θείου προορισμοῦ, δεύτερον· Γεννάδιος μοναχὸς ὁ Σχολάριος τῷ τιμιωτάτῳ καὶ λογιωτάτῳ ἐν μοναχοῖς κυρίῳ Ἰωσὴφ τῷ ἐν Θεσσαλονίκῃ χαίρειν· B **1.,2** ἀποκρίνεσθαι] ἀποκρίνασθε *primum scr. deinde suppl. et corr.* ⌜ε⌝ *supra* –να- B **2.1.,3** ἕνεκα] εἵνεκα B **5** δέ] δὴ B

τοῦ παρήκοντος θεολογοῦντα. Ἔμελλε δὲ ἐκ τοῦ παρήκοντος θεολογεῖν ποτε ὁ πάσης προσοχῆς καὶ ἀκριβείας κανών, καὶ ταῦτα περὶ μεγίστου δόγματος | καὶ A f. 170v
εἰς τὸ δεύτερον τῆς πίστεως ἀνήκοντος ἄρθρον, καὶ δι' ὠφέλειαν τῶν ἀκουόντων ἔμελλε ψευδῆ προτιθέναι δόγματα; Καὶ ὠφέλεια τῶν ἀκουόντων ἂν ἦν, ἵνα περὶ τὸ ἦθός τι βελτίους γινόμενοι ψευδοδοξῶσι περὶ Θεοῦ καὶ τῶν θείων; Καὶ ὠφελῶν ἄλλους ἐν μικροῖς ἔβλαπτεν ἑαυτὸν ἐν τοῖς μεγίστοις ἑκὼν περὶ τῶν θείων ψευδόμενος, καὶ ταῦτα μηδὲ πρὸς δῆμον τὸν λόγον ποιούμενος, ἀλλ' ἰδίᾳ τισὶ πεπαιδευμένοις τε καὶ παρακολουθεῖν δυναμένοις; **Καὶ μὴν παντὶ συλλογιζομένῳ, εἰ καὶ σκοπός ἐστι τὸ συμπέρασμα, ἀλλ' οὐκ ἐκ τοῦ παρήκοντος αἱ προτάσεις λαμβάνονται, πρὸς δὲ τὸν λόγον καὶ τὴν κατ' αὐτὸν ἀλήθειαν, ἁπλῶς δηλονότι, αὗται καὶ μᾶλλόν εἰσι προὔργου, ὡς ἄνευ αὐτῶν ἀδύνατον συμπεραίνειν· ὁ δὲ τῆς ἀληθείας διδάσκαλος ἐκ τοῦ παρήκοντος ποιήσεται καὶ παρέργως τὴν ἐκ τῶν θείων λογίων ἀπόδειξιν; Εἰ δὲ καὶ ἐκ μὴ ἀληθῶν, τὸ πεῖσαι μόνον σκοπῶν, ἔτι τῆς ἀληθείας ἔσται διδάσκαλος ἢ σοφισταῖς ἐναρίθμιος μᾶλλον; Εἰ τοίνυν ἐκ τῆς οὐρανίου προδιατάξεως περὶ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς κατά τε χρόνον καὶ τρόπον ὁ μέγας ἤθελε πείθειν μεθ' ὑπομονῆς εὐχαρίστου φέρειν τὴν τελευτήν, μᾶλλον δὲ ἀναγκάζειν, ὡς ἄλλως μέλλοντας ἀσεβήσειν, ἢ τὸν θεῖον ἀγνοοῦντας προορισμὸν ἢ εἰδότας καὶ οὐ φροντίζοντας ἐκ φιλοζωίας ἑαυτῶν τε καὶ τῶν οἰκείων ἀλόγου, οὐκ ἦν αὐτῷ μάλιστα προὔργου ὁ περὶ τῆς θείας προδιατάξεως λόγος τῷ μετὰ τῆς ἀληθείας πείθειν ἐθέλοντι; Ἢ οὐχὶ καὶ τοῖς διδασκομένοις, εἴπερ ἐβούλοντο πείθεσθαι, προὐργιαίτατος ἂν ἦν, ὡς διὰ τοῦτον μάλιστα πειθομένοις; Ὥστε πάνυ χυδαῖον οὕτως ἐξαιτιᾶσθαι τὸν καθάπαξ ἀναίτιον. Ἀλλὰ φρονιμώτερον ἂν ἐξητιῶντο λέγοντες ὡς, εἰ σοφὸς ἦν καὶ θεῖος, ἀλλ' ὡς ἄνθρωπος ἠγνόησεν ἐν τούτῳ τῷ μέρει καὶ οὐκ ἠδυνήθη καλῶς | τῆς** A f. 171r

7 Ἔμελλε…**8** κανών] Cf. Anast. S., *qu. et resp*. 99, 3 (157, 24-27). **9** εἰς…ἄρθρον] Cf. *Vat. Ros.* 986, f. 306r, 9 -306v, 6. **14** Καὶ…**18** συμπεραίνειν·] Cf. Theod. Agal. *epist*. 2, 412. **21** Εἰ…**24** τελευτήν] Cf. Marc. Eug., *vit. term*. 355; Cf. Theoph. Sim., *vit. term.* III (28, 31–30, 5). **30** Ὥστε…ἀναίτιον] Cf. Marc. Eug., *vit. term.* 353; cf. *ibid*. 359.

2.1.,8 περὶ…**9** ἄρθρον] Cf. *ST IIa IIae,* Q1 A.8 Resp. (t.15, 47, 13-17) [*Par. Gr.* 1237, 5v (8v), 23-27]; cf. *ibid*. (t.15, 49, 15-20) [*Par. Gr.* 1237, f. 6r (9r), 24-28] [= *ST* I, Q13 A.8 Resp. (*Coisl.* 279, 85r 10-13) = *Compendium* ST *Ia*, Q13 A.8 (V 349, 19-21)]; [cf. *Vat. Ross.* 986, f. 306r 9-10 et sic porro].

9 εἰς…ἄρθρον] **20** ἐκ] *suppl. supra lineam* A

ἀληθοῦς καὶ σοφῆς ἐφικέσθαι γνώμης καὶ διακρίσεως. Ἀλλ' οὐδὲ τοῦτο λόγον ἔχον ἐστίν· ἡμεῖς γάρ, καίτοι τὸν μέγαν εἰδότες οὐ σοφίᾳ μόνον παρεληλακότα πάντας, ἀλλὰ καὶ τοῖς ἐκ Θεοῦ φωτισμοῖς διαπρέψαντα, 35
ὅμως οὐκ αὐτῷ τιθέμεθα μᾶλλον ἢ Ἀθανασίῳ καὶ Γρηγορίῳ τῷ Θεολόγῳ καὶ τῷ Νύσσης αὐτῷ καὶ Αὐγουστίνῳ, οἷς πᾶσιν ὁ μέγας ἐνταῦθα συνᾴδει Βασίλειος καὶ οὗτοι πάντες αὐτῷ. Καὶ πῶς οἷόν τε τηλικούτους διδασκάλους ὁμοῦ περὶ τοῦτο πλανηθῆναι τὸ μέρος;

2.2. Ὅτι δὲ πολλαχοῦ τὰ αὐτὰ ταῦτά φησι καὶ μετὰ πολλῆς τῆς ἐπεξεργασίας, ὡς προὔργου τὸν περὶ τούτων λόγον ποιούμενος καὶ ὠφελεῖν μέλλων τῇ δόξῃ τῆς ἀληθείας τοὺς παρακολουθεῖν δυναμένους, ἄκουε τί φησιν ἀλλαχοῦ, καὶ σπουδάσας εὑρήσεις· Μὴ αὐτόματόν τινα εἴπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις, ὡς μηδενὸς προστάτου τὸν κόσμον 5
οἰκονομοῦντος, πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας· ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησεν, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο 10
κατὰ τοὺς τῆς ἀρρήτου σοφίας ἑαυτοῦ καὶ δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαί, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον, κατὰ τὴν ἀξίαν τῆς ἀναλογίας ἑκάστου 15
σοφῶς καὶ βαθέως καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων τὰ περὶ ἕκαστον
A f. 171v ἡμῶν τοῦ κτίσαντος προβλεπομένου. Οὐκ | ἀκούεις λέγοντος τοῦ Δαυίδ· "Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου"**;** οὐκ ἤκουσας περὶ τοῦ ἁγίου ὅτι "*ἀπελύθη αὐτοῦ ἡ ψυχή*"; Τί δὲ Συμεών, ὅτε ἐνηγκαλίσατο τὸν Κύριον ἡμῶν

---

36 ἢ…Θεολόγῳ] Cf. Germ., *vit. term.* 14 11-19; cf. *ibid* 36, 25-30. | Ἀθανασίῳ] Cf. (Ps.-) Ath., *qu. Ant.* 113 (668C-D). **2.2.,1** Ὅτι…**17** προβλεπομένου] Cf. Germ., *vit. term.* 18, 26-20, 13. **4** Μὴ…**22** διατριβή] Bas., *in Jul.* 31 (248C); *ib.* 31, 248D-249B; cf. *id., mor.* 11 / *mort.* 32 (1257D-1260A); cf. Nic. Meth., *vit. term.* II, 239; cf. Blemm., *vit. fin.* II (25, 22-26, 3); cf. Blemm., *vit. fin.* II (24, 4-21). **19** ἀπελύθη…ψυχή] Cf. Tob. 3,6.

2.2.,4 Μὴ…**6** σεαυτῷ] Cf. *Compendium SG* III, 93 (V 179, 24-28).

2.2.,8 ἄλλοις] רוח A **18** ἁγίου] *** *lac. inter* ἁγίου *et* ὅτι, *fort. pro post scr.* A B : [Τωβίτ?] Œ

ποίαν φωνὴν ἀφῆκεν; Οὐχ ὅτι "Νῦν ἀπολύεις τὸν δοῦλον σου Δέσποτα"; Τῷ γὰρ ἐπειγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή.

2.3. Ταῦτα μὲν ἐν ἑνὶ λόγῳ φησίν. Ἐκ τοῦ παρήκοντος οὖν δογματίζει τὴν πατρικὴν ὁμοῦ καὶ δεσποτικὴν περὶ τῆς ἀνθρωπίνης ζωῆς καὶ μεταστάσεως πρόνοιαν καὶ ὅλως τὸν θεῖον ἐν τοῖς ἀνθρώποις προορισμὸν καὶ ὑποδείγμασι καὶ γραφικαῖς ἀποδείξεσι μετὰ πολλῆς δεικνύων σπουδῆς; Καίτοι γε εἰ πρὸς ἀντιλέγοντας ἐποιεῖτο τὸν λόγον, εἶδες ἂν πᾶσαν τὴν ἱερὰν Γραφὴν αὐτὸν ἐπιφέροντα. Ἀλλὰ καὶ πανταχοῦ τῶν αὐτοῦ λόγων προδιατεταγμένον ἐν ἑκάστοις τῆς ζωῆς τὸ τέλος καλεῖ, κἀντεῦθεν ἄνισα καὶ ἀνόμοια γίνεσθαι τοῖς ἀνθρώποις τοῦ βίου τὰ πέρατα κατὰ τὰς περὶ ἕκαστον διαφόρους καὶ ἡμῖν ἀνεννοήτους τοῦ θείου οἰκονομίας, ἄνισα μὲν κατὰ τὸν χρόνον δηλονότι, ἀνόμοια δὲ κατὰ τὸν τρόπον. **Αὗται λέξεις ἐκείνου. Ὅτι μὲν οὖν οὐκ ἐκ τοῦ παρήκοντος ἔλεγεν ἐκεῖνα τὰ πρῶτα, ἀλλὰ προὔργου καὶ ὡς οὕτω φρονῶν, ἀρκείτω σοι ταῦτα.**

3. Ἀλλὰ μὴν καὶ ἀξίως τῆς παντοίας σοφίας αὐτοῦ καὶ μεγαλονοίας καὶ τοῦ φωτίζοντος αὐτὸν Πνεύματος οὕτως ἐφρόνει τε καὶ ἐδίδασκεν ὁ ἔνθεος τῆς οἰκουμένης φωστήρ· ᾔδει μὲν γὰρ ἐν τοῖς ἀνθρωπίνοις πράγμασι τὸν θεῖον πανσόφως καὶ παναγάθως ἐνεργοῦντα προορισμόν, ὅς ἐστιν ἡ ἀίδιος ἐν τῷ Θεῷ τάξις τῆς ἐπὶ τὴν μακαρίαν ζωὴν ὁδηγίας τοῦ ἀνθρώπου, καίτοι γινομένης ἐν χρόνῳ, τοῦ Θεοῦ πέμποντος αὐτὸν ἐπὶ τὸν ὅρον ἐκεῖνον ὡς τοῦ τοξότου τὸ βέλος πρὸς τὸν σκοπόν, καὶ πέμποντος ὡς οἴκοθεν μόνον ἀδυνατοῦντα, εἰ καὶ πρὸς τοῦτο | γεγένηται, καὶ διὰ τοῦτο τὰς ἀσθενείας καὶ A f.172r
τὰς ἐλλείψεις ταῖς περὶ τὴν ζωὴν ποικίλαις οἰκονομίαις αὐτοῦ καὶ τὴν τελευτὴν ἰωμένου καὶ θεραπεύοντος δι' ἐλέους ὑπερβολήν· *οὐ γὰρ ἐξ ἔργων δικαιοσύνης ὧν ἡμεῖς ἐποιήσαμεν*, **ὁ θεῖος φησὶν ἀπόστολος,** *ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον*

2.3.,1 Ἐκ…**5** σπουδῆς] Cf. Mich. Glyc., *In S. Scr.* 37 (453, 10-14). **7** προδιατεταγμένον…**10** τρόπον] Cf. Bas., *in Jul.* 31 (249B-C); cf. *id*., *mor.* 11 / *mort*. 32 (1276C-D); cf. *ibid*. 32 (1269A-B). **3.,3** ᾔδει…**10** ὑπερβολήν·] Cf. Dem. Cyd*., de contemn. morte* XIII *(*24, 16-22). **10** οὐ…**12** ἡμᾶς] Tit. 3, 4-5.

3.,3 ᾔδει…**10** ὑπερβολήν·] Cf. *Compendium SG* III, 24 (V 130, 10-14); cf. *Compendium* SG III, 52 (V 146, 34-38); cf. *Compendium SG* III, 109 (V 193, 38-134, 3) cf. *Compendium SG* III, 117 (V 199, 14-15); cf. *Compendium ST* I, Q23 A1 (V 360, 28-361, 5). **10** οὐ…**12** ἡμᾶς] Cf. *Compendium SG* III, 149 (V 224, 1-3); cf. *Compendium ST* I, Q23 A.5 (V 362, 7-14).

---

20 τὸν…Δέσποτα] *intra* τὸν ⍲ δέποτα *symbol* (o^{χ}), *quod iter. in marg. dext. et scrp*. δοῦλον σου A **3.,9** τὴν^{2}] *supra lineam* A

ἔσωσεν ἡμᾶς **ἔκτοτε καὶ νῦν καὶ ἕως ἂν ἡ τῶν ἀνθρώπων γένεσις ᾖ, ὡς ἅπαξ οἵκτῳ μόνον οἰκείῳ τὴν τῆς ζωῆς ὁδὸν ἀνοίξας ἡμῖν. Ὁ γὰρ πάντων τῶν ποιημάτων αὐτοῦ προνοούμενος εὐλόγως Θεὸς κατὰ τὴν ἑκάστων ἀξίαν καὶ τάξιν ἐν τῷ παντί, ἰδιαιτάτην τῇ λογικῇ φύσει χαριζόμενος πρόνοιαν τοῖς δώροις οἷς αὐτὴν ἐκόσμησε πρέπουσαν, καὶ** τέλος αὐτῇ τοῦ γεγονέναι καὶ εἶναι τὴν μακαρίαν τάξας ζωὴν ἐν τῇ εἰλικρινεῖ καὶ ἀμέσῳ τοῦ Θεοῦ καὶ τῶν θείων γνώσει συνισταμένην **(***αὕτη γάρ ἐστί***, φησιν,** *ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν***, τουτέστι τὰ τῆς θεολογίας καὶ οἰκονομίας ἀπόρρητα,** *ἃ νῦν ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι βλέπουσιν* **οἱ πιστεύοντες), αὐτὸς αὐτῇ τὸν ὅρον ἐκεῖνον τίθησι καὶ τὸ τέλος καὶ τὸν σκοπόν, οὐδενὸς τῶν ὄντων οὐδὲ πάντων ὁμοῦ τοῦτό γε δυναμένων·** αὐτὸς καὶ πρὸς ἐκεῖνον ὁρίζει (εἰ γὰρ καὶ ὅρος αὐτῆς ἐστιν, οὕτω τῷ Θεῷ δόξαν, ἀλλ᾽ ὑπερφυής), καὶ ὁρίζει συγκινῶν καὶ οἴκοθεν κινουμένην (τὴν γὰρ προαιρετικὴν αὐτῇ δύναμιν δέδωκεν, ὡς δύνασθαι καὶ οἴκοθεν πρὸς ἐκεῖνον κινεῖσθαι μετὰ τῆς ἄνωθεν ὁδηγίας)**, ὁδηγῶν ἐπὶ τούτῳ, συνεπωθῶν, λύων τὰς δυσχερείας, ἐπιφέρων ἄλλας, ἡνίκ᾽ ἂν δέῃ πρὸς γυμνασίαν, παραχωρῶν ὑπονοστεῖν ἐπὶ τῷ συμφέροντι, ὑποστρέφοντας εὐθὺς ἐπανάγων, παρακαλῶν, θλίβων αὖ ὁπόταν καὶ τοῦτο συμφέροι, τὰ μὲν ἀφανῶς, τὰ δὲ καὶ προδήλως τοῖς περὶ ταῦτα προσέχουσι, καὶ** τὰ μὲν
A f. 172v ἀμέσως δι᾽ ἑαυτοῦ ποιῶν, | ὅτε χάριν ἐπιπέμπων ἐνίησι**,** *τὰ δὲ διὰ τῶν φυλαττόντων ἀγγέλων, ὧν ἕκαστος ἑκάστῳ τῶν ἀνθρώπων ἀφωρισμένος κινεῖ μὲν πρὸς τἀγαθόν, ἀπαλλάττει δὲ τῆς τῶν δαιμόνων ἐνέδρας, ἣν ὑποκρύπτουσιν ἐν τῇ ὁδῷ ταύτῃ κατὰ τὸν Δαυίδ, ᾗ πορευόμεθα***, οὐ ταῖς ψυχαῖς μόνον, ἀλλὰ καὶ ταῖς ζωαῖς ἡμῶν, ὅσον δύνανται, καὶ τὴν ἀσθένειαν τῶν ἀνθρωπίνων**

---

18 αὕτη…**19** Χριστόν] Io. 17, 3. **20** τουτέστι…ἀπόρρητα] Nic. Meth., *vit. term.* II, 244-245. ἃ…**21** βλέπουσιν] I Cor. 13, 12. **31** τὰ…**34** πορευόμεθα] Ps. 90, 1, 5-6, 10-11; *ib*. 5–6; *ib*. 10–11.

---

16 τέλος…**18** συνισταμένην] Cf. *Compendium SG* III, 25 (V 131, 33-34); cf. *Compendium SG* III, 25 (V 132, 6-7); cf. *Compendium SG* III, 25 (V 132, 9-10); cf. *Compendium SG* III, §26 (V 133, 5-8); cf. *Compendium SG* III, 52 (V 146, 34-38); cf. *Compendium SG* III, 61 (V 153, 3-5); cf. *Compendium ST* I, Q23, A1 (V 360, 31-34); cf. *Compendium ST* II, Q3, A.4 (VI 6, 9-11). **20** ἃ…**21** βλέπουσιν] Cf. *Compendium SG* III, 47 (V 142, 6-8); cf. *Compendium SG* III, 51 (V 145, 37-146, 5); cf. *Compendium SG* Iv 1 (V 240, 35-36) **23** αὐτὸς…**26** ὁδηγίας] Cf. *Compendium ST* I, Q45, aA.7 (V 380, 32-34). **30** τὰ^{2}…**32** ἀγγέλων] Cf. *Compendium SG* III, 69 (V 159, 22-24).

---

21 ἐν] *om*. A

λογισμῶν ἐνισχύει. Ἁπλῶς εἰπεῖν (οὐ γὰρ οἷόν τέ ἐστιν οὔτε δεῖ τῶν ἀνεξιχνιάστων καὶ ἀναριθμήτων **κατατολμᾶν), τὴν μὲν ζωὴν πᾶσαν οὕτως οἰκονομῶν αὐτοῖς πρὸς τὸ βέλτιστον, ὡς μηδὲν τὴν θείαν ἀγαθότητα τῆς πατρικῆς προνοίας ἐλλελοιπέναι τοῖς τέκνοις, ὁπόσοι τῆς ζωῆς ἐκείνης ἐρῶσι τῆς παρούσης ὀλίγα τε καὶ κατὰ νόμον φροντίζοντες, τὸ δὲ τῆς ζωῆς τέλος αὐτοῖς ἐπιπέμπων ἢ παρασκευάζεσθαι συγχωρῶν κατά τε χρόνον καὶ τρόπον, οἷον ἂν γένοιτο ταῖς ἄλλαις αὐτοῦ προνοίαις συνᾴδον, πρὸς τὸ καθάπαξ ὁρισθῆναι καλῶς καὶ ταῖς τῶν ὁριζομένων παρακολουθήσεσι καὶ σπουδαῖς ὑπὲρ τῆς οἰκείας σωτηρίας πρεπόντως.**

4.1. Διὰ ταῦτα καὶ προνοεῖν μὲν ἁπάντων ὁ Θεὸς λέγεται τῶν ὑπ᾽ αὐτοῦ γεγονότων καὶ τὸ τῆς θείας προνοίας ἀγαθὸν εἰς πάντα διήκει τὰ ὁπωσοῦν τοῦ εἶναι μετέχοντα, προορίζειν δὲ τὴν λογικὴν φύσιν μόνην, τὸν ἄνθρωπον, ὡς εἶναι ταὐτὸν μὲν ἐπ᾽ ἀνθρώπου πρόνοιαν Θεοῦ καὶ προορισμόν (ἑκατέρῳ γὰρ ὁ λόγος δηλοῦται τῆς εἰς τὸ οἰκεῖον τάξεως τέλος), ἁπλῶς δὲ οὐ ταὐτόν, ἀλλὰ μέρος τῆς προνοίας ἐξῃρημένον. Τὰ μὲν γὰρ ἄλλα τάττονται πρὸς τέλος τῇ αὐτῶν φύσει σύστοιχον καὶ ἄγονται μόνον ὡς ἐτάχθησαν ἄγεσθαι, οὐκ ἄγουσιν ἑαυτά, ἄνθρωπος δὲ πρὸς τέλος ὑπερφυές, ὁριζόμενος μὲν ὑπὸ Θεοῦ πρὸς αὐτό, καὶ οἴκοθεν δὲ ἀγόμενος ἅμα καὶ ἀγγέλῳ φύλακι βοηθούμενος. Ὡς οὖν αὐτὸς μόνος εἰδὼς τοὺς ὁρισθησομένους οὕτως, ἐπειδὰν καὶ τὸ παρ᾽ ἑαυτῶν εἰσενέγκωσιν | ἅπαν τῇ θείᾳ περὶ αὐτοὺς καὶ ὑπερφυεῖ δωρεᾷ, καὶ εἰδώς, ὡς A f. 173r ὁρισθήσονται καὶ πρὶν ὁρισθῆναι, οὐδὲ πρὶν ὁρισθῆναι μόνον καὶ τοῦ τέλους τυχεῖν, ἀλλὰ καὶ πρὶν αὐτοὺς γεγονέναι καὶ εἶναι ‘προορίζειν’ λέγεται, καὶ ‘προωρισμένοι’ πάλιν οὗτοι καλοῦνται. Καὶ προώρισε μὲν σωθῆναι τοὺς σῳζομένους, ὥσπερ καὶ σῴζει, σῴζει δὲ ὡς καὶ σωθῆναι προώρισεν. Ὥσπερ αὖ

37 ἀνεξιχνιάστων…ἀναριθμήτων] Iob 5, 8-9; Iob 9, 10. **4.1.,14** Καὶ…**15** σῴζει[1]] I Tim 2, 4.

4.1.,1 Διὰ…**9** αὐτό] Cf. *Compendium SG* I, 1 (V 2, 6-7); cf. *Compendium SG* II, 24 (v 69, 10); cf. *Compendium SG* III, 73 (V 162, 28-29); cf. *Compendium SG* III, 109 (V 193, 38-194, 3); cf. *Compendium SG* III, 111 (V 195, 18-21); cf. *Compendium SG* III, 129 (V 208, 29-30); cf. *Compendium SG* III, 147 (V 222, 2-6); cf. *Compendium SG* III, 155 (V 233, 11-15); cf. *Compendium SG* III, 157 (V 221, 26- 222, 28); cf. *Compendium ST* I, Q22 A.2 (V 359, 21-25); cf. *Compendium ST* I, Q23 A1 (V 360, 31-34); cf. *Compendium STI* I, Q23 A.2 (V 361, 20-22); cf. *Compendium ST* I, Q103 A.5 (V 482, 8-12). **9** καὶ[1]…βοηθούμενος] Cf. *Compendium ST* I, Q113 A1 (V 497, 14-23). | Ὡς…**14** καλοῦνται] Cf. *Compendium ST* I, Q23 A.5 (V 362, 10-11). **14** Καὶ…**24** σπουδήν] Cf. *Compendium SG* III, 159 (V 236, 6-7); cf. *Compendium ST* I, Q19 A.6 (V 355, 4-17).

38 οἰκονομῶν] -νο- *iter. apud mutatio lineae* A **40** τε] *om*. A

οἱ καθάπαξ ἀφηνιάζοντες τῆς πρὸς τὸν ὅρον ὁδοῦ, ἢ πλαγιάζοντες ἔνθεν κἀκεῖθεν ἑκόντες καὶ τὴν τοῦ Θεοῦ περὶ αὐτοὺς ἀκυροῦντες σπουδήν, ἣν ὡς ἂν ὁρίζοιντό τε καὶ ὁρισθεῖεν πᾶσι τρόποις ἐνδείκνυται, καὶ οὕτω τοῦ ὅρου δικαίως ἐκπίπτοντες ἀποδοκιμάζονται μὲν δι' ἑαυτούς, ἐπειδὰν ὁ καιρὸς αὐτοῖς ἐπιστῇ τοῦ πείρᾳ γνῶναι τὴν τοῦ τέλους ἀπότευξιν, τῷ δὲ Θεῷ προαποδεδοκιμασμένοι καὶ πρὶν γενέσθαι τυγχάνουσιν, οὐχ ὡς αἰωνίως ἀποδοκιμάζειν ἐθέλοντι, ἀλλ' ὡς αἰωνίως ἀποδοκιμασθησομένους εἰδότι καὶ πᾶσαν τὴν περὶ αὐτοὺς ἀκυρώσοντας τοῦ Θεοῦ καὶ πατρὸς πρόνοιαν καὶ τὴν πρὸς τὸ τυχεῖν τοῦ τέλους σπουδήν. **Ἀλλὰ ταῦτα μὲν ἰδίας καὶ μεγάλης δεῖται τῆς πραγματείας· ἰτέον δὲ νῦν ἐπὶ τὸ προκείμενον. Οὐ γὰρ περὶ τοῦ θείου προορισμοῦ διαλαβεῖν, ἀλλὰ τί τὸ κινῆσαν τὸν μέγαν τῆς ἐκκλησίας φωστῆρα δεῖξαι βουλόμεθα.**

4.2. τούτοις ᾔδει καλῶς (σκοπείσθω γὰρ ἅμα καὶ τοὐναντίον εἰς μείζω τῆς ἀληθείας βεβαίωσιν**) ὡς ἄρα τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς προαιρέσει τε αὐτῶν καὶ φύσει καὶ τύχῃ καταλειπομένων ἂν καθάπαξ ἢ καὶ μόνῃ τῇ κοινῇ καὶ προσκαίρῳ περὶ τὰ ζῶντα πάντα προνοίᾳ,** οἰχήσεται μὲν ἡ τοῦ τοῖς ἀνθρώποις κειμένου τέλους ἐπίτευξις, οὗ καθάπαξ ὄντος ὑπερφυοῦς οὐδεὶς αὐτῷ προσαχθῆναι δύναται μὴ τοῦ θεμένου τε καὶ ὁρίσαντος
A f. 173v τούτῳ προσάγοντος τῷ λύειν τὰς πολλὰς ἐνταῦθα δυσχερείας | καὶ τοσαύταις ταῖς εἰρημέναις μεθόδοις**, καὶ μάτην μὲν Μωυσῆς καὶ ὁ δι' αὐτοῦ παιδαγωγικὸς νόμος πρὸς μείζω τεταγμένος νόμον καὶ τελεώτερον, μάτην δὲ πᾶσα ἡ περὶ τῆς τῶν ἀνθρώπων σωτηρίας σπουδὴ συλλήβδην εἰπεῖν (οὐ γὰρ δεῖ καθ' ἕκαστα λέγειν), ὁ δὲ θεῖος προορισμὸς οὐκ ἔσται λοιπόν, ὡς οὔτε αὐτοῖς προσάγοντος κατὰ καιρὸν αὐτοὺς τῷ ὅρῳ καὶ τῷ σκοπῷ οὔθ' ἑαυτῷ πόρρωθεν καὶ πρὶν γενέσθαι αὐτοὺς προσαγηοχότος, ἡ δὲ θεία συναναιρεθήσεται πρόνοια οὐ τῶν ἀνθρωπίνων μόνον πραγμάτων, ἀλλὰ καὶ πάντων σχεδόν. Τὴν γὰρ ποικιλωτάτην καὶ σοφωτάτην τῶν ἀνθρωπίνων διοίκησιν τέλος ἡ ἡμετέρα πίστις καὶ καρπὸν ποιεῖται τῆς ἁπλουστέρας τοῦ παντὸς διοικήσεως, ἐπεὶ καὶ** *ὑποτεταχέναι ὁ Θεὸς* **λέγεται**

4.2.,1 σκοπείσθω…**2** βεβαίωσιν] Arist., *Eth. Nic*., VII, 14 (1153a 22-25). **17** ὑποτεταχέναι… **19** ἠλαττωμένῳ] Ps. 8, 6-9.

4.2.,4 οἰχήσεται…**8** μεθόδοις] Cf. *Compendium SG* III, 155 (V 233, 11-15); cf. *Compendium SG* III, 157 (V 222, 26-28).

4.1.,21 προαποδεδοκιμασμένοι] προαποδεδοκι***μασμένοι *lac*. A **26** τί] *om*. A

τῷ ἀνθρώπῳ πάντα ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ καταστάντι καὶ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένῳ. Διὸ καὶ τῆς τῶν ἀνθρώπων γενέσεως παυσομένης καὶ ἡ τῶν οὐρανίων συναποπαύσεται κίνησις, **τὰ θεῖά φασι λόγια**, ὡς ἐκείνῃ προῦργου τεταγμένη δουλεύειν. **Ἀλλὰ τὰ μὲν ἄλλα ἐῶμεν· περὶ δὲ τῶν ἀνθρώπων τίς ἔσται λοιπὸν ἡ τοῦ οὐρανίου Πατρὸς πρόνοια, εἰ τέλος μὲν αὐτῶν τὸ τυχεῖν τῆς μακαρίας ζωῆς, ὁδὸς δὲ ἡ ἐνταῦθα ζωή, ἣν οἱ καλῶς ὁδεύοντες ἐφικνοῦνται τοῦ τέλους, οὔτε δὲ καλῶς ὁδεύειν οὔτε τοῦ τέλους τυγχάνειν ἔχουσιν ἄνευ Θεοῦ, ὁ δὲ τῆς ὁδοιπορίας αὐτῶν, τουτέστι τῆς ἐνταῦθα ζωῆς, μὴ φροντίζῃ ἀρχομένης τε καὶ προβαινούσης καὶ τελειουμένης, ὅπως ἂν δι' αὐτῆς εὐοδοῖντο πρὸς τὸ τέλος, καλῶς ὑπερπηδῶντες πᾶσαν δυσχέρειαν ἐξ ἀπείρων συναντῶσαν τῶν τρόπων, μηδὲ πατρικῶς οἰκονομοίη τὰ τέκνα, ἀλλ' ἐᾷη μόνον αὐτὰ φύσεώς τε ἀσθενείᾳ καὶ προαιρέσεως ἀστασίᾳ καὶ τύχης ἀλογίᾳ φέρεσθαι, δι' ὧν ἀδύνατόν ἐστι τοῦ ὑπερφυοῦς ἐκείνου τέλους τυχεῖν, καὶ τοσοῦτον προνοοῖτο τῶν | τέκνων, ὅσον καὶ τῶν βοῶν, οὐκ εἰδικώτατόν τινα τρόπον;** A f. 174r
Ἀλλ' ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Κορινθίους *οὐ μέλειν τῷ Θεῷ* φησι *περὶ τῶν βοῶν*, οὐχ ὡς μηδόλως μέλον αὐτῷ βοῶν τε καὶ τῶν ὁμοίων, ἀλλ' ὡς τῆς περὶ τούτων προνοίας μηδεμίαν σχεδὸν πρὸς τὴν περὶ τῶν ἀνθρώπων πρόνοιαν ἐχούσης παράθεσιν, ὡς ταύτην μόνην δύνασθαι καὶ χρῆναι καλεῖσθαι πρόνοιαν ἀληθῶς καὶ φροντίδα τοῦ θείου παντὸς ἕνεκα δικαίου καὶ λόγου.

4.3. Τούτων δὲ ἀναιρουμένων, ὡς εἴρηται, εἰκῇ μὲν Ἰὼβ ἐπαινεῖται λέγων· *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο·* εἰκῇ δὲ καὶ Δαυὶδ πάνυ τιμᾶται καθ' ἡμέραν ἐν ἐκκλησίαις διὰ πάντων αὐτῷ τῶν ψαλμῶν σχεδὸν τὸν θεῖον ἀνυμνῶν καὶ

---

33 οὐ…**34** βοῶν[1]] I Cor. 9, 9-10. **4.3.,2** Ὁ…**3** ἐγένετο·] Iob 1, 21.

---

19 Διὸ…**21** δουλεύειν] Cf. *Compendium SG* II, 28 (V 71, 27-30); cf. *Compendium SG* III, 22 (V 128, 21-25); cf. *Compendium SG* III, 24 (V 131, 8-13); cf. *Compendium SG* III, 65 (V 156, 23-25); cf. *Compendium SG* III, 65 (V 156, 31-34); cf. *Compendium SG* III, 66 (V 157, 9-12); cf. *Compendium SG* III, 66 (V 157, 19-20); cf. *Compendium SG* III, 67 (V 157, 37-40); cf. *Compendium SG* III, 75 (V 164, 5-13); cf. *Compendium SG* Iv 97 (V 336, 29-32); cf. *Compendium SG* Iv 97 (V 337, 26-31); cf. *Compendium ST* I, Q104 A1 (V 483, 21-24); cf. *Compendium ST* I, Q104 A1 (V 483, 28-31); cf. *Compendium ST* I, Q104 A.2 (V 483, 34-39); **33** Ἀλλ…**37** λόγου] Cf. *Compendium SG* III, 22 (V 218, 11-13); cf. *Compendium SG* III, 112 (V 197, 3-10); cf. *Compendium SG* III, 113 (V 197, 30); cf. *Compendium ST* I, Q22, A.2 (V 360, 3-14); cf. *Compendium ST* I, Q103 A.5 (V 482, 4-6).

4.2.,26 φροντίζῃ] φροντίζοι A : φροντίζῃ B **4.3.,4** αὐτῷ] A B (αὐτοῦ *correxi?*)

κηρύττων προορισμόν, οὐκ ἐφ' ἑκάστῳ μόνον ἀνθρώπῳ λέγων· *Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ*, καὶ τὰ ἑξῆς, ἀλλὰ καὶ ἔθνεσιν ὅλοις καὶ συνοικίαις καὶ πόλεσιν Ἡσαΐᾳ συμφώνως καὶ τῷ Ἀμώς, τῷ μὲν λέγοντι· *Ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά*, τῷ δέ· *Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε*, καὶ αὖθις αὐτῷ τῷ Ἡσαΐᾳ· *Πάντα τὰ ἡμέτερα ἔργα εἰργάσω, Κύριε, ἐν ἡμῖν*· εἰκῇ δὲ αἱ τῶν ἀγγελικῶν ταγμάτων ἐπιστασίαι, δι' ὧν ταῦτα ὑπηρετουμένων ταῖς θείαις ψήφοις ἀνύεται. Τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ λέγοντος ὅτι *ἄνευ τοῦ θείου θελήματος οὐδὲ θρὶξ ἐκ τῆς ὑμῶν ἀπόλλυται κεφαλῆς* καὶ τὰ ἑξῆς, καὶ περὶ ἑαυτοῦ λέγοντος αὖ ὅτι *οὕτω γέγραπται καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν* καὶ τὰ ἑξῆς, καὶ τὸ *πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ*, καὶ τὸ *χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*, **καὶ πολλὰ τοιαῦτα τὸν θεῖον ἐπικυροῦντα προορισμὸν περὶ τῆς ἑκάστου ζωῆς τε καὶ τελευτῆς, ἐπεὶ καὶ αὐτὸς ὡς περὶ ἀνθρώπου ἑαυτοῦ ταυτὶ διελέγετο καὶ ὡς κατὰ τὸ ἀνθρώπινον πάσχοντος, ταῦτα πάντα σπουδαίως καὶ θεοπρεπῶς ὡρισμένα ποῦ τάξομεν; Ἀλλ' ἐπὶ τοὺς ἀποστόλους ἐρχόμεθα.** Ὁ Πέτρος, *συμβουλεύων*

A f. 174v | *πᾶσι τοῖς ἀδελφοῖς, ὅπως σπουδάζωσι δι' ἀγαθῶν ἔργων βεβαίαν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι, ἣν ἐξελέγησαν, περὶ δὲ ἑαυτοῦ λέγων εἰδέναι ὡς ἄρα ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματος αὐτοῦ*, καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς αὐτῷ τοῦτο ἐδήλωσεν· ὁ δὲ Παῦλος *ἀφωρισμένον ἑαυτὸν καλῶν εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν ἐν Γραφαῖς ἁγίαις* **καὶ τὰ ἑξῆς,** ἔτι τὸ διὰ τοῦ Μωσέως βεβαιῶν· *Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω*, **καὶ συμπεραίνων·** *Ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ*

---

5 Τοῖς…**6** σοῦ] Ps. 90, 11. **7** Ὁ…**8** κακά] Is. 45, 7; cf. Bas., *Deus non auct. mal.* 31 (333D–336A). **8** Οὐκ…**9** ἐποίησε] Am. 3, 6; cf. Bas., *Deus non auct. mal*. 31 (336A); cf. *ibid.* 31, 336c; cf. *ibid.* 31, 337b-c; cf. Nic. Meth., *vit. term.* II, 240. **9** Πάντα…**10** ἡμῖν·] Is. 26, 12. **12** ἄνευ…**13** κεφαλῆς] Luc. 21, 18. **13** ὅτι οὕτω…**14** Χριστὸν] Luc. 24, 26. **14** πλὴν…**15** σύ] Mat. 26, 39. **15** χωρὶς…ποιεῖν οὐδέν] Io. 15, 5; cf. Anast. S., *inter. et resp.* 55 (89, 620B). **20** σπουδάζωσι…**21** ἐξελέγησαν] II Pet. 1, 10. **22** ταχινή…**23** ἐδήλωσεν·] II Pet. 1, 14. **23** ὁ…**24** ἁγίαις] Rom. 1, 1-2. **25** τὸ…**26** οἰκτείρω] Rom. 9, 15. **26** Ἄρα…**27** Θεοῦ] Rom. 9, 16; cf. Anast. S., *inter. et resp.* 55 (89, 620A-B).

4.3.,5 Τοῖς…**6** σοῦ] Cf. *Compendium ST* I, Q103 A1 (V 497, 14-16). **6** καὶ[2]…**9** ἐποίησε] Cf. *Compendium SG* III, 71 (V 161, 26-28). **9** καὶ…**10** ἡμῖν·] cf. *Compendium SG* III, 67 (V 158, 1-2); cf. *Compendium SG* III, 89 (V 175, 1-3); cf. *Compendium SG* III, 148 (V 223, 3-4); cf. *Compendium ST* I, Q105 A.5 (V 485, 3-4). **15** χωρὶς…ποιεῖν οὐδέν] Cf. *Compendium SG* III, 67 (V 158, 2-3); cf. *Compendium SG* III, 149 (V 223, 37-224, 1). **19** Ὁ…**21** ἐξελέγησαν] Cf. *Compendium ST* I, Q23 A.8 (V 363, 34-36). **26** Ἄρα…**27** Θεοῦ] Cf. *Compendium SG* III, 149 (V 224, 3-5).

τοῦ ἐλεοῦντος Θεοῦ, **καὶ πάλιν**· *Οὓς προέγνω καὶ προώρισε, τούτους καὶ ἐκάλεσε*, **καὶ αὖθις** *τοὺς μὲν σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν* ***λέγων, τοὺς*** *δὲ σκεύη ἐλέους προητοιμασμένα καὶ κεκλημένα εἰς δόξαν*, **καὶ αὖθις λέγων**· Οὐδεὶς ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει, καὶ πρὸς Ἐφεσίους **αὖ λέγων**· *Ἐξελέξατο ἡμᾶς ἐν ἑαυτῷ ὁ Θεὸς πρὸ καταβολῆς κόσμου, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν* **καὶ τὰ ἑξῆς**· ὁμοίως καὶ περὶ τῶν ἀποδεδοκιμασμένων ἀπὸ τῆς αἰωνίου ζωῆς λέγων ἐν τῇ πρὸς Ῥωμαίους· *Εἰ δὲ θέλων ὁ Θεὸς δεῖξαι τὴν ὀργὴν (***τουτέστι τὴν τῆς δικαιοσύνης** *ἀπότισιν) καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ ὑπέμεινε (***τουτέστι συνεχώρησεν***) ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα δείξῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν*, **καὶ πανταχοῦ τῶν οἰκείων ἐπιστολῶν τὸν θεῖον οὕτω προορισμὸν βεβαιῶν, τὴν περὶ τοὺς ἀνθρώπους εἰδικὴν δηλαδὴ πρόνοιαν καὶ ὅσα ταύτῃ περὶ τῶν ἀνθρωπίνων πραγμάτων συνέπεται, εἰκῇ ταῦτα λέγει, μᾶλλον δὲ λέγουσιν; Ἀπείη γε τοῦτο.**

5.1. Ὁρᾷς τῆς ἐναντίας δόξης τεθείσης οὕτως ἐξ ὑποθέσεως ὅσα τῶν ἀληθῶν ἀναιρεῖται, μᾶλλον δὲ οὐδὲν σχεδὸν ὑπολείπεται; Τὰ γὰρ | ἐκ τῆς A f. 175r
ἱερᾶς Γραφῆς παρηγμένα νῦν ἄλλο μὲν ἄλλου μυστηρίου πλῆρές ἐστι, πάντα δὲ αὐτὰ σὺν ἐκείνοις μιᾶς τῆς προκειμένης ἡμῖν ὕλης εὐρυτάτης οὔσης ἔνδον ἔστιν, ἧς σαλευομένης ἂν οὐδὲν ἐκείνων μένοι λοιπόν. Εἰ δὲ πάσαις ἀνάγκαις ὁ θεῖος κρατεῖ προορισμός, μέρος ὢν τῆς θείας προνοίας τὸ μέγιστον καὶ δόγμα τῆς πίστεως ἀναντίρρητον καὶ καθάπερ σύνδεσμος τῆς πίστεως ὅλης, καὶ οἱ μὲν τῶν ἀνθρώπων πρὸς τὴν αἰώνιόν εἰσι προωρισμένοι ζωήν, οἷς καὶ οἱ ἐλεούμενοι συναριθμείσθωσαν νῦν, οἱ δὲ ἀπ' αὐτῆς ἀποδεδοκιμασμένοι, εὐλόγως καὶ τὰ κατὰ τὴν ζωὴν ἑκάστου καὶ τελευτὴν τῇ ἐπιτεύξει τοῦ τέλους ἢ ἀποτεύξει οἰκείως συνδιατίθενται, ὡς ἐπίπαν μὲν καὶ τῆς ἑκάστου πονηρίας ἢ ἀρετῆς καὶ εὐβουλίας ἢ ἀβουλίας

---

27 Οὓς…**28** ἐκάλεσε] Rom. 8, 30; cf. Nic. Meth., *vit. term.* II, 250. | Οὓς…**29** δόξαν] Cf. Anast. S., *qu. et resp.* 99, 3 (157, 27-35). **28** τοὺς…**29** δόξαν] Rom. 9, 21-23. **30** Οὐδεὶς… ἀποθνήσκει] Rom. 14, 7. **31** Ἐξελέξατο…**32** υἱοθεσίαν] Eph. 1, 4-5. **33** Εἰ…**37** δόξαν] Rom. 9, 22-23; cf. Bas., *Deus non auct. mal.* 31 (340B).

---

30 καὶ[2]…**32** ἑξῆς·] Cf. *Compendium SG* III, §150 (V 225, 9-12); cf. *Compendium SG* III, 163 (V 238, 35-37); cf. *Compendium SG* III, 163 (V 239, 3-4); cf. *Compendium ST* I, Q23 A.4 (V 362, 3-4). **32** ὁμοίως…**37** δόξαν] Cf. *Compendium ST* I, Q23 A.5 (v 362, 20-25).

5.1.,1 οὕτως] *om.* A **5** μένοι] μένει *primun scrp. deinde suppl. et corr.* ⌜οι⌝ *supra* –ει A : μένοι B

τῇ τοιαύτῃ συνεργούσης ἐφεξῆς διατάξει τοῦ θείου, ἔστι δ' ὅτε καὶ παρὰ τὴν ἑκατέρων ἐν τῷ παραυτίκα μελέτην τε καὶ σπουδὴν τὸ πρέπον ταῖς αὐτῶν ἕξεσι καὶ ἀξίαις καὶ ζῶσι καὶ τελευτῶσιν οἰκονομοῦντος, ὡς ἂν ποικίλαις τε καὶ πολυτρόποις μεθόδοις καὶ ἄλλαις ἐπ' ἄλλων κρινομέναις κατὰ τὴν εὐρυτάτην καὶ πάνσοφον αὐτοῦ διοίκησιν ὁ θεῖος περὶ αὐτοὺς προορισμὸς ἐξανύοιτο, ἡ τοῦ ὅρου δηλονότι καὶ τέλους ἐπίτευξις ἢ ἀπότευξις (εἰλήφθω γὰρ νῦν κοινῶς ὁ προορισμὸς ὡς προορισμοῦ γένος καὶ ἀποδοκιμασίας)**. Τῆς δὲ τῶν ἀνθρώπων ζωῆς, ἣν ἂν οἴκοθεν προαιροῖντο, ἢ συμπροσαγούσης τῷ τέλει μετὰ τῆς ἄνωθεν συνεργίας ἢ ἀφιστώσης τοῦ τέλους μετὰ τῆς ἐκεῖθεν ἐγκαταλείψεως, εὐλόγως καὶ ἡ μετάθεσις μὲν ἀπὸ τῆς τοιαύτης ζωῆς, ἀρχὴ δὲ τῆς ὁποτερασοῦν ἐκεῖ διαθέσεως καὶ ζωῆς τῇ τε πρὸς τὸ τέλος ὁδῷ, τουτέστι τῇ παρούσῃ ζωῇ, καὶ τῇ μετ' αὐτὴν οἰκείᾳ**
A f. 175v **τοῦ τέλους ἐπιτεύξει ἢ ἀποτεύξει σύμ | μορφός ἐστι καὶ συνάδουσα, ὥσπερ μεθόριον οὖσα τῶν ζωῶν ἀμφοτέρων καὶ τῆς ὁδοῦ καὶ τοῦ τέλους ὥσπερ συνάφεια, ἔστι μὲν ὅτε καὶ φανερᾶς οὔσης πᾶσι τῆς τελευτῆς, ὅπως ἔχει πρὸς τὴν εὐθὺς διαδεξομένην ζωὴν ἀθλίαν ἢ μακαρίαν, ὡς ἐπὶ τῶν δικαιοσύνης εἵνεκα ἢ εὐσεβείας αἱρουμένων θνῄσκειν προδήλως οὐκ ἄνευ Θεοῦ καὶ τῆς ἄνωθεν ἐπιπνοίας, ὃ προσήκει τοῖς μάρτυσι καὶ πᾶσι τοῖς μετ' ἀρετῆς καὶ δι' αὐτὴν τελευτῶσιν, κἂν μὴ φανερῶς τῷ μαρτυρίῳ προσάγωνται, ἀλλ' ἐπιβουλευόμενοι βιαίως ἐξάγωνται τῆς ζωῆς καὶ συκοφαντούμενοι ἢ ἐπὶ τῶν φυγόντων τὸν κόσμον καὶ σταυρῷ πρέπουσαν ζησάντων ζωὴν καὶ ὁμοίαν τῇ ζωῇ τελευτὴν ἀπαράκλητον, ἐνίων δὲ καὶ ἄδικον ὑφισταμένων, ἢ τοὐναντίον ἐπὶ τῶν ἐπ' ἀδίκοις καὶ πονηροῖς τολμήμασι καὶ τῇ ὅλῃ** συμμόρφοις **αὐτῶν ζωῇ τὴν πρέπουσαν ὑφισταμένων βιαίως ἔξοδον.**

5.2. Οὐ μόνον δὲ τῇ κρίσει τῶν ἀνθρώπων σαφὴς ἐστιν ἡ τοιαύτη τελευτὴ ποῦ φέρει, ἀλλὰ τοῖς ὑπὲρ ἀρετῆς τε καὶ εὐσεβείας θνῄσκειν προαιρουμένοις λαμπρὰ καὶ ποικίλη ἡ οὐράνιος ἐπιφαίνεται μαρτυρία καὶ τὰς τῶν συνόντων ὄψεις καὶ ψυχὰς καταπλήττουσα. Ἔστι δ' ὅτε καὶ λανθάνει μὲν τοὺς πολλοὺς τὸ πέρας τῆς τελευτῆς πλὴν αὐτῶν τῶν

5.2.,4 Ἔστι…**14** ᾖ] Cf. Dem. Cyd., *de contemn. morte* V (10, 11-22).

5.1.,19 εἰλήφθω…**20** ἀποδοκιμασίας] Cf. *Compendium SG* III, 163 (V 239, 5-6).

21 συνεργίας] χορη- *primun scrp. deinde suppl. et corr.* ┌ συνερ ┐ B

ὑφισταμένων, ἐνίοτε μηδὲ αὐτοῖς ἐνταῦθα συνορώμενον, ἕως εἰσὶν ἐν τῷ σώματι, καὶ ἢ καθαιρούσης τῆς τελευτῆς ἐκ θείας φιλανθρωπίας, ἂν βίαιος ᾖ, οἷς ἀρκεῖν ἂν κριθείη τοσοῦτον καθήρασθαι πρὸς τὸ τυχεῖν ἐλεουμένους τέλους εὐδαίμονος, ἢ τοὺς ἄλλους ὠφελούσης, ἂν προοίμιον τῆς ἐκεῖ κακοδαιμονίας καὶ τῆς ἐνταῦθα πονηρίας καὶ δι᾽ αὐτὴν ἀποστροφῆς ἔνδειξις βιαίως ἐπάγηται, καὶ ἢ προσθήκης τῇ ἐκεῖ κακοδαιμονίᾳ οὔσης ἐν τοῖς πονηροῖς, ἂν ἀνώδυνος ᾖ, | ἢ πρὸς ἀμοιβήν τινα δικαιοσύνης ἐνταῦθά τινος, ὡς A f. 176r
ἂν τῆς ἄλλης πονηρίας αὐτῶν ἐκεῖ τὸ δέον καὶ οἰκεῖον προσληψομένης ἡ ἐνταῦθα δικαιοσύνη καὶ ζῶσι καὶ τελευτῶσι μὴ καθάπαξ ἄμισθος ᾖ. **Ἐνίοτε δὲ καὶ εὐχαῖς τινων χαριζόμενον τὸ θεῖον (οὐ γὰρ πάσαις οὐδὲ πάντων χαρίζεται) τὴν διάφορον ἐν αὐτοῖς τοῦ βίου ψηφίζεται λῆξιν. Οἱ μὲν γὰρ** *ἀνώδυνον καὶ εἰρηνικὸν αὐτοῖς εὔχονται τὸ τοῦ βίου τέλος ὑπάρξειν*, **οἱ δὲ γενναῖον μᾶλλον καὶ ὕλην αὐτοῖς παρέχον φιλοσοφίας καὶ εὐελπι· τὸ γὰρ οὕτω μεταστῆναι τοῦ βίου ἢ στεφάνων προσθήκην τοῖς ἀκριβῶς βεβιωκόσιν ἢ κάθαρσιν τελείαν καὶ λύσιν ἐνοχῆς ἁπάσης τοῖς ἐπταικόσιν οἴδασιν ὅν. Ὑπουργεῖ δὲ τῇ θείᾳ περὶ ἕκαστον κρίσει ἥ τε διάφορος τοῦ βίου τάξις τε καὶ προαίρεσις ἐν ἑκάστῳ καὶ ἡ τῆς προαιρέσεως αὖ ἐν πλείοσι καὶ τῆς τάξεως κοινωνία, πρὸς τὸ διάφορον ἐν ἑκάστοις ἢ τὸ αὐτὸ ἐν πολλοῖς τὸ τῆς ζωῆς ὁρίζεσθαι τέλος. Καὶ ποῖος ἂν ἐξαρκέσειε νοῦς τὴν ἄπειρον ἀνιχνεύειν τοῦ θείου οἰκονομίαν ἐν τοῖς τοιούτοις ἐκ τῶν θείων Γραφῶν καὶ τῶν θείων ἔργων συλλεγομένην;**

5.3. (10) Ὥσπερ οὖν περὶ τὸν τρόπον τῆς τελευτῆς ποικιλωτάτη καὶ πάνσοφος ἡ θεία οἰκονομία κατὰ τὴν ἐφ᾽ ἑκάστῳ τῶν ἀνθρώπων τῆς αὐτοῦ προνοίας διάταξιν, οὕτω καὶ περὶ τὸν χρόνον τῆς μεταστάσεως διάφορον καὶ ποικίλην τὴν θείαν οἰκονομίαν ἔστιν ὁρᾶν. Οἱ μὲν γὰρ ἐν νεότητι μεθίστανται τῆς ζωῆς ταύτης ἁρπαζόμενοι, ὡς τῆς τῶν χρόνων προσθήκης οὐ τὴν ἀρετὴν αὐτῶν καὶ τὴν σύνεσιν αὔξειν μελλούσης, ἀλλὰ μεταβάλλειν ἐπὶ τὸ χεῖρον**, οἱ δὲ συγχωροῦνται ζῆν τῇ τῆς ζωῆς προσθήκῃ προκόψοντες ἐπὶ τἀγαθὸν καὶ**

---

14 Ἐνίοτε…**21** ὅν] Cf. Marc. Eug., *vit. term.* 354. **17** ἀνώδυνον…ὑπάρξειν] Cf. Joh. Chrys., *ord. sacr. divin. miss*. 60. **5.3.,1** Ὥσπερ…**4** ὁρᾶν] Cf. Marc., Eug., *vit. term.* 355; cf. Theoph. Sim., *vit. term.* III (28, 31–30, 5). | Ὥσπερ…**6** χεῖρον] Bas., *mor.* 11 / *mort*. 32 (1257D–1260A). | Ὥσπερ…**24** ἀνθρώπους] Cf. Germ., *vit. term.* 18, 12-25. **4** Οἱ…**13** διαλύσασθαι] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 4 (215, 58-216, 67); cf. *id*., *qu. et resp*. [App.] 23b, 3 (218, 16-29).

5.2.,16 αὐτοῖς] ⌜αὐ⌝ *suppl. ante* τοῖς *supra lineam* A **5.3.,1** ποικιλωτάτη] *correx.* Œ, ποικιλοτάτη A B

ἄλλους ὠφελήσοντες τῷ καθ' ἑαυτοὺς ὑποδείγματι, ἢ τοὐναντίον ὥστε τῆς
A f. 176v **τῶν πατέρων ἁμαρτίας μέλλοντας | γίνεσθαι κοινωνοὺς καὶ τὴν τῆς ἁμαρτίας ἐκείνων δίκην ὑπέχειν ἐνταῦθα· οἱ δὲ ἀσθενοῦντες καὶ ἀρρωστοῦντες κακοπαθοῦσι καὶ θνῄσκουσιν ἱκανοί, οἷς ἡ τελευτὴ καὶ πρὸ ὥρας συγχωρεῖται, ὥστε τὰ ἁμαρτήματα τῶν κουφοτέρων ὄντα τῇ τελευτῇ διαλύσασθαι. Καὶ ζῶσι μέν τινες ἐπὶ πλέον κοινωφελῶς, ἄλλοι δὲ τοὐναντίον κοινοβλαβῶς, ἀξίων ὄντων ἑκατέρων τῶν μὲν ὑπουργεῖν, τῶν δὲ ἀπολαύειν τῆς θείας εὐμενείας ἢ τῆς θείας ἀποστροφῆς· μεθίστανται δέ τινες αὖθις ἐπ' ὠφελείᾳ μὲν ἑαυτῶν τάχιον, ζημίᾳ δὲ τῶν ἐκ τῆς ἐκείνων ὠφελουμένων ζωῆς, ἐπειδὰν αὐτῆς κριθῶσιν ἀνάξιοι. Τῶν δ' ἑαυτοῖς μόνοις καὶ Θεῷ ζώντων, ἄλλοις δι' ἄλλας αἰτίας ὠφελίμους αὐτοῖς ἡ ζωὴ μακρύνεται ἢ συντέμνεται, καὶ προδηλοῦταί γε πολλοῖς αὐτῶν καὶ ἄλλοις περὶ αὐτῶν προδηλοῦται. Καὶ οὕτω τῷ τρόπῳ τῆς τελευτῆς ὁ χρόνος αὐτῆς ἐν τῷ πανσόφῳ περὶ αὐτῶν συνάδει θελήματι, ὡς ἐνίοτε μὲν καὶ τοῖς καλῶς ἐπισκεπτομένοις ὁρᾶσθαι δύνασθαι, καὶ μᾶλλον ἀποκαλύπτοντος τοῦ Θεοῦ, τὸ δὲ πλεῖστον τῷ Θεῷ μὲν ἐγνῶσθαι, πάντας δὲ λανθάνειν ἀνθρώπους. Τούτων ἁπάντων αἱ ἱεραὶ ἱστορίαι πλήρεις εἰσίν, αἱ τῶν πατέρων διακρίσεις τῶν ἱερῶν οὔτε μάτην συγγεγραμμέναι οὔτε μάτην ἀναγινωσκόμεναι τοῖς μετὰ τῆς ἀληθείας ὁμοῦ καὶ τῆς ἑαυτῶν φροντίζουσι σωτηρίας. Ἀλλ' ὃ μεῖζόν ἐστι, τούτων ἁπάντων ἡ θεία γέμει Γραφὴ λέξεσιν αὐταῖς ἃ νῦν γέγραπται βεβαιοῦσα, εἰ καὶ συντομίας χάριν τὰς ἐφ' ἑκάστῳ τούτων ἐξ αὐτῆς παρήκαμεν μαρτυρίας, οὐδ' αὐτὴ πάντας ἱστοροῦσα τοὺς τρόπους (ἀμήχανον γάρ), ἀλλὰ βραχεῖς τινας τούτους ὡς ἂν ἐξ αὐτῶν καὶ περὶ τῶν ἀγνοουμένων ὡς σιωπωμένων βεβαίαν ἐν ἡμῖν τὴν περὶ τῆς θείας προνοίας ἔχωμεν πίστιν, ἣν οὐ γεννωμένων μόνον**
A f. 177r **ἡμῶν καὶ ζώντων, ἀλλὰ καὶ μεθισταμένων ἐντεῦθεν | ποιεῖται, ὡς τῇ θείᾳ πρέπον ἐστὶν ἀξίᾳ καὶ ἀγαθότητι καὶ σοφίᾳ. Μᾶλλον δὲ ταὐτόν ἐστι τὸ ζώντων ἡμῶν προνοεῖν καὶ τὸ τέλος τῆς ζωῆς, ὁποῖον ἔσται καὶ ὅτε, μὴ καθάπαξ ὑπερορᾶν, ὃ τῆς ἐνταῦθα ζωῆς ὅρος καὶ πέρας καὶ κρίσις ἐστὶ καὶ σφραγὶς καὶ οὗ προὔργου πάντες οἱ ζῶντες φροντίζουσιν, οἵ τε**

36 ὃ…**37** φροντίζουσιν] Phot., *Amph.*, 240 (21, 22-26).

10 ἀσθενοῦντες…11 ἀρρωστοῦντες] ἀρρωστοῦντες καὶ ἀσθενοῦντες *cum cor.* ⌜β⌝ *supra* ἀρρωστοῦντες *et* ⌜α⌝ *supra* ἀσθενοῦντες A : ἀσθενοῦντες καὶ αρρωστοῦντες B **18** Θεῷ] *suppl. supra lineam* A **27** ἁπάντων] *add.* A **30** τοὺς] τοὺς *ante* τοὺς *iter. et exp.* A **31** βεβαίαν…32 τὴν] *suppl. in marg. sinis* A **32** περὶ…γεννωμένων] *suppl. in marg. sinis.* A

ἀπευχόμενοι τὸν θάνατον ἐγγύθεν ἥκειν οἵ τε εὐχόμενοι, διαφόροις ἑκάτεροι, ἔστι δ' ὅτε καὶ τοῖς αὐτοῖς ἀγόμενοι λογισμοῖς· ἀκούουσι γὰρ τὸ *Ἐν ᾧ εὕρω σε, ἐκεῖ καὶ κρινῶ σε*.

5.4. Τίνα δὲ λόγον ἔχον ἐστὶ τῆς μὲν τῶν ἀνθρώπων ζωῆς οὕτω πατρικῶς τὸν Θεὸν προνοεῖν, τῆς δὲ τελευτῆς αὐτῶν μηδένα ποιεῖσθαι λόγον; Ἡ μὲν γὰρ ἐνταῦθα ζωὴ ὁδοιπορία τίς ἐστι πρὸς τὸ προκείμενον τέλος, ὁ δὲ θάνατος τὴν ἐνταῦθα παύει ζωὴν καὶ πᾶσα μὲν ἑκάστου σπουδή, πᾶσα δὲ θεόθεν χορηγία συναποπαύεται. Πολλὰ δὲ τὰ ποιοῦντα τὸν θάνατον, ὥστε καὶ τὰ τὴν ζωὴν παύοντα ταύτην, τὴν μόνην ὕλην τῶν περὶ ἡμᾶς προνοιῶν τοῦ Θεοῦ, δι' ὧν πρὸς αὐτὸν ὁριζόμεθα· αὐτὸς γάρ ἐστι τὸ τέλος ἡμῶν, οὐδ' εἰς ἄλλο τέλος ἡμᾶς ὁρίζει παρ' ἑαυτόν. Οὐκοῦν ἡ τοσαύτη περὶ ἡμᾶς τοῦ Θεοῦ πρόνοια πάρεργον ἔσται, τῶν ποικίλων καὶ πολυτρόπων αἰτιῶν τοῦ θανάτου καὶ τύχης καὶ αὐτομάτου καὶ τῶν κατὰ συμβεβηκὸς λεγομένων καὶ πάντων τῶν ὁπωσοῦν ὄντων κατὰ πρόνοιαν ὄντων; **Ἢ μᾶλλον ὁ μὴ φροντίζων ὁπότε καὶ ὅπως ὁ θάνατος τὴν ζωὴν παύσει καὶ τὴν ταύτης καρποφορίαν τοῖς ζῶσι σπουδαίως, οὐδ' ὅπως ζήσονται καὶ τί ζῶντες ἀνύσουσι πάνυ τι φροντιεῖ; Εἰ δὲ τοῦτο ψεῦδός τε καὶ ἀδύνατον καὶ δι' αὐτοῦ μόνου κατευοδοῦνται πρὸς τὸ τέλος ὁριζόμενοι, ὁπόσον ἂν καὶ οἴκοθεν σπεύδωσιν οἵ γε σπουδαῖοι, εὐλόγως καὶ τῷ τῆς ζωῆς μέτρῳ πρὸς τὸ συμφέρον κέχρηται τῶν ὁριζομένων, | καὶ μετρεῖ τὴν ζωὴν ὁ μόνος** A f. 177ᵛ **μετρεῖν δυνάμενος, καὶ τὰ ποιοῦντα τὴν τελευτὴν αὐτοῦ κελεύοντος ἢ συγχωροῦντος καὶ μὴ κωλύοντος ταύτην ποιοῦσιν.** *Ἅπτεται γὰρ ἐκ τοῦ ἐσχάτου μέχρι καὶ τοῦ ἐσχάτου ἰσχυρῶς ὁ Θεός* ἐν τῇ Σοφίᾳ λέγεται, καὶ *Δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς τὴν γῆν ἄνευ τοῦ πατρός μου* καὶ τὰ ἑξῆς αὐτὸς ὁ Κύριος ἡμῶν φησίν. **Τὸ δὲ μὴ πάντας εἶναι σπουδαίους μηδὲ πρὸς τὴν αἰώνιον προωρισμένους ζωήν, οὐδὲν πρὸς τὸν λόγον.** Ἀρκεῖ μὲν γὰρ καὶ ἡμῖν μετὰ τοῦ μεγάλου πατρὸς Βασιλείου τὸ τοῖς προωρισμένοις πεπηγέναι θεόθεν τὰ τῆς ζωῆς μέτρα καὶ πρὸς τὸ ἀίδιον

---

40 Ἐν…σε²] Ez. 7, 5; *ibid*. 11, 11-12; *ibid*. 18, 30; *ibid*. 24, 14; *ibid*. 33, 20; cf. Joh. Climac., *Scal*. 88 (812D). **5.4.,9** Οὐκοῦν…**11** ὄντων²] Cf. Germ., *vit. term.* 12, 24-30; cf. *ibid.* 56, 4-9. **19** Ἅπτεται…**20** Θεός] Sap. 8, 1. **20** Δύο…**22** μου] Mat. 10, 29. **24** Ἀρκεῖ…**26** συστέλλεσθαι] Bas., *Deus non auct. mal*. 31, 333B; cf. *id*., *mor. 11 / mort* 32 (1268C).

5.4.,8 αὐτὸς…**11** ὄντων²] Cf. *Compendium ST* I, Q116 A1 (V 503, 19-23). **19** Ἅπτεται…**22** φησίν] Cf. *Compendium SG* III, 75 (V 164, 34-38)

5.4.,2 πατρικῶς…Θεὸν] τὸν Θεὸν πατρικῶς B **14** τι] *add*. A **21** ἀσσαρίου] ἀσαρίου A

συμφέρον αὐτοῖς ἐκτείνεσθαι ἢ συστέλλεσθαι *τοῖς χρυσοῖς τε καὶ ἀργυροῖς καὶ εἰς τιμὴν σκεύεσι* κατὰ Παῦλον**, οἵπερ ἀναρίθμητοι μέν εἰσι καὶ τούτων χάριν ἡ γένεσις εἰς ἀναπλήρωσιν τῶν πεσόντων οὐρανόθεν ἀγγέλων, Θεῷ δὲ γινωσκόμενοι μόνῳ· καὶ ὑπ' αὐτοῦ φανεροῦνταί τινες ἐξ αὐτῶν, οὓς ἂν βούλοιτο φανεροῦσθαι κἀνταῦθα καὶ οὓς λανθάνειν ἀδύνατον.**

5.5. Ἔπειτα, καθάπερ προνοεῖ μὲν πάντων ἐν τῇ ζωῇ τῶν ἀνθρώπων, ἀλλὰ διαφόρως καὶ κατὰ τὴν ἀξίαν ἑκάστων, οὕτω καὶ περὶ τοῦ τέλους αὐτῶν ποικίλην εἰκὸς ἔχειν παρὰ τῇ θείᾳ κρίσει τὴν τάξιν καὶ τὴν ἀπόβλεψιν. Καὶ πᾶσι μὲν γὰρ ἀνθρώποις ἐφίστησιν ἄγγελον**, ἀλλ' οὐ τῆς αὐτῆς ἀπολαύει τοῦ ἀγγέλου κηδεμονίας ὁ πιστὸς τῷ ἀπίστῳ, οὐδ' ὁ φαῦλος τῷ ἀγαθῷ, κἂν ὦσιν ἄμφω πιστοί. Οὕτω κἀνταῦθα τὴν μὲν ζωὴν ἡμῶν ἁπάντων καὶ τὸ τέλος ὡρίσθαι πᾶσα ἀνάγκη, ἡ δὲ διάφορος περὶ ταῦτα κρίσις κατὰ τὰς τῶν ζώντων διαφορὰς τῷ Θεῷ ἔγνωσται μόνῳ, ὀλίγων ἡμῖν ἀποκαλυφθέντων ἔκ τε τῶν θείων Γραφῶν ἔκ τε τῶν ἱερῶν ἱστοριῶν, ὡς φθάσαντες διεξήλθομεν, καὶ οὐ δίκαιον ἡμᾶς διὰ τὸ μὴ**
A f. 178r **δύνασθαι τοῖς ἀκαταλήπτοις τε καὶ μὴ δε | δομένοις ἐπιχειρεῖν καὶ τῶν ὁμολογουμένων καὶ δεδομένων ἡμῖν εἰδέναι διαπιστοῦντας ἀφίστασθαι. Καίτοι τὸ καὶ τὰς τῶν ἀποδεδοκιμασμένων ἢ ἠλεημένων ζωὰς τῷ θείῳ ὑποκεῖσθαι ζυγῷ καὶ τὴν αὐτῷ δοκοῦσαν ἐξαγωγὴν ἐκ τοῦ βίου καὶ τούτους ὑφίστασθαι ἡ θεία διδάσκει Γραφή. Καὶ δηλοῦσι μὲν οἱ βίαιοι θάνατοι πλήθεσιν ἐπαχθέντες καὶ ἄρχουσι ζήλῳ δικαιοσύνης, ἀγγέλων ὑπηρετουμένων καὶ προφητῶν οὐκ ἄνευ Θεοῦ· δηλοῦσι δὲ αἱ διὰ τῶν προφητῶν ἀπειληθεῖσαι πόλεσί τε καὶ ἔθνεσιν ἐξολοθρεύσεις καὶ ἢ μετανοίᾳ καταφυγόντων ἐπὶ τὸν Θεὸν πεπαυμέναι ἢ ἀμετανοήτων μεινάντων γενόμεναι, αἱ προσθῆκαι τῆς ζωῆς ἐνίοις μετανοήσασιν μετὰ τὴν τῆς ζωῆς ἀπαγόρευσιν, ἐκ Θεοῦ μηνυθείσης τῆς τελευτῆς καὶ σημείοις πᾶσι φανερᾶς γενομένης,** Ἀνανίας δὲ καὶ Σάμφειρα ἀποψύξαντες οὐ τῇ τοῦ

---

27 εἰς…σκεύεσι] II Tim. 2, 20-21; *Rom*. 9, 20-21. **5.5.,4** πᾶσι…ἄγγελον] Cf. Marc. Eug., *ad Reg*. 22 (315-316). **22** Ἀνανίας…**24** βουλομένου] Act. 5, 1-11; cf. Ath., *pass*. 28 (188C-D).

---

26 τοῖς…**27** Παῦλον] Cf. *Compendium ST* I, Q23, A.5 (V 362, 25-27). **5.5.,4** πᾶσι…ἄγγελον] Cf. *Compendium ST* I, Q64 A.4 (V 415, 10-18); cf. *Compendium ST* I, Q64 A.4 (V 415, 35-38); cf. *Compendium ST* I, Q113 A1 (V 497, 14-20); cf. *Compendium ST* I, Q113 A.6 (V 498, 26-27).

---

27 χάριν] χάρις A

Πέτρου, τῇ δὲ τοῦ Θεοῦ δυνάμει, ὃν ὁ Πέτρος ἐπεκαλεῖτο, καὶ τοῦ Πέτρου μὴ παρόντος καὶ τὸ ψεῦδος ἐλέγχοντος ἀπέψυξαν ἂν οὕτω τοῦ Θεοῦ βουλομένου. **Καὶ πόσοι τῶν ἀνθρώπων ἀνηκέστως παρανομοῦντες βιαίως ἐξάγονται, ἄλλος ἄλλην ὑφιστάμενοι βίαν καὶ τοὺς ἀνθρώπους λανθάνουσι σκοπουμένους μὲν τὸ τῆς βίας φαινόμενον, τὴν δ' οὐράνιον πρὸς τοῦτο ῥοπὴν λογίζεσθαι μηδόλως ἐφικνουμένους; Αἱ δὲ πρόδηλοι τῶν θανάτων καὶ παρὰ φύσιν ἀπαλλαγαί, τῆς ἐκ νεκρῶν ἀναστάσεως οὐδὲν διαφέρουσαι, παρείσθωσαν ἐν τούτῳ τῷ μέρει ὡς τῇ τῶν προωρισμένων τάξει συμβαίνουσαι, τότε μὲν ἀπαλλάττοντος τοῦ Θεοῦ παραδόξως, ὡς οὕτω συμφέρον αὐτοῖς καὶ τῷ αὐτοῦ συνᾷδον θελήματι, ἄλλοτε δὲ καὶ δι' ἀμφότερα συγχωροῦντος σφίσι μεθίστασθαι, ἢ τῆς φύσεως ὑπουργούσης ἢ βίας τυραννικῆς ἐξαγούσης.**

6.1. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὸν ἡμέτερον ἐκφῆναι σκοπὸν ἐπὶ συστάσει τῆς ἀληθείας οὐχ ἧττον ἢ τῆς τοῦ διδασκάλου γνώμης. Εἰ δὲ ἐν τῇ Σοφίᾳ λέγεται· *Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν*, τοῦτο κατὰ τὴν αἰτίαν τοῦ θανάτου νοεῖται· *οὐ γὰρ θέλει τὸν θάνατον τῶν ἀνθρώπων* προηγουμένως οὔτε ποιεῖ, ὥσπερ οὐδὲ τὴν αἰτίαν τούτου, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν τῆς δικαιοσύνης τάξιν καὶ πάνυ βουλόμενος, ἧς ἐστι τὸ τοῖς ἁμαρτάνουσι δίκην ἐπάγεσθαι, ἐπομένῃ θελήσει θέλει αὐτὸν καὶ ποιεῖ, εἰ καὶ ἐλέους ὑπερβολῇ καὶ φιλανθρωπίας καὶ τοῦτον τοῖς τέκνοις μυρίοις τρόποις οἰκονομεῖ πρὸς τὸ βέλτιον, καὶ πρὸς εὐεργεσίαν τῇ κοινῇ τοῦ γένους ποινῇ, πρὸς οὓς ἂν βούλοιτο καὶ πρέπον εἴη, πατρικῶς ἀποχρῆται. Καὶ διὰ τοῦτο ἐν τῇ α΄ τῶν Βασιλειῶν λέγεται· *Κύριος θανατοῖ καὶ ζωογονεῖ*, **οὐχ ὡς ἰδίᾳ πράττοντος μόνον ἑκάτερον, ὃ ταὐτόν ἐστι τῷ θέλοντος ἑκάτερον γίνεσθαι, ὡς αὐτοῦ ζωῆς** | A f. 178v |

6.1.,3 Ὁ…ἐποίησεν] Sap. 1, 13; cf. Marc. Eug., *vit. term.* 354; cf. Anast. S., *qu. et resp*. [Sp.] 23b, 1 (217, 3-218, 10). **4** οὐ…**10** ἀποχρῆται] Ez. 33, 11; cf. Joh. Damasc., *exp. Fid*. 43, II 29 (102, 67-70); cf. Blemm., *vit. fin.* I (2, 26-29); cf. Theoph. Nic., *de aet. mundi* 36 (33, 23-25). **11** Κύριος…ζωογονεῖ] I Reg. 2, 6; cf. Blemm., *vit. fin.* I (3, 3-5).

6.1.,2 Εἰ…**4** νοεῖται·] Cf. *Compendium ST* I, Q49 A.2 (V 389, 27-31); cf. *Compendium ST* I, Q118 A.3 (V 508, 16-20). **4** οὐ…**10** ἀποχρῆται] Cf. *Compendium ST* I, Q19 A.6 (V 354-355, 36-17); cf. *Compendium ST* I, Q64 A.4 (V 415, 30-35); cf. *Compendium ST II*, Q19 A.8 (=10) (VI 25, 26-29); cf. *Compendium SG* III, 142 (V 218, 21-27). **7** ἐπομένῃ…ποιεῖ] Cf. *Compendium SG* II, 23 (V 68, 31); cf. *Compendium SG* II, 23 (V 68, 37-38); cf. *Compendium ST* I, Q32 A1 (V 371, 7-9). **11** Κύριος…ζωογονεῖ] Cf. *Compendium ST* I, Q49 A.2 (V 389, 26).

5.5.,23 Θεοῦ δυνάμει] *supra* Θεοῦ *symbol* ($_{o}^{\nearrow}$), *quod iter. in marg. dext. et scrp*. δυνάμει A **6.1.,7** καὶ[1]] *suppl. supra lineam* A **10** α΄] πρώτῃ B

καὶ θανάτου τὴν ἐξουσίαν ἔχοντος, ἀλλ' ὡς καὶ ἐν τῷ θανατοῦν πολλάκις ζωογονοῦντος καὶ τὸν τοῦ θανάτου χρόνον καὶ τρόπον πρὸς τὸ συμφέρον καὶ τὴν προωρισμένην ζωὴν πολλοῖς οἰκονομοῦντος καὶ τάττοντος. Καὶ αὖθις, εἰ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· *Ἀφῆκεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐν τῇ βουλῇ τῆς χειρὸς αὐτοῦ*, εἰ καὶ μάλιστα περὶ τῶν ἀποδεδοκιμασμένων τοῦτο νοοῖτο ἄν, ἀλλὰ καὶ πᾶσιν ἁπλῶς τὴν τῆς αὐτεξουσιότητος ἐλευθερίαν προσμαρτυρεῖ· οὐ γὰρ ἄκοντας ἕλκει πρὸς τἀγαθόν. Ὃν δ' ἂν αὐτοὶ προαιρούμενοι πράττοιεν, ἐπόπτης ἐστὶν αὐτὸς καὶ διανομεὺς τῶν ἁρμοττόντων ἑκάστῳ, καὶ διὰ τὴν αὐτεξουσιότητα τῆς θείας οὐκ ἐξαιροῦνται προνοίας οὔτ' ἐπὶ τὸ χεῖρον οὔτ' ἐπὶ τὸ βέλτιον αὐτοῖς, ἁπλῶς δὲ ἀγαθόν τε καὶ δίκαιον.

6.2. Τούτοις καὶ τοῖς τοιούτοις ὁ μέγας ἤχθη Βασίλειος ἐκεῖνα περὶ τῶν τῆς ζωῆς ὅρων διδάσκειν τὰ τέκνα καὶ τῷ θείῳ προσάγειν αὐτοὺς
A f. 179r | **ἐντεῦθεν θελήματι, | προὔργου μὲν θεολογῶν, ἑπομένως δὲ καὶ πρὸς τὰ ἤθη λυσιτελῶν, ὃ τοῖς διδασκάλοις πᾶσιν ἐσπούδασται. Καὶ εἰ μηδαμόθεν ἄλλοθεν τὰ τοιαῦτα εἶχεν εἰδέναι, τοῦ γοῦν προφήτου Δαυὶδ καθ' ἡμέραν ἤκουε λέγοντος καὶ οὐκ ἂν εἶχε τὸν τοῦ θείου κάτοχον παρακρούσασθαι· ἤκουε δὲ αὐτοῦ λέγοντος·** *Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν*. **Οὐκοῦν παρ' εἰδότος ἐζήτει μαθεῖν, ὡς καὶ ὡρισμένον εἰδότος καὶ μαθεῖν ὡρισμένον. Καὶ ἵνα μηδεὶς ἔχῃ λέγειν, ὡς ᾔδει μὲν ὁ Θεός καὶ διὰ τοῦτο ἀποκαλύπτειν εἶχεν, εἴπερ ἐβούλετο, οὐκ εἶχε δὲ πράττειν ἐν τοῖς τοιούτοις, τῇ φύσει καὶ τοῖς ἄλλοις αἰτίοις ὀπώσποτε ταῦτ' ἐπιτρέψας, ἀλλαχοῦ πάλιν φησίν·** *Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου*. **Καὶ οὐκ ἐζήτει θανεῖν ἁπλῶς εἴτουν ἀπαλλαγῆναι (τοῦτο γὰρ**

---

14 τὸν…**15** τάττοντος] Marc. Eug., *vit. term.* 355; cf. Theoph. Sim., *vit. term.* III (28, 31–30, 5). **15** Καὶ…**23** δίκαιον] Cf. Anast. S., *inter. et resp.* 55 (89, 617B); cf. Jos. Br. *cruc. IV* 317. **16** Ἀφῆκεν…**17** αὐτοῦ] Sir. 15, 14. **6.2.,7** Γνώρισόν…**8** ἐστιν] Ps. 38, 5. **12** Ἐξάγαγε…**13** μου] Ps. 141, 8.

---

15 Καὶ…**19** τἀγαθόν] Cf. *Compendium ST* I, Q22 A.2 (V 359, 33-360, 2); cf. *Compendium ST* I, Q83 A1 (V 453, 12-16); cf. *Compendium ST* II, Q10 A.4 (VI 18, 18-20); cf. *Compendium SG* III, 73 (V 162, 36-37). **19** οὐ…τἀγαθόν] Cf. *Compendium SG* III, 94 (V 182, 13-17); cf. *Compendium SG* Iv 55 (V 302, 8-11). | Ὃν…**23** δίκαιον] Cf. *Compendium SG* III, 73 (V 162, 9-11); cf. *Compendium SG* III, 73 (V 162, 25-29); cf. *Compendium SG* III, 148 (V 222-223, 34-4).

---

16 ἐν^{2}…17 αὐτοῦ] *scribend.* ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ. **6.2.,9** Καὶ] *suppl. supra lineam* A **11** καὶ] *suppl. supra lineam* A

καὶ μὴ ζητοῦντος ἔμελλέ ποτε γίνεσθαι), ἀλλὰ θείῳ ἐξαχθῆναι θελήματι καὶ πρὶν ἐς γῆρας ἐλθεῖν. Καὶ διὰ τοῦτό φησιν ἀλλαχοῦ· *Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου*. **Οὐκ ἐζήτει δέ τι ἄηθες τῇ θείᾳ προνοίᾳ, τοιοῦτος ὢν καὶ εἰδὼς ἐκ τοῦ Πνεύματος ἃ δεῖ αἰτεῖσθαι. Οὐκοῦν ἐξάγει Θεὸς τὴν τοῦ ἀνθρώπου ψυχὴν τῆς ἐνταῦθα ζωῆς, ἐπειδὰν βουληθῇ, ἐν τῷ ἡμίσει ἢ ὅλως μέρει τινὶ τοῦ πᾶσι κοινοτέρου μέτρου τοῖς ἐν τῇ ζωῇ διαρκοῦσιν, καὶ προστίθησι καὶ συντέμνει, καθάπερ εἴρηται πρότερον, ἢ οὕτω κρίνων αὐτὸς ἢ καὶ τοῖς εὐχομένοις χαριζόμενος, ἐκείνῳ μόνῳ προεγνωσμένον καθάπερ ὅρου καὶ πέρατος, ὃ τοῖς ἔργοις τελευταῖον ἐκβαίνει.**

7. Ἐπεὶ δὲ τινές, ὡς φῄς, αὐτὸν τὸν μέγαν Βασίλειον αἰτιώμενοι καὶ διὰ τοῦτο μὴ προσιέμενοι αὖθις ἐξαιτιῶνται, σὺ νῦν, ὁσιώτατε, συνῆκας μὲν τὴν αἰτίασιν καὶ τὴν ἐξαιτίασιν καλῶς, ὁπόσον ἔχει φρονήσεώς τε καὶ ἀληθείας, ἔμαθες δὲ αὐτὸν οὐκ ἐκ τοῦ παρήκοντος θεολογοῦντα ταῦτα, | A f. 179^{v} | **ἀλλὰ προὔργου, καὶ** ὅρους εὐσεβείας **ταῦτα καὶ** κεφάλαια **ὀνομάζοντα, ὧν μὴ χρῆναι μηδένα παρεξιέναι. Ἤκουσας παρ' ἡμῶν καὶ πᾶσι τοῖς διδασκάλοις τοῖς ὁμοίοις συμφωνοῦντα, μᾶλλον δὲ τοῖς θείοις ἔργοις καὶ νόμοις συνᾴδοντα, ἅπερ ἐκ πολλῶν ὀλίγα σοι νῦν ἐξεθέμεθα, ὅσον αἰνίξασθαι τὴν τοῦ διδασκάλου πρὸς τοὺς θείους κανόνας ἐφαρμογήν. Ὁπόταν δὲ καὶ τὰς εἰς τοὐναντίον ἐπιχειρήσεις πέμψῃς ἡμῖν, ἃς ἀκηκοέναι λέγεις πολλῶν, πέμψομέν σοι κἀκείνων τὰς λύσεις. Ἐπεὶ δὲ ἡ τοῦ μεγάλου Βασιλείου ἀπόφασις αὕτη πρὸς τὸν θεῖον ἀνήκει προορισμόν, ἔχεις τὸν πολὺν Περὶ θείας προνοίας καὶ προορισμοῦ λόγον ἡμῶν προὔργου τότε καὶ πάνυ σπουδαίως συγγεγραμμένον ἡμῖν (ὢ τῆς κοινῆς δυστυχίας· ὢ τῆς ἐμῆς λυγροτάτης ζωῆς!). Ἐκεῖ καὶ πᾶσαν σχεδὸν ἀπορίαν λυομένην εὑρήσεις, οὐ μόνον αὐτάς, ὑφ' ὧν τινες σαλεύονται· ἀποροῦντες γὰρ εἰ δυνατόν ἐστι λοιπὸν τὴν ἀνθρωπίνην προαίρεσιν ἐνεργεῖν ἐν τοῖς προαιρετοῖς καὶ ἢ στεφανοῦσθαι ἢ κολάζεσθαι τοῦ θείου κρατοῦντος**

---

15 Καὶ…**17** αἰτεῖσθαι] Cf. Germ., *vit. term.* 44, 17-20. | Μὴ…**16** μου] Ps. 101, 25; cf. Nic. Meth., *vit. term*. II, 243; cf. Marc. Eug., *vit. term.* 354. **17** Οὐκοῦν…**22** ἐκβαίνει] Anast. S., *qu. et resp.* [App.] 23a, 5 (216, 77-81). **7.,1** Ἐπεὶ…**4** ἀληθείας] Mich. Glyc., *In S. Scr.* 37 (452, 3-10). **5** ὅρους…κεφάλαια] Cf. Bas., *reg. moral.* (titulus) 31, 700: *Ἀρχὴ τῶν Ἠθικῶν, Ὅρος* Α΄, *Κεφάλαιον* α΄, β΄, γ΄, δ΄, ε΄. *Ὅρος* Β΄, *Κεφάλαιον* α΄, β΄, γ΄΄... et sic in cetera; Bas., *reg. fus.* (titulus) 31, 901: *Κεφάλαια τῶν κατὰ πλάτος Ὅρων*. Cf. Bas., *cap. reg.* (titulus) 31, 1051: *Κεφάλαια τῶν Ὅρων τῶν κατ' ἐπιτομήν*. **16** ἀποροῦντες…**19** προορισμοῦ] Cf. Pleth., *fat.* 70.

7.,1 δὲ] *suppl.supra lineam* A **13** πολὺν] πολλὺν A

προορισμοῦ, καὶ εἰ δυνατόν ἐστι χρησιμεύειν ἡμῖν ἔτι τὰς εἰς τὸ θεῖον εὐχάς, **καὶ** περὶ τῶν ἐκ τύχης καὶ αὐτομάτου λεγομένων γίνεσθαι**, καί τινα τοιαῦτα ἀποροῦντες καὶ μὴ δυνάμενοι λύειν τὸν θεῖον ἀποσκευάζονται προορισμὸν ὡς τῶν ἀποριῶν αὐτοῖς αἴτιον. Ἐκεῖ ταῦτα πάντα ὄψει ἰατρευόμενα τῷ φαρμάκῳ τῆς ἀληθείας· ἐκεῖ καὶ τὸν Δαμασκηνὸν Ἰωάννην συμβιβαζόμενον εὑρήσεις τῷ καθηγεμόνι πάνυ καλῶς καὶ ὡς ἂν αὐτὸς ὁ θεῖος Ἰωάννης βουληθείη καὶ χάριν ἔχοι τοῖς συμβιβάζουσιν· ἐκεῖ τὴν θείαν πρόνοιαν οὐ χωλεύων καὶ πρὶν ὁμολογεῖν ἀναιρῶν, ὡς οἱ πολλοὶ δι' ἄγνοιαν πάσχουσιν, ἀλλ' ὡς αὐτὴ βούλεται καλῶς ἐκθειάσεις, καὶ ὡς**
A f. 180^{r} | **ἀποκαλυφθῆναι τοῖς τέκνοις ἠθέλησεν, | οἷς εὐδόκησεν, τὴν ἁρμόττουσαν αὐτοῖς ἐκ φιλοσοφίας δοῦσα πρῶτον παρασκευήν. Ὡς οὖν ἐκείνου σοι τοῦ λόγου πάντα ἀρκέσοντος οὐδὲν νῦν περὶ τούτων πραγματευόμεθα.**

8. Σοὶ δέ, φίλτατε, περὶ μὲν τῶν ὅρων τῆς ἀνθρωπίνης ζωῆς ἀρκείτω πρὸς τοὺς ἐναντίους τὸ τοῦ Βασιλείου μόνον ἀξίωμα**, εἰ μὴ δύνασαι ἀντεπιχειρεῖν αὐτοῖς καὶ λύειν τὰς ἀπορίας· τουτὶ γὰρ ποιεῖν ἐν τοῖς τοιούτοις φρονίμων ἐστίν, ἅμα δὲ καὶ ὑπὸ τῶν καθηγεμόνων τῆς ἐκκλησίας οὕτω ποιεῖν κεκανονισμένον ἐστὶ καὶ προωρισμένον. Περὶ δὲ τοῦ θείου προορισμοῦ ἀρκείτω σοι** τὸ τοῦ Παύλου ἀξίωμα, **ἵνα μὴ λέγω τῆς ἱερᾶς ἁπάσης Γραφῆς· ἐκ περιουσίας δέ σε τῇ δόξῃ τῆς ἀληθείας ἐνιδρύων ταύτῃ καλῶς τὸν μέγαν προστίθημι Μάξιμον ὥσπερ ἐπισφράγισμα τὴν τῶν ἁγίων καὶ σοφῶν καὶ θεολόγων σφραγῖδα, ὃν ταὐτόν ἐστι διὰ τοῦτο καὶ πάντας προσθεῖναι τοὺς πρὸ αὐτοῦ. Ἐκεῖνος γὰρ πλείους ἑκατοντάδας κεφαλαίων ἐξέθετο, ἃ** Γνωστικὰ καὶ θεολογικά **ἐπιγράφει, ἄλλου κεφαλαίου παντάπασιν ἄλλην ὑπόθεσιν διοριζομένου, καὶ ὥσπερ ἀποφάσεις καὶ ὅρους ταῦτα συνέθετο, ὡς Ἱπποκράτης μέν ποτε τοὺς λεγομένους** Ἀφορισμούς, **τοὺς δὲ** Καρποὺς **Πτολεμαῖος. Τὸ τοίνυν κα΄ κεφάλαιον αὐτῷ τῆς δ$^{-ς}$ ἑκατοντάδος οὑτωσὶ διορίζεται·** Ὃ τρόπῳ βούλεται

8.,2 τὸ…ἀξίωμα] Cf. Bas., *Deus non auct. mal*. 31 (333B); cf. id*., mor.* 11 / *mort*. 32 (1268C). **6** τὸ…ἀξίωμα] Cf. Rom. 8, 30. **11** Γνωστικὰ…θεολογικά] Cf. Max., *cap. theol.* (titulus) 90, 1177: *Κεφάλαια διάφορα Θεολογικά τε καὶ Οἰκονομικὰ καὶ Περὶ ἀρετῆς καὶ κακίας.* **14** Ἀφορισμούς] Hippocr., *Aphorism.* (titulus) 458: *Ἀφορισμοί.* | Καρποὺς] (Ps.-) Ptol., *Fruct.* (titulus) 37: Ὁ καρπός. **15** Ὃ…**17** ἄδικον] Max., *cap. theol.*, II, 22 (1228D); cf. id., *qu. Thal.* 90, 384C.

7.,19 εἰ…εὐχάς] Cf. *Compendium SG* III, 95 (V 182, 24-32). **20** περὶ…γίνεσθαι] Cf. *Compendium ST* I, Q116 A1 (V 362, 20-25). **8.,14** Πτολεμαῖος] Cf. *Compendium SG* III, 87 (V 173, 34-37).

ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων διορίσας ζωὴν Θεὸς ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον εἴτε ἄδικον**. Καὶ τοῦτο ὅλον καὶ μόνον αὐτῷ τὸ κα~ν ἐστὶ κεφάλαιον. Ὡς οὖν προωμολογημένου πᾶσι τοῦ καὶ τὴν ζωὴν ἑκάστου διωρισμένην εἶναι κατὰ τὸν χρόνον καὶ τὸ πέρας αὐτῆς, ἀκολούθως καὶ τὸν τῆς τελευτῆς τρόπον τῷ θείῳ θελήματι παραδίδωσιν, ὡς ἂν καὶ ὁ τρόπος τῆς τελευτῆς τῷ μέτρῳ τῆς ζωῆς συμπροω | ρισμένος ᾖ** A f. 180ᵛ | **πρὸ αἰώνων καὶ ἕκαστος τῶν ἀνθρώπων πρὸς τὸ τῆς ζωῆς ἄγοιτο τέλος, καθὼς ἂν τῷ Θεῷ δόξειεν οἰκεῖον εἶναι τῇ ἐνταῦθα τούτου ζωῇ καὶ τῇ μετ' αὐτὴν διαδεξομένῃ καταστάσει· καὶ τὸ δικαίως ἀποθνῄσκειν εἴτε ἀδίκως, καὶ εἴτε τοὺς δικαίως βιοῦντας εἴτε ἀδίκως, τῇ ποικίλῃ τε καὶ πανσόφῳ τοῦ Θεοῦ περὶ ἑκατέρους κρίσει μόνῃ προσήκοι. Ταῦτα δὲ ἡμεῖς εὐρύτερον διειλόμεθα, οὐκ οἴκοθεν, ἀλλὰ ταῖς ἱεραῖς ἀκολουθοῦντες Γραφαῖς· ὁ δὲ φερωνύμως μέγιστος οὗτος τῆς ἐκκλησίας διδάσκαλος τὸ συμπέρασμα προστίθησι μόνον, ὥσπερ νομοθετῶν. Ἔχεις, ὦ φίλτατε, καὶ τοῦτον ἡμῶν ἐκ τῆς ἡσυχίας τὸν λόγον, μᾶλλον δὲ ὁ μέγας ἔχει Βασίλειος καὶ ὁ τὴν ψυχὴν ἐκείνην φωτίσας. Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.**

---

18 καὶ… **22** τέλος] Marc. Eug., *vit. term*. 355.

A f. 180v

Περὶ τοῦ θείου προορισμοῦ, τρίτον

1. Πολλὴν οἶδά σοι χάριν, ὁσιώτατε πάτερ καὶ ἀδελφέ, ὅτι καίτοι πεπεισμένος ἀρκούντως τῇ συστάσει τῶν τοῦ μεγάλου πατρὸς Βασιλείου χρήσεων, μᾶλλον δὲ τῆς κοινῆς τῶν διδασκάλων δόξης περὶ τῶν τῆς ζωῆς ὅρων, περὶ ὧν ἐπυνθάνου, ταὐτὸν δ' εἰπεῖν καὶ περὶ τοῦ θείου προορισμοῦ, ἔπεμψας ἡμῖν καὶ τὰ δοκοῦντα τῇ δόξῃ ταύτῃ προσίστασθαι, ἡμῶν σοι καὶ τοῦτο προτρεψαμένων. Ἅπερ ἰδόντες καὶ τρίτον ἤδη σοι συνταγμάτιον πέμπομεν ἀκολούθως τῷ καιρῷ καὶ τῇ χρείᾳ, εἰ καὶ τὸ πρότερον περὶ θείας προνοίας καὶ προορισμοῦ πεμφθέν σοι βιβλίον ἡμῶν ἀρετῇ καὶ δυνάμει πολλῷ πλέον ἢ μεγέθει ταῦθ' ὑπερβάλλει τὰ δεύτερα· ἐκεῖ μὲν γὰρ ὅλην προεστησάμεθα τὴν ὑπόθεσιν ταύτην, ἐν τούτοις δὲ λύσιν ἐνίων τῶν ἀντιπίπτειν δοκούντων ἐκθέσθαι σοι διέγνωμεν τῷ φιλτάτῳ.

A f. 181r |

2.1. Ὁ μὲν οὖν ἱερώτατος ἀρχιερεὺς τῆς Ἐφέσου | **(ἐκ γὰρ τῶν ὑστέρων ὡς βελτιόνων ἄρξασθαι δεῖ καὶ διὰ τὴν πρὸς ἐκεῖνον ἡμῶν μετ' αἰδοῦς εὔνοιαν)** τῇ διακρίσει τῶν μεγάλων διδασκάλων συναγωνίζεται**, ἣν ἐν τῷ δευτέρῳ συντάγματι φανερῶσαί σοι καλῶς προεθέμεθα, καὶ ἡμῖν τὰ ἐκείνων ὡς ἐχρῆν ἐκθειάσασιν ἐπιμαρτυρεῖ· φησὶ γὰρ ἐν οἷς ἡμῖν ἔπεμψας κατὰ λέξιν, ὡς** εἰ μὴ καὶ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει**. Τοῦτο δὲ καὶ ἡμῖν δι' ὅλου τοῦ δευτέρου συγγράμματος κατεσκευάζετο ὡς γνώμη τῶν διδασκάλων κοινή, τῶν ἀκριβούντων ταῦτα καὶ σοφίᾳ καὶ χάριτι, οὐ μόνον τοῦ μεγίστου πατρὸς Βασιλείου, ὅτι τοῖς εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν τά τε κατὰ τὸν βίον ἅπαντα καὶ τὸ πέρας τοῦ βίου ἀκολούθως τῷ τοιούτῳ προορισμῷ ὑπὸ Θεοῦ διατάττονται. Τοῦτο μόνον ἔδοξεν ἄν τισι τῷ μακαρίῳ μὴ κατὰ καιρὸν εἰρημένον, ὅτι τὴν τοῦ μεγάλου Βασιλείου βεβαιῶν φρονίμως ἀπόφασιν, ὅμως ἐκ τοῦ**

2.1.,1 Ὁ…**3** συναγωνίζεται] Marc. Eug., *vit. term.* 350; *ib.* 362; *ibid*. 351-352; *ibid*. 356-357. **6** εἰ…**8** προορίζει] Marc. Eug., *vit. term.* 359; *ib.* 359; cf. Marc. Eug., *vit. term.* (*Epit.*) 31 [= Bas., *Deus non auct. mal*. 31, 333b; *id., mor.* 11 / *mort*. 32 (1268C)]. **13** Τοῦτο…**15** μέγαν] Cf. Anast. S., *qu. et resp.* 99, 5 (158, 46-58); cf. Mich. Glyc., *In S. Scr.* 37 (453, 10-14). **14** ἐκ…**15** παρήκοντος] Marc. Eug., *vit. term.* 358; Cf. Nic. Meth., *vit. term.* II, 244.

8.,32 Περὶ…τρίτον] Titulus: Περὶ τοῦ θείου προορισμοῦ, τρίτον· Τῷ αὐτῷ τιμιωτάτῳ ἐξάρχῳ καὶ ὁσιωτάτῳ πατρί· Γεννάδιος μοναχὸς ὁ Σχολάριος A | Περὶ τοῦ θείου προορισμοῦ, τρίτον· Τῷ αὐτῷ τιμιωτάτῳ ἐξάρχῳ· Γεννάδιος μοναχὸς ὁ Σχολάριος B

παρήκοντος αὐτὴν εἰπεῖν λέγει τὸν μέγαν. Ἐμοὶ δὲ ἔγνωσται μᾶλλον αὐτὸς τὴν μὲν ἀλήθειαν δογματικῶς βεβαιῶν καὶ τῷ μεγάλῳ Βασιλείῳ κατὰ λέξιν συνᾴδων, ἐκ δὲ τοῦ παρήκοντος ἢ μᾶλλον εἰπεῖν οἰκονομικῶς πλαγιάζειν δοκῶν εἰς ἀρέσκειαν τῶν περὶ τούτου τότε ζητούντων. Τὴν γὰρ ἀπόκρισιν ταύτην, μετὰ τὸ συγγράψαι μικρὸν ἐν ἱερομονάχοις ἔτι ταττόμενος, ἀνέγνω τῷ βασιλεῖ Ἰωάννῃ ἐν τῷ ναῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν "Πεφανερωμένον" ἐκάλουν, ἔγγιστα τῇ μονῇ τῶν Μαγγάνων, ἀνέγνω δὲ παρόντος ἐμοῦ. Ἦλθε γὰρ μηνυθεὶς ἐκ τῆς ῥηθείσης μονῆς, μηνυθεὶς ἅμα καὶ τὸ σύγγραμμα φέρειν, ἠκουσμένου παρ' ἡμῶν περὶ τούτου τῷ βασιλεῖ· καὶ εἰ μὴ φθάσας ἐξέδωκε τῷ ζητήσαντι, κἂν ἐπεστάτησε βέλτιον ἐξ ὧν ἡμῶν ἤκουσεν εὐλαβῶς, συνεπιψηφιζομένου τοῦ σοφοῦ βασιλέως. Ἡμῖν δὲ ἤρκεσε καὶ ἀμφοῖν, τό τε συμπέρασμα τῆς ἀποκρίσεως, τῷ μεγάλῳ συμφωνοῦν Βασιλείῳ, καὶ ἡ ἐξαιτίασις ἣν παρέσχετο, περὶ τοῦ δεδιέναι καθάπαξ τὴν τῶν ἰδιωτῶν ἀοριστίαν | διώσασθαι, ἣν περὶ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς ἰσχυρίζονται, ὡς μηδὲν εἰδέναι περαιτέρω δεδυνημένοι. Ὅτι δὲ ἐκ τοῦ παρήκοντος ἀδύνατον ἦν, οὕτω τε προδήλως καὶ πολλαχοῦ τὰ τοιαῦτα τὸν μέγαν φάναι Βασίλειον, κἂν μυρίοι φαῖεν αὐτὸ τῆς Ἐφεσίων πρόεδροι, ἱκανῶς σοι τότε πρῶτον ἐδείχθη, καὶ ἡμεῖς, οὐ φειδοῖ μᾶλλον τοῦ καλλίστου πατρὸς ἐκείνου ἢ ὑπονοίᾳ τοῦ καὶ ἄλλοις τισὶ τοιοῦτόν τι περὶ τοῦ μεγάλου Βασιλείου παραλόγως εἰρῆσθαι, σιωπῇ παρήλθομεν τὸν εἰπόντα, τὸν δὲ λόγον μόνον ἠλέγξαμεν. A f. 181v

2.2. Οὐκοῦν ἔχεις καὶ τὸν ἱερὸν ἄνδρα τοῦτον τὸν θεῖον βεβαιοῦντα προορισμὸν καὶ τῷ μεγάλῳ Βασιλείῳ συνᾴδοντα. Οὔτε δὲ ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ ἐν ἐκείνοις τοῖς λόγοις περαιτέρω τὸν περὶ τούτων λόγον ἐξήταζεν, οὔτε ὁ ἱερὸς οὗτος τῆς Ἐφέσου πρόεδρος ἀνάγκην εἶχε, πρὸς μίαν ἐρώτησιν ἀποκρινόμενος, τὸν περὶ τοῦ θείου προορισμοῦ πάντα συνείρειν λόγον, ὥσπερ ἡμεῖς πρῶτα μὲν προὐργιαίτερον, εἶτα καὶ δίς, προφάσει τῆς τοῦ μεγάλου συνηγορίας, τοῦτο πεπράχαμεν ὡς οἷόν τε ἦν. Ἀρκείτω δ' ἡμῖν καὶ σοὶ τῷ φιλτάτῳ, ὅτι φησὶ τὸν Θεὸν τοῖς ἀγαθοῖς τῶν

---

15 Ἐμοὶ…**18** ζητούντων] Cf. Nic. Meth., *vit. term.* II, 244. **26** Ἡμῖν…**32** πρόεδροι] Cf. Marc. Eug., *vit. term.* 358. **2.2.,8** Ἀρκείτω…**10** προορίζειν] Cf. Marc. Eug., *vit. term.* 359; *ib.* 362; cf. Theoph. Sim., *vit. term.* III (28, 31–30,5); cf. Psel., *phil. min.* 44 (156, 30-33).

2.1.,21 Χριστοῦ] *add.* A

τέκνων ἅπασιν οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζειν**. Τοῦτο δὲ καὶ ὁ μέγας εἰπὼν ἔφθη Βασίλειος·** Θάνατοι δέ, **φησίν**, ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἡμᾶς συμφέρον προβλεπομένου**· καὶ αὖθις ἄλλοθι·** Μὴ αὐτόματόν τινα εἴπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος, πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας· ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλους ἄλλοις ὅρους ἔπηξε τῆς ἐξόδου**, καὶ τὰ ἄλλα, ὅσα πρὸς κατασκευὴν ἐπάγει τοῦ δόγματος, ὡς ἐν τῷ δευτέρῳ τῶν συγγραμμάτων αὐταῖς ἔκκειται λέξεσιν. Καθόλου δὲ περὶ τοῦ θείου προορισμοῦ καὶ τῶν τε προωρισμένων**
A f. 182r | **εἰς τὴν ζωὴν τὴν αἰώνιον | τῶν τε ἀποδεδοκιμασμένων καὶ τῆς διαφόρου περὶ αὐτοὺς τοῦ Θεοῦ διατάξεως οἰκείας τῇ σφῶν προαιρέσει καὶ ζῶντας καὶ τελευτῶντας ὁπόσα φιλοσοφεῖ, ἴσασιν οἱ ταῖς πολλαῖς καὶ μεγάλαις αὐτοῦ πραγματείαις καλῶς ἐπιστήσαντες, αἷς πανταχοῦ τὸν περὶ τούτων λόγον ἐγκατασπείρει.**

3.1. Ὁ μὲν οὖν Ἐφέσου τοιοῦτος τῷ μεγάλῳ πατρὶ καὶ ἡμῖν. Διοδώρου δέ, ὅστίς ποτέ ἐστιν οὗτος, οὐ φροντιστέον, ἔνθα, καθάπερ ἔφθην εἰπών, ὁ τῶν θεολόγων πάντων χορὸς συμφώνως τε καὶ ἠκριβωμένως καὶ προὔργου περὶ τούτων ἔφθη διορισάμενος. Καὶ εἰ τὸν μακάριον Νύσσης Γρηγόριον οὐκ ἀξιοῦμεν ἀντιζυγοῦν μόνον τῷ τῶν διδασκάλων πάντων χορῷ, ἐν δυσὶ ζητήμασιν οὐδὲ τοῖς τυχοῦσιν ἰδίᾳ γνώμῃ στοιχοῦντα, ἀλλ' ἐν τοῖς συμφώνοις πᾶσι τιμῶντες αὐτὸν ἐν τοῖς ἰδίοις τούτοις παραγραφόμεθα, καίτοι τηλικοῦτον ὄντα, τίς ἡμῖν λόγος ἔσται Διοδώρου, κἂν πτερωτὸς ᾖν, οὗ μηδὲ λόγος ἔστιν ἐν ἐκκλησίᾳ καὶ τοῖς ταύτης ὑπερηθληκόσι μηδ' ὄνομα, ἤ εἴ πού τις τῶν μοναχῶν αὐτῷ μόνῳ προσεσχηκώς, τῇ ἀοριστίᾳ

10 Θάνατοι… **12** προβλεπομένου·] Bas., *Deus non auct. mal*. 31 (333B); *id.*, *mor.* 11 / *mort*. 32 (1268C); cf. Germ., *vit. term.* 12, 24-30; cf. *ibid.* 18, 9-12; cf. *ibid.* 56, 4-9; cf. Nic. Meth., *vit. term.* II, 238-239; cf. Blemm., *vit. fin.* I (6, 26-29); cf. Blemm., *vit. term.* II (24, 1-4). **13** Μὴ… **17** ἐξόδου] Bas., *in Jul.* 31 (248C); *ibid.* 31 (248D-249A); id., *mor.* 11 / *mort*. 32 (1257D); cf. Nic. Meth., *vit. term.* II, 239; cf. Blemm., *vit. fin.* II (25, 22-26, 3); cf. Blemm., *vit. term.* II (24, 4-21). **3.1.,4** Καὶ… **8** ὄντα] Cf. Marc. Eug., *vit. term.* 359[= Gr. Naz., *or. XXI.* 35 (1088C)].

2.2.,13 Μὴ… **15** σεαυτῷ] Cf. *Compendium SG* III, 93 (V 179, 24-28).

2.2.,20 αἰώνιον] *add*. A

τῶν ἀνθρωπίνων καὶ ἀκυβερνησίᾳ συνηγοροίη που γράφων, ἢ μὴ τοῖς θεολόγοις ἐγκύψας ἢ μηδὲ συνιέναι τούτων δυνάμενος;

3.2. Σκόπει δὲ καὶ ἅ φησιν ὁ Διόδωρος. "Τὸν ἀριθμόν"**, φησί, "**τῶν ἡμερῶν σου ἀναπληρώσω"**,** τουτέστιν εἰς λιπαρὸν ἄξω σε γῆρας καὶ πλῆρες"**. Οὐκοῦν Θεός ἐστι καὶ κατ' αὐτὸν ὁ τὴν τῶν ἀγαθῶν ἀνδρῶν ζωὴν ὁριζόμενος. Καὶ πάλιν· "**Ὥσπερ ἀώρους ὁ Θεὸς ἀπειλεῖ θανάτους παρανομοῦσιν, οὕτω μακροβίωσιν ὑπισχνεῖται τοῖς ὑπακούουσι, καὶ μηκύνει μὲν τοῖς εὐσεβοῦσι τὴν ζωήν, περικόπτει δὲ τοῖς παρακούουσιν", **οὐ προσθεὶς καὶ τὸ ἀνάπαλιν, ἀληθέστατον ὄν, ὅτι καὶ συστέλλει τοῖς εὐσεβοῦσιν ἐνίοτε τὴν ζωὴν καὶ μηκύνει τοῖς ἀσεβοῦσιν, ὡς ἐν τῷ πρὸ τούτου συγγράμματι προὔργου περὶ αὐτῶν διειλόμεθα τῇ θείᾳ Γραφῇ κατακολουθοῦντες. Οὐκοῦν τοῖς τε προωρισμένοις εἰς τὴν ζωὴν καὶ τοῖς | ἀποδεδοκιμασμένοις** A f. 182v | **ὁ Θεός ἐστιν ὁ τὴν ζωὴν ταύτην ὁροθετῶν, εἰ καὶ διάφορον αὐτοῖς τὸ τέλος μετὰ ταύτην τὴν ζωὴν συναντᾷ καὶ οἰκεῖον ἑκατέρων τῇ προαιρέσει. Εἶτά φησιν** ὡς τὰ τοιαῦτα οὐ δείκνυσιν ὅρον ἔχοντα τῆς ζωῆς ἕκαστον τῶν ἀνθρώπων**. Τί τούτου γένοιτ' ἂν ἀμβλύτερον; Τὸ μῆκος καὶ ἡ στενότης τῶν διαστημάτων οὐ τοῖς ὅροις διακρίνονται καὶ γνωρίζονται; Καὶ ὁ μακρύνων ἢ συστέλλων τὴν ὁδὸν καὶ τὸ διάστημα τῆς ζωῆς μετ' ἐξουσίας τοιαύτης ἄλλου δεηθήσεται τοὺς ὅρους τιθέντος; Καὶ τίς ἐστιν ὁ τιθείς; Καὶ πῶς ἐξαπλωθήσεται ἢ συσταλήσεται ἡ ζωὴ παρὰ τοῦ Θεοῦ, μὴ προϋποτιθεμένων τῶν τῆς ζωῆς ὅρων ὡς θελητῶν ἐν τῇ γνώσει τοῦ ἁπλοῦντος τὴν ζωὴν καὶ συστέλλοντος; Ὥστε τοὐναντίον ἐστὶν ἀληθές, ὡς τὰ τοιαῦτα, εἰ καὶ μηδὲν ἄλλο, δείκνυσιν ὅρους ἔχοντας τῆς ζωῆς ἐκ Θεοῦ τοὺς ἀνθρώπους. Εἶτα φησίν·** Εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος, οὐκ ἂν ταῦτα ἦν**, ἡ τῆς ζωῆς δηλονότι συστολὴ καὶ ἐξάπλωσις, ὥσπερ εἰ ἔλεγεν· "εἴ τι πέρας ἔχοι, οὐκ ἂν εἴη πεπερασμένον". Εἶτα φησίν·** Εἰ ὥριστο τῆς ζωῆς ἑκάστου τὸ τέλος, οὔτε δίκαιος οὔτε ἄδικος ἠδύνατο ἂν αὐτὸ σαλεύειν**, ἀρετῇ δηλονότι καὶ πονηρίᾳ. Καὶ εἰ μὴ ὥριστο, πῶς προστίθησιν ὁ Θεὸς δι' ἀξιότητα**

3.2.,1 Τὸν…**2** ἀναπληρώσω] Ex. 23, 26. | Τὸν…**2** πλῆρες] Theodor. Mops., *fragm. in Oct. et Reg.* 821B. **4** Ὥσπερ…**6** παρακούουσιν] Theodor. Mops., *fragm. in Oct. et Reg.* 821B-C. **13** τὰ…**14** ἀνθρώπων] Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C; cf. Leont. C., *mesopent.* 86/2 (1278B-D); cf. Anast. S., *qu. et resp.* [App.] 23b, 7 (219, 50-66); cf. Blemm., *vit. fin.* I (15, 16-16, 2). **22** Εἰ…ἦν] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821C. **24** Εἰ…**25** σαλεύειν] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821C. **26** Καὶ…**27** ἀναξιότητα] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 5 (216, 77-81).

3.2.,10 καὶ τοῖς] τοῖς τε B **21** ὅρους] ὅρον B **23** πέρας ἔχοι] — *in lineam* B, πέρας — ἔχοι

ἐνίοις, καὶ πῶς ἄλλων ἀφαιρεῖ δι' ἀναξιότητα; Ὡρισμένῳ γάρ τι προστίθεται, καὶ ἀπὸ ὡρισμένου αὖ τι ἀφαιρεῖται, καὶ τῷ ὡρίσθαί τι γνωρίζεται ἥ τε πρόσθεσις ἥ τε ἀφαίρεσις ἂν ἀληθὴς ᾖ, καὶ αὐτὸ δὲ τὸ προστίθεσθαι καὶ ἀφαιρεῖσθαι ὡρισμένον ποιεῖ τὸ ᾧ προστίθεται καὶ τὸ οὗ ἀφαιρεῖται, εἴ γε μὴ εἴη ἡ προσθήκη ἄπειρος καὶ ἀόριστος. Ἀλλ' ἡ πρόσθεσις τῆς ἐνταῦθα ζωῆς ἢ μείωσις ὡρισμένον ἔχει τὸ μέτρον, ὥστε καὶ τὸ πέρας· τὸ δὲ αὐτό πέρας τε καὶ ὅρος τῆς ἐνταῦθα ζωῆς ἐστι καὶ ἀρχὴ τῆς μελλούσης εἴτε δυστυχοῦς εἴτε εὐδαίμονος, καὶ τοῦτό ἐστι τὸ πέρας, ὁ θάνατος. Εἶτα, τὰ μὲν ἐν τῇ γαστρὶ τελευτῶντα βρέφη **σκοπεῖ, τοὺς δὲ ἀπὸ γαστρὸς μητρὸς σκεπομένους, τοὺς ἐκ κοιλίας μητρὸς**
A f. 183r | **προωρισμένους, | τοὺς ἀπὸ μήτρας ἡγιασμένους, τοὺς ἐξ ἐπαγγελιῶν γεννωμένους οὐ σκοπεῖ, εἰ καὶ ἦν τι τὸ περὶ τῶν βρεφῶν πρὸς τὸν λόγον τόν γε προκείμενον. Ἀλλὰ ταῦτα παρῶμεν.** Εἶτα λῃστὴν εἰσάγει καὶ διδόντα δηλητήριον**, οὐ διαιρῶν τίνες οἱ λῃστευόμενοι καὶ τίνες οἱ δηλητηριούμενοι καὶ τίνων ἕνεκα.** Αἰτιατέος δὲ ὁ Θεὸς ὑπὲρ οὐδετέρων**, ἀλλὰ τῆς ὀφειλομένης ἀμοιβῆς τοῖς ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς ταῦτα προαιρουμένοις ἢ ὁπωσοῦν ἄλλως πάσχουσιν ἐν ὑπομονῇ καὶ τῆς τῶν τοιούτων εὐσεβῶν προθυμίας καὶ λίαν ὑπερδοξαστέος, ἢ τοῖς ὑπὲρ αὐτοῦ θανουμένοις, ἀνθ' ὅτου τὰς τῆς καρτερίας ἀμοιβὰς ἐπαγγέλλεται, μὴ βουλόμενος αὐτοὺς οὕτω φιλοσοφεῖν καὶ θνῄσκειν ὑπὲρ αὐτοῦ, μᾶλλον δὲ ὑπὲρ ἑαυτῶν. Καὶ πῶς ἀπήλλαττεν, ἕως ἐβούλετο, θανάτων φανερωτάτων, ὥστε ἀπορεῖν τοὺς ἐπάγοντας καὶ τῇ πίστει προστίθεσθαι μετὰ τοῦ θέλειν καὶ αὐτοὺς πᾶν ὁτιοῦν ὑπὲρ τῆς ἀληθοῦς ὑφίστασθαι πίστεως; Ἐγκαίρως δὲ συνεχώρει στεφανοῦσθαι τῇ τελευτῇ μετὰ τὴν γενναίαν τῶν ἀγώνων ἐπίδειξιν. Εὐρυτέρας δὲ πρὸς τὰ περὶ λῃστῶν καὶ δηλητηρίων νῦν θεωρίας οὐ χρεία, ἀλλ' ὅτι μόνον εἰκῇ τὰ τοιαῦτα συνείρει.**

3.3. Ἀλλὰ τὰ ἄλλα τούτου παρίημι. Ἡ δὲ πρόγνωσις**, φησίν,** οὐκ ἔστιν ὅρος. Προεγίνωσκε γὰρ ὁ Θεὸς τὴν παράβασιν τοῦ Ἀδὰμ καὶ τὴν τοῦ διαβόλου τροπὴν καὶ τὰς ἐπιχειρήσεις τῶν ἀνδροφόνων καὶ τῶν ἀσεβῶν τὴν πλάνην. Καὶ

---

33 τὸ[2]…**35** θάνατος] Cf. Phot., *Amph.*, 240 (21, 22-26). **35** Εἶτα…**39** προκείμενον] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821E; cf. Mich. Glyc., *in S. Scr.* 36 (408, 24-409, 4); cf. *ibid.* 37 (459, 5-11). **39** Εἶτα…**41** ἕνεκα] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821E; cf. Mich. Glyc., *in S. Scr.* 36 (381, 19-22); cf. *ibid.* 37 (429, 19-22). **3.3.,1** Ἡ…**5** νοεῖν] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 822B-C; cf. Anast. S., *qu. et resp.* [App.] 23a, 7 (217, 101-108); cf. Mich. Glyc. *in S. Scr.* 36 (386, 18-20); cf. *ibid.*, 36 (386, 25-387, 5); cf. Blemm., *vit. fin.* II (24, 4-21); cf. Marc. Eug., *vit. term.* 357-358.

αὐτὸς ὥρισε λοιπὸν τούτους τοιούτους γενέσθαι; Ἀλλὰ τοῦτο ἀσεβές**, φησί,** νοεῖν**. —Ἐξῆν μὲν ἂν οὖν τινι λέγειν πρὸς αὐτὸν ὥσπερ ἀντεπηρεάζοντι. Καὶ εἰ μὴ ὥρισεν, ἄνθρωπε, ἀλλ' οὐδ' ἐκώλυσε κωλύειν δυνάμενος· ὁ δυνάμενος δὲ κωλῦσαι καὶ μὴ κωλύων αὐτὸς δοκεῖ πράττειν. Ἀληθέστερον δ' ἂν εἶπέ τις πρὸς αὐτὸν καὶ λίαν οἰκείως· Εἰ μὲν «ὥρισε» τὸ «προσέταξε» λέγεις, ὦ καλὲ τῶν θείων ἐξηγητά, ἢ «ἐπηνάγκασε», καὶ τίς ἐστιν ὁ τοῦτο φρονῶν ἢ λέγων; Εἰ δὲ τὸ «πρὸς τὸν ὅρον καὶ τὸ τέλος ἔταξε» λέγεις «τῇ παρ' ἑαυτοῦ χορηγίᾳ», | οὐδὲ τοῦτο περὶ τοῦ Ἀδὰμ καὶ τῶν ἄλλων ἐρεῖ τις.** A f. 183v |
Πρὸς γὰρ τὸν ὅρον καὶ τὸ τέλος οὗ χάριν παρήχθη, οὔτε αὐτὸς ἠθέλησεν ὁρισθῆναι οὔτε τῆς τοῦ ὁρίζειν δυναμένου συνεργίας ἐδεήθη καὶ ὁδηγίας, ἀλλ' εὐθὺς γενόμενος ἀφηνίασεν. Ὅθεν τοῖς περὶ τῶν προωρισμένων λόγοις οὐδὲν κοινὸν καὶ τοῖς πρώτοις ἀνθρώποις ἦν. Ὡρίσθαι δὲ ἄλλως ἐν τῇ θείᾳ γνώσει τὰ κατ' ἐκείνους καὶ λίαν ἐστὶν ἀληθές. Πονηροὺς μὲν γὰρ γενέσθαι τὸν Ἀδὰμ καὶ τὴν Εὔαν οὐδαμῶς ἦν ὡρισμένον ἐκ τοῦ Θεοῦ, οὔθ' ὡς προστεταγμένον, ὅπου γε οὐδὲ πρὸς τἀγαθὸν βιάζεται τὴν ἀνθρωπίνην προαίρεσιν, οὔθ' ὡς συντεταγμένον ἐκείνοις καὶ συνηργημένον, ὃ πρὸς τἀγαθὸν ποιεῖν εἴωθε μόνον. Τὸ δὲ πονηροὺς ἂν ἀφ' ἑαυτῶν γενομένους καὶ τὴν ποινὴν ἂν ὑποστῆναι καὶ λίαν ἦν ἐν τῇ γνώσει τοῦ ποιητοῦ ὡρισμένον. Καὶ εἰ μὴ οὕτως ἦν, οὐκ ἂν προελέγετο ὡς *ᾗ ἂν ἡμέρᾳ φάγωνται ἐκ τοῦ ξύλου, θανάτῳ ἀποθανοῦνται***, οὐδ' ἂν οὕτως ἐξέβαινεν· προρρηθὲν δὲ οὕτω καὶ γεγονός, καὶ ἐν τῇ θείᾳ ὥριστο γνώσει. Καὶ τὸν μὲν φυσικὸν τουτονὶ θάνατον, τὴν τοῦ συνημμένου διαίρεσιν δηλονότι καὶ τὴν στέρησιν τῆς ἐνταῦθα ζωῆς, σπερματικῶς εὐθὺς ὑφίσταντο μόνον, ὡς ἐπιπόνῳ ζωῇ καὶ γήρᾳ καὶ νόσοις ἐπισυμβαίνειν ἀφύκτως μέλλοντά ποτε αὐτοῖς τε καὶ τοῖς ἐξ αὐτῶν ἐσομένοις ἀντὶ τῆς ἀπόνου ζωῆς καὶ ἀθανάτοις πρεπούσης,**

---

8 Εἰ…**10** λέγων] Cf. Anast. S., *qu. et resp.* [App.] 23b, 2 (218, 11-15). **9** ὦ…ἐξηγητά] Cf. Anast. S., *qu. et resp.* 99, 3 (157, 24-27). **10** Εἰ…**15** ἦν] Cf. Bas., *Deus non auct. mal.* 31 (344C-345A); cf. Marc. Eug., *vit. term.* 359. **14** Ὅθεν…**16** ἀληθές] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 3 (215, 51-57). **16** Πονηροὺς…**24** γνώσει] Cf. Nic. Meth., *vit. term.* I, 232-233; cf. *ibid.* 1, 233. **20** Τὸ…**23** ἐξέβαινεν·] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 3 (215, 48-50). **22** ᾗ…**23** ἀποθανοῦνται] Gen. 2, 16-17; Gen. 3, 24-27; cf. Bas., *Deus non auct. mal.* 31 (353A); cf. Nic. Meth. *vit. term.* I, 231.

3.3.,22 οὐκ…**23** ἀποθανοῦνται] Cf. *Compendium SG* Iv 50 (V 293, 19-21).

3.3.,14 Ὅθεν] — *Adn. in marg. sinis.* m^2 (— Ὅθεν τοῖς περὶ τῶν προωρισμένων λόγοις οὐδὲν κοινὸν καὶ τοῖς πρώτοις ἀνθρώποις ἦν) A B **28** ἐσομένοις] γεννωμένοις *cum corr.* ⌜ἐσο⌝ *supra* γεννω- B

ἢν ἀποβεβληκότες μᾶλλον ἐγνώρισαν· τὸν δὲ ψυχικὸν ἐκ τῆς ἀληθοῦς ζωῆς χωρισμὸν φεῦ! καὶ τὴν τοῦ κειμένου τέλους ἀπόπτωσιν, τὸν πολλῷ τοῦ προτέρου χείρω θάνατον, αὐτοί τε εὐθὺς ὑπέστησαν ἔργῳ καὶ τοῖς ἐξ αὐτῶν γεννωμένοις ἀνιάτως παρέπεμπον ἄχρι τοῦ φιλανθρωποτάτου τε ἅμα καὶ σοφωτάτου τῆς θείας οἰκονομίας φαρμάκου. Καὶ μὴν οὐδ' ἔστι τις ὁ λέγων ὅρον εἶναι τὴν πρόγνωσιν, εἰ μὴ καὶ κίνησιν ἐθέλοι λέγειν τὸ τῆς
A f. 184r | **κινήσεως πέρας. Αἴτιον δέ πως μᾶλλον τῆς προγνώσεως | ὁ ὅρος ἐστί· τούτου γὰρ προϋποτιθεμένου δύναται προγινώσκεσθαι τῷ τοιαύτην ἔχοντι δύναμιν, ὅπως τόδε τι τεύξεται τοῦ ὅρου πρὸς ἐκεῖνον φερόμενον ἢ ἀτευκτήσει μὴ φερόμενον καὶ πῶς ἢ πότε τεύξεται.**

3.4. Ταῦτα μὲν οὖν ἐκ περιουσίας μᾶλλον ἢ χρείας εἴρηται· ἀνοικείως γὰρ τῇ περὶ τῶν ὅρων τῆς ζωῆς ὑποθέσει καὶ τοῦ θείου προορισμοῦ Διοδώρῳ τε ἠπόρηται πρότερον, καὶ ἡμῖν νῦν διατριβῆς χάριν ἐπεστατήθη. Ἵρκει δὲ τοσοῦτον εἰπεῖν, ὡς ἀγνοίᾳ τοῦ ὅρου καὶ τοῦ προορισμοῦ καὶ τοῦ προορίζειν καὶ τῆς προνοίας, μᾶλλον δὲ ἀγνοίᾳ πολλῇ τῆς ἀνθρωπίνης τε καὶ θείας σοφίας, οὗτός τε ὁ Διόδωρος καί τινες ἄλλοι οὐχ οἷοί τε γεγόνασιν ἐγκύψαι τῷ βάθει τῆς ὑποθέσεως καὶ τῷ τῶν διδασκάλων σκοπῷ. Δοκεῖ γὰρ οὗτος ἢ ὅρον τὴν ἀνάγκην νοεῖν καὶ τὴν πρόσταξιν, πάνυ χυδαίως, ἢ ὅρον τῆς ἀνθρωπίνης ζωῆς πέρας τι βούλεσθαι νοεῖν τῆς ζωῆς τεταγμένον ἑκάστῳ τῶν ἀνθρώπων φυσικῶς ἀπαραίτητον, καὶ διὰ τοῦτο φησίν· Εἰ ὅρος ἦν τῆς ζωῆς, πῶς ἐμακρύνετο ἂν ὑπὸ Θεοῦ ἡ τῶν ἀνθρώπων ζωὴ καὶ πῶς συνεστέλλετο; Καὶ πῶς ἂν ἠδύνατό τις τὸν ὅρον τοῦτον διασαλεύειν χείρων ἢ ἀμείνων γινόμενος; **Ἁπλούστερον δὲ καὶ τὸ οὕτω διανοεῖσθαι. Ὅρος γὰρ φύσει τῆς ἀνθρωπίνης ζωῆς οὐδεὶς ἔστιν, ἐκ πολλῶν αἰτιῶν· διὸ καὶ εἴρηται τὸ** *Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ φυλακῇ τῆς νυκτὸς ὁ κλέπτης ἔρχεται*. **Εἰ δὲ ἦν ὡρισμένον ἐν τῇ φύσει τὸ πέρας τῆς ἐνταῦθα ζωῆς, ἓν ἂν ἦν καὶ ταὐτὸν ἅπασιν· εἰ δὲ οἷόν τε ἦν φύσει καὶ διάφορον εἶναι, ἐγινώσκετ' ἂν ὑπὸ τῶν ἀνθρώπων, τοὐλάχιστον ὑπὸ τῶν**

---

33 Καὶ…**38** τεύξεται] Cf. Germ. *vit. term.* 36, 7-13. **3.4.,11** Εἰ…**13** γινόμενος] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821C-D. | τὰ…**14** ἀνθρώπων] Theodor. Mops., *fragm. in Oct. et Reg.*, 821C. **15** Γρηγορεῖτε…**16** ἔρχεται] Mat. 24, 42-43.

3.4.,6 Διόδωρος] Δι^{ός}δωρος / *supra lineam* -ό- B **13** τοῦτον] *om.* A **14** γὰρ] γὲ B **16** ἐν… φύσει] ὑπὸ τῆς φύσεως B | τῆς^{2}…17 ζωῆς] τῆς ἐνταῦθα τῆς ζωῆς B

σοφῶν, τῶν καὶ τ' ἄλλα τῆς φύσεως ἐξητακότων ἔργα πάνυ καλῶς. Ἐπὶ τὸ μεῖζον μόνον ἔστι πως λαβεῖν ὅρον τῆς ἀνθρωπίνης ζωῆς, καὶ τοῦτον ἐνδεχομένως τε καὶ σπανίως, ὡς σπανίων τινῶν ἐπὶ τοῦτον ἐφικνουμένων, καθά φησιν ὁ Δαυὶδ *ἐν δυναστείαις καὶ μόλις εἰς τὸν ὀγδοηκονταετῆ χρόνον ἐφικνεῖσθαι τῶν ἀνθρώπων τινάς*, **ἔστω δὲ καὶ ἑκατονταετῆ. Ὁ δ' εὐθὺς ἀπὸ τῆς ἐμψυχώσεως ἐν τῇ μήτρᾳ τοῦ ἀνθρώπου χρόνος μέχρι καὶ τοῦ πλείστου τῆς ζωῆς ὅρου, καὶ | αὐτοῦ ἐνδεχομένου καὶ ἀορίστου ὄντος, ὡς** A f. 184^{v} | **εἴρηται, φύσει, ἀπείροις μορίοις αὐτοῦ τὴν τῶν γεννωμένων ἀνθρώπων ἀορίστως ἑαυτῷ συντέμνει ζωήν,** τῶν μὲν μετὰ τὸ ἐμψυχωθῆναι εὐθὺς ἀποθνῃσκόντων ἐν τῇ γαστρὶ τῆς μητρὸς καὶ ἄλλων μετὰ μικρὸν καὶ ἐν ἀπείροις σχεδὸν ἀτόμοις τοῦ χρόνου τοῦ μέχρι τῆς κυήσεως ὁριζομένου, καὶ μετὰ τὴν κύησιν αὖθις τῶν ἐξεληλυθότων τῆς γαστρὸς μέχρι καὶ τῆς κινήσεως ἤτοι βαδίσεως**, κἀκεῖθεν ἐφεξῆς ὁμοίως μυρίων καθεκάστην νεκρουμένων ἐν τῇ τῆς γενέσεως καὶ φθορᾶς ὁδῷ ταύτῃ καὶ τρόποις μυρίοις. Φύσει μὲν οὖν οὐδεὶς ἔστι τῆς ζωῆς ὅρος τοιοῦτος· καὶ τοῦτον ἴσως τὸν ὅρον λογιζόμενος ὁ Διόδωρος ἐκεῖνα λέγει, οὐ δυνάμενος περαιτέρω σκοπεῖν, ὅτι τὴν τῶν ἀνθρώπων ζωὴν ἀφ' ἑαυτῆς ἀόριστον οὖσαν πατρικῇ προνοίᾳ περὶ αὐτούς, ἧς αἱ ἀποδείξεις ἀναρίθμητοί τε καὶ φανερώταται, ὁρίζει καὶ περαίνει, καθὼς ἂν βουληθείη, δουλευούσης ὥσπερ δεσπότῃ τῆς φύσεως, καὶ ταὐτόν ἐστιν ἐν τῇ τῶν ἀνθρώπων ζωῇ τό τε καθ' αὐτὴν ἀόριστον εἶναι καὶ τὸ ὑπὸ τῆς θείας προνοίας ὁρίζεσθαι.** Καίτοι καὶ ὡρισμένην ἂν ὑπ' αὐτοῦ τῇ φύσει μεταποιεῖν εἶχεν ἂν ἐν ὁπόσοις τῶν ἀνθρώπων ἠβούλετο, συντέμνων ἢ πλατύνων καὶ ὅλως ὁρίζων ἀνάγκῃ τῆς θείας ἐλευθερίας τε καὶ μεγαλειότητος νικώσῃ τὴν ἐνιδρυμένην ἀνάγκην καθάπερ δούλῃ τῇ φύσει. **Ἀρκεῖ δὲ ἡμῖν καὶ Διόδωρος οὗτος ἐν τοῖς καιρίοις ὥσπερ προὔργου**

---

19 Ἐπὶ…**23** ἑκατονταετῆ] Theodor. Mops., *fragm. in Oct. et Reg.*, 821Z-822A [=Ps. 89, 10]; cf. Anast. S., *inter. et resp.* 96 (89, 741C). **27** τῶν…**31** βαδίσεως] Greg. Nys., *De inf. praem. abr.* 46 (161D).

3.4.,39 Καίτοι…**42** φύσει] Cf. *Compendium SG* II, 30 (V 72, 5-8); cf. *Compendium SG* III, 99 (V 188, 24-34); cf. *Compendium SG* III, 100 (V 189, 22-25); cf. *Compendium SG* III, 161 (V 237, 22-23); cf. *Compendium ST* I, Q19 A.8 (V 355, 32-34); cf. *Compendium ST* I, Q105 A.6-7 (V 485, 21-35).

---

19 πάνυ] *add.* A **25** καὶ[1]] *iter. apud mutation folii* A **26** φύσει] *add.* A **30** γαστρὸς] μήτρας B **37** τῆς] *supra lineam, inter* δεσπότῃ et φύσεως B **38** ἐν τῇ] αὐτῇ B | καθ αὐτὴν] καθ' ἑαυτὴν B **40** ἠβούλετο] ἐβούλετο B **41** τε] *om.* A **43** Διόδωρος] → *sign. supr.* Διόδ- B

συνηγορῶν. Φησὶ γάρ· Θανάτους ἀώρους παρανόμων ἀνθρώπων ἀπειλουμένους ἐκ Θεοῦ καὶ γινομένους ἢ μετανοούντων οὐ γινομένους καὶ μακροβίωσιν αὖθις τῶν εὐσεβῶν ἐπαγγελλομένην τε καὶ τελειουμένην καὶ μηκυνομένην μὲν τοῖς φιλοθέοις ζωήν, τοῖς δὲ παρακούουσι περικοπτομένην**. —Ταῦτα δὲ τί γε ἄλλο ἢ τῷ θείῳ προορισμῷ τῶν φιλοθέων καὶ τῇ ἀποδοκιμασίᾳ τῶν ἄλλως διακειμένων καὶ τῇ περὶ ἑκατέρους ἁρμοττούσῃ τοῦ Θεοῦ προνοίᾳ συνᾴδουσιν;**

A f. 185r **4. Ὁ δὲ μετὰ τὸν Διόδωρον εὐθὺς εἰσάγει τὸν Σολομῶντα λέγοντα·** | *Ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου***.** Εἰ οὖν ἔστι**, φησίν,** ἀποθνῄσκειν ἐν οὐ καιρῷ, πῶς ὅρον καὶ τάξιν δεῖ δοξάζειν**; Τοὐναντίον δὲ μᾶλλον ἐστὶν ἀληθὲς ὡς, εἴπερ ἔστιν ἀποθνῄσκειν** ἐν οὐ καιρῷ**, πῶς οὐ δεῖ δοξάζειν ὅρον καὶ τάξιν; Ἰδοὺ γὰρ καὶ** καιρός ἐστι τοῦ θανεῖν **τινα, ταὐτὸν δ' εἰπεῖν ὅρος ζωῆς καὶ ὅρου καὶ καιροῦ μετάθεσις. Εἰ μὲν γὰρ** καιρὸν **ἐνταῦθα νοεῖ τὴν ἐπὶ τὸ μακρότερον πέρας διάστασιν τῆς ἀνθρωπίνης ζωῆς** κατὰ τὸν Δαυίδ**, ὁ Σολομὼν συμβουλεύει μὴ ἀσεβεῖν ἐπὶ πολύ, ἵνα μὴ ἀώρως ἀπόληται καὶ πρὶν εἰς τὸν καιρὸν ἐλθεῖν τὸν τῇ φύσει μὲν ὡρίσθαι δοκοῦντα, ἀόριστον δὲ ὄντα τοῖς ἀτόμοις τῆς φύσεως, εἰς ὃν οὔτε πάντες ἐφικνοῦνται οὔτε πάντες αὐτοῦ διαμαρτάνουσιν, ἀλλὰ** πολλοὶ φθάσαντες ἂν ἐγγύς που γενέσθαι, διὰ πονηρίαν αὐτῶν οὐ συνεχωρήθησαν φθάσαι, ἢ δι' ἀρετὴν ἕτεροι κινδυνεύουσαν προηρπάγησαν**, αὐτός φησιν Σολομών· καὶ πολλοὶ μὴ φθάσαντες ἂν ἐκ φυσικῆς ἀσθενείας, δι' ἀρετὴν ἔφθασαν ἤ τινα ἄλλην οἰκονομίαν τοῦ κρείττονος δι' αὐτῶν ἀνυσθησομένην ὡς ἀξίων ὀργάνων. Ἐκτείνεται δέ τισιν ἡ ζωὴ καὶ πονηροῖς οὖσι δι' ἄλλας αὖθις οἰκονομίας ἀναντιρρήτους, περὶ ὧν ἄλλης ἂν εἴη χρείας σκοπεῖν. Ἀλλ' ἵνα τ' ἄλλα παρῶμεν, καιρός ἐστιν ἑκάστῳ τῆς τελευτῆς, ὅταν μέλλῃ σὺν ἀγαθαῖς ἐλπίσι μεθίστασθαι, ἢ συνειδὼς ἑαυτῷ κατά τε λόγον καὶ νόμον βεβιωκότι ἢ τὰς κατὰ τὸν βίον ὀλιγωρίας αὐτοῦ ὀψὲ τῷ φαρμάκῳ τῆς μετανοίας**

---

44 Θανάτους…**47** περικοπτομένην] Theodor. Mops., *fragm. in Oct. et Reg.*, 821B-C. **4.,1** Ὁ…**3** δοξάζειν] Cf. Mich. Glyc., *in S. Scr.* 36 (412, 3-10). **2** Ἵνα…σου] Eccl. 7, 17; Nic. Meth. *vit. term.* II, 243. | Ἵνα…**3** δοξάζειν] Cf. Anast. S., *qu. et resp.* [App.] 23a (ΜΔ΄ Ἐρώτησις, Titulus), (213, 7-214, 11); cf. id., *qu. et resp.* 16 (ΙϚ΄ Ἐρώτησις, Titulus), 23, 1-3. **5** καιρός…θανεῖν] Eccl. 3, 2. **7** κατὰ…Δαυίδ] Cf. Anast. S., *qu. et resp.* [App.] 23a (ΜΔ΄ Ἐρώτησις, Titulus), (213, 1-7). **11** πολλοὶ…**17** σκοπεῖν] Cf. Anast. S., *qu. et resp.* [App.] 23b, 3 (218, 18-27).

---

45 ἀπειλουμένους] *dupl. scr.* B **4.,1** Διόδωρον] τοῦτον B **8** καὶ] *add.* A **11** αὐτοῦ] *add.* A **20** αὐτοῦ] *correxerunt* Œ : αὐτῶν A : *des.* B

ἰατρεύσας καλῶς, ἔστι δ' ἃ καὶ καθαρθεὶς ἐκ Θεοῦ τῇ μετὰ διακρίσεως ὑπομονῇ τῶν πειρασμῶν τῶν ἐκεῖθεν συγχωρουμένων, καὶ τὴν τοιαύτην ὁρίζει εὐκαιρίαν ὁ πάνσοφος ἰατρὸς τοῖς εἰσφέρουσί τινα πρὸς τὸ δεῖν ἰατρευθῆναι χρόνῳ διάθεσιν. Τοῖς δ' ἀσεβοῦσιν ἐπὶ πολὺ καὶ λίαν σκληρυνομένοις, ὡς τὰ τῶν ἀπεγνωκότων νοσοῦσιν, τὸν τοιοῦτον ὁ Σολομὼν ἀπαγορεύει καιρόν**, οὗ στερηθέντες οὐ τῷ μὴ βιῶναι πολὺν ἐν τῇ παροικίᾳ χρόνον λυπήσονται, ἀλλὰ τῷ μηδεμίαν ἐντεῦθεν ἔχειν ἐλπίδα τῆς εὐτυχοῦς ἐν τῇ πατρίδι ζωῆς· στερήσονται δέ, ἵνα μὴ καὶ τὴν γῆν καταργῶσιν,** | **ὁμοίως τῷ** τῆς ἀκάρπου συκῆς **ὑποδείγματι. Εἰ δὲ** καιρὸν **ὁ** A f. 186r |
ταῦτα λέγων νοεῖ τὸν ἐκ τῆς θείας ὡρισμένον προνοίας, οὐκοῦν καὶ Σολομὼν ὅρον **καὶ** καιρὸν **τοιοῦτον ἠπίστατο, ὃς ἔνδον μὲν ἔστι καὶ αὐτὸς τοῦ κατὰ φύσιν ὡρισμένου καιροῦ κατὰ τὸ πορρώτερον πέρας, ἀορίστου δὲ ἄλλως, ὡς εἴρηται. Δύναται δὲ καὶ αὔξειν καὶ ἐλαττοῦσθαι τοῦ Θεοῦ διατάττοντος οὕτω, τρόποις οἷς οἶδεν οἰκονομίας. Καὶ λέγεται μὲν αὔξειν ὁ τοιοῦτος καιρός, διότι ἐμειώθη ἄν, εἰ τοῦτο Θεὸς ἐβούλετο. Λέγεται δὲ ἐλαττοῦσθαι, ὅτι ηὔξητο ἄν, εἰ Θεὸς τοῦτο ἐβούλετο, αἰτίας τοῦ βουληθῆναι τὸν Θεὸν ἢ μὴ βουληθῆναι ἐν τοῖς τοιούτοις τῆς ἀξίας οὔσης αὐτῶν, οἷς τὰ μὲν βούλεται, τὰ δ' οὐ βούλεται, καὶ ἐπὶ τὸ χεῖρον μὲν αὐτοῖς ἢ τὸ βέλτιον, ἁπλῶς δὲ πάντα ἐπὶ τὸ βέλτιον. Ὁπότερον δέ ποτε γέγονεν, εἴτ' αὔξησις ζωῆς εἴτε μείωσις, ὁ τελευταῖος ἦν περὶ ἑκάστους τοῦτο σκοπὸς τοῦ Θεοῦ καὶ ὅρος, τελευταῖος μὲν ἐν τῷ ἔργῳ, ὡς προηγουμένης μὲν τῆς ἀνθρωπίνης θελήσεως, ἵνα τὸ τῆς προαιρέσεως ἰδίωμα σῴζοιτο, συνεπομένης δὲ τῆς ἐκ τοῦ Θεοῦ ψήφου, προηγούμενος δὲ** ἐν τῇ θείᾳ γνώσει ὡς ἀιδίως τὰ μέλλοντα γινωσκούσῃ, οὐ καθό εἰσιν ἐν ἑαυτοῖς (οὐ γάρ εἰσιν αὐτὰ ἀιδίως), ἀλλὰ καθό εἰσιν ἐν αὐτῷ**, τὰ μὲν ὡς γιγνώσκοντι καὶ ποιοῦντι, τὰ δὲ ὡς γινώσκοντι μόνον καὶ παραχωροῦντι, κἂν μὴ ποιῇ, ὃ ταὐτόν ἐστί πως τῷ ποιεῖν ὅσον πρὸς τὸ γινόμενον, εἰ καὶ μὴ ὅσον πρὸς τὸν**

---

24 Τοῖς…**28** ζωῆς·] Cf. Bas., *Deus non auct. mal.* 31 (340C-341A); cf. Anast. S., *qu. et resp.* 99 (157, 27-35); cf. Anast. S., *qu. et resp.* 16, 4 (25, 38-26, 40). **29** τῆς…συκῆς] Marc 11.13–14. **34** Καὶ…**39** βέλτιον^{2}] Cf. Anast. S., *qu. et resp.* 16, 1 (23, 4-24, 7); cf. *ibid*. 16, 1 (25, 30-31). **40** ὁ…**41** ὅρος] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 3 (215, 40-47); cf. *ibid.,* 23b, 1 (218, 7-10); cf. *ibid.* 23b, 2 (218, 11-15); cf. *id*., *qu. et resp.* 16, 6 (27, 53-56).

4.,43 ἐν…**45** αὐτῷ] Cf. *Compendium ST* I, Q86 A.4 (V 462, 36-463, 2).

---

26 βιῶναι…27 παροικίᾳ] πολὺν ἐν τῇ παροικίᾳ βιῶναι B **29** καταργῶσιν] ⌂ *Adn. in marg. dext*. A **45** αὐτὰ ἀιδίως] ἀιδίως αὐτὰ B

παραχωροῦντα. Ὃ δὲ ὑπόλοιπόν ἐστι τῶν ῥητῶν ἐκείνων οὐδ' ἐπισκέψεως ἄξιον. Τοῦτο μόνον σημειωτέον ἐστίν, ὡς ὁ μὲν Διόδωρος ἔλεγεν· Εἰ ὅρος ἦν, οὐκ ἂν ἐμακρύνετο ἢ συνεστέλλετό τισιν ἡ ζωὴ παρὰ τοῦ Θεοῦ**, οὗτος δέ φησι τοὐναντίον, ὡς,** εἴπερ ὅρος ἦν, ἐκολοβοῦτο ἂν ὑπὸ τοῦ Θεοῦ πονηροῖς τισιν ἡ ζωή**. Καὶ τὸ αὐτὸ μὲν βούλονται συμπεραίνειν, ἐξ ἀντικειμένων δὲ ὑποθέσεων. Τοσοῦτον ἀπέχουσιν εἰδέναι περὶ ὧν προτίθενται λέγειν! Περὶ δὲ τῶν μεγίστων προτίθενται.**

5. Ἴσθι τοίνυν, φίλτατέ μοι καὶ ὁσιώτατε, ὅτι τῶν πεπαιδευμένων
A f. 186^{v} | **τινές, | οὐ δυνάμενοι τὰ τῶν διδασκάλων (φημὶ δὲ τῶν πλείστων καὶ ἀξιωτέρων) εὐσχόλως ζητεῖν, ἢ ζητοῦντες μέν, ἀλλ' οὐκ ἔχοντες συνορᾶν, ὡς ἁπλούστεροι ἢ καὶ τῷ πέρα τῆς οἰκείας ἕξεως φιλοτιμεῖσθαι, διαμαρτάνοντες τοῦ ἀληθοῦς, ὡς εἰκός, ταὐτὸ σχεδὸν ἔπαθον τοῖς τῇ πίστει ἀντιλέγειν ποτὲ οἰομένοις, δι' ὧν ἐπειρῶντο τὰ τῆς ἱερᾶς Γραφῆς εἰς ἀντίφασιν περιάγειν.** Τὰ γὰρ τὸν θεῖον προορισμὸν ἐκδιδάσκοντα καὶ βεβαιοῦντα ῥητά, ὧν ἡ θεία γέμει Γραφὴ σαφεστάτων, εἰς ἀναίρεσιν τῶν τῇ αὐτεξουσιότητι τοῦ ἀνθρώπου συνεργούντων ῥητῶν καὶ ταῖς ταύτῃ ἀκολουθούσαις ἀμοιβαῖς ἢ ποιναῖς συνέλκειν ἐπειρῶντο βιαίως, καὶ οὕτω τῆς Γραφῆς ἀκυρουμένης, ὡς ᾤοντο, τῷ δοκεῖν ἀντιφάσκειν καὶ τὴν πίστιν ἅμα συνακυροῦν. Καὶ οὗτοι τοίνυν, εἰ μὴ καὶ ἀπὸ τῆς αὐτῆς διανοίας, τὰ αὐτὰ πάσχουσιν. Εἰ γὰρ προώριστο τὰ τῶν ἀνθρώπων, **φασίν**, ἐπεὶ τὸν θεῖον προορισμὸν οὐκ ἔστι διαπεσεῖν, ὡς ἠναγκασμένα ἂν οὕτως ἐγίνετο καὶ ἡ προαίρεσις οὐκ ἂν ἦν ἐν ἀνθρώποις, καὶ ἀκολούθως οὐδ' ἂν ἦν εὔλογον ἀμείβεσθαι ἢ κολάζειν τοὺς οὕτω πρὸς τἀγαθὸν ἢ τοὐναντίον ἠναγκασμένους· ἐπεὶ δὲ ταῦτα ἀδύνατα, λείπεται μὴ εἶναι ὅλως ἐν τοῖς ἀνθρωπίνοις πράγμασι τὸν θεῖον προορισμόν**. Καὶ τῶν δοκούντων ἀνθίστασθαι τῷ προορισμῷ λόγων οὗτος μάλιστα τοῦ εὐλόγου δοκεῖ μετέχειν. Ἀλλ' ἡ τάξις τῶν ἀποστολικῶν αὐτοὺς ἐλέγχει χρησμῶν, τοὺς εἴτε δι' ἀπιστίαν εἴτε δι'**

---

49 Εἰ…**50** Θεοῦ] Theodor. Mops., *fragm. in Oct. et Reg.,* 821C. **51** εἴπερ…**52** ζωή] Cf. Anast. S., *qu. et resp.* 16, 3 (24, 17-25, 3). **5.,1** Ἴσθι…**7** περιάγειν] Cf. Theodor., *prov.* I, 83 (560C). **13** Εἰ…**18** προορισμόν] Theodor. Mops., *fragm. in Oct. et Reg.*, 821C-D; cf. Nic. Meth., *vit. term.* I, 232-233.

5.,7 Τὰ…**13** πάσχουσιν] Cf. *Compendium SG* III, 149 (V 224, 8-11).

5.,12 εἰ…καὶ] εἰ καὶ μὴ B **14** ἐγίνετο] ἐγίνοντο B **15** οὐδ] οὐκ B **20** ἐλέγχει χρησμῶν] ἐξελέγχει λόγων μᾶλλον δὲ χρησμῶν B

ἄγνοιαν ταῦτα πάσχοντας, ἵνα μὴ τ' ἄλλα τῆς ἱερᾶς Γραφῆς ἐνταῦθα συνείρωμεν ἐν τοῖς ἄλλοις συγγράμμασι καλῶς ἠθροισμένων.

6.1. Γινώσκει μὲν τοίνυν ὁ Θεὸς πάντα τὰ ὄντα καὶ τὰς αὐτῶν ἐνεργείας, γινώσκει δὲ καὶ τῶν ἀνθρώπων οὐκ ἔργα μόνον, ἀλλὰ καὶ διαλογισμούς, καὶ γινώσκει ταῦτα ἐν ἑαυτῷ ὡς μιᾷ καὶ πρώτῃ πάντων αἰτίᾳ καὶ πάντα δι' ἀπειρίαν **περιεχούσῃ φύσεώς τε καὶ γνώσεως καὶ δυνάμεως, καὶ γινώσκει τῷ ἑαυτοῦ τρόπῳ.** Ἔστι γὰρ ἐν τῷ γινώσκοντι τὸ γνωστὸν κατὰ τὸν τοῦ γι | νώσκοντος τρόπον. Ὅθεν καὶ γινώσκει τὰ μέλλοντα A f. 187r | μὲν ὡς παρόντα, τὰ δὲ ἐνδεχόμενα ἀναγκαίως (οὕτω γάρ εἰσιν ἐν αὐτῷ), οὐδὲν ἧττον μέντοι ταῦτα τῇ αὐτῶν φύσει μέλλοντά ἐστι καὶ ἐνδεχόμενα. Οὐ γινώσκει δὲ μόνον, ἀλλὰ καὶ προνοεῖται αὐτῶν πάντων, ὡς ἄνευ τῆς οὐρανίου προνοίας οὐδ' ἂν δυναμένων εἶναι καὶ σῴζεσθαι· προνοεῖται δὲ ἑκάστων ἁρμοζόντως τε καὶ οἰκείως τῇ ἑκάστῳ παρ' αὐτοῦ δεδομένῃ φύσει καὶ τάξει ἐν τῷ παντὶ καὶ ταῖς αὐτῆς ἰδιότησι**. Τῆς οὖν ἀνθρωπείας φύσεως εἰδικώτερον προνοεῖται τρόπον, ὑψηλότερόν τε ἅμα καὶ ποικιλώτερον, ἁρμοζόντως τῇ πρὸς τὰς ἄλλας φύσεις ταύτης ὑπεροχῇ.** Ὅθεν ἡ περὶ τὴν ἀνθρωπίνην πρόνοια φύσιν εἰδικωτέρως 'ὁρισμός' ὠνόμασται, ἀγωγή τις δηλονότι καὶ ὁδηγία πρὸς τὸν προκείμενον ὅρον. Τὰ μὲν γὰρ ἄλλα πρὸς τέλος ἄγονται τῇ φύσει σύστοιχον, ἀνθρώπου δὲ τὸ τέλος ὑπερφυές, πρὸς ὃ κινεῖσθαι μὲν αὐτὸν δεῖ προαιρούμενον καὶ μηδὲν οἴκοθεν ἀμελοῦντα, οὐχ οἷόν τε δὲ ἐφικέσθαι καὶ ὁρισθῆναι καλῶς πρὸς αὐτὸ μὴ ταῖς ἐκ Θεοῦ χορηγούμενον συνεργίαις**· περὶ**

6.1.,5 Ἔστι…**6** τρόπον] Cf. Procl. Is., *dec. prov.* 2, 7 (160, 21-23); cf. Nic. Meth., *vit. term.* I, 224; cf. Pleth., *fat.* 68. | Ἔστι…**8** ἐνδεχόμενα] Cf. Psel., *phil. min.* 46 (159, 12-20); cf. Pleth., *fat.* 68. **6** Ὅθεν…**8** ἐνδεχόμενα] Cf. Procl. Is., *dec. prov.* 2, 6 (159, 18-160, 3); cf. Procl., *inst. theol.* 124 (166, 10-13).

6.1.,4 δι ἀπειρίαν] Cf. *Compendium SG* II, 32 (V 74, 4). **5** Ἔστι…**6** τρόπον] Cf. *Compendium SG* I, 2 (V 4, 35-37); cf. *Compendium SG* I, 61 (V 39, 32-33); cf. *Compendium SG* I, 66 (v 42, 29-31); cf. *Compendium SG* I, 70 (v 45, 27-28); cf. *Compendium ST* I, Q12 A.3 (v 347, 25-27). **6** Ὅθεν…**8** ἐνδεχόμενα] Cf. *Compendium ST* I, Q86 A.4 (V 462, 36-463, 2). **8** Οὐ…**12** ἰδιότησι] Cf. *Compendium SG* III, 76 (V 165, 26-27); cf. *Compendium SG* III, 77 (V 166, 3-13); cf. *Compendium* I, Q22 A.3 (V 360, 15-20). **14** Ὅθεν…**16** ὅρον] Cf. *Compendium ST* I, Q23 A1 (V 361, 2-5). **16** Τὰ…**19** συνεργίαις] Cf. *Compendium SG* III, 73 (V 162, 28-29); cf. *Compendium SG* III, 147 (V 222, 2-6); cf. *Compendium SG* III, 148 (V 222, 22-24); cf. *Compendium SG* III, 155 (V 233, 11-15); cf. *Compendium SG* III, 157 (V 221, 26-222, 6).

---

22 συγγράμμασι] συντάγμασι B **6.1.,8** αὐτῶν] ἑαυτῶν B **12** ἀνθρωπείας] ἀνθρωπίνης B **13** ποικιλώτερον] ποικιλότερον B **15** ὠνόμασται] ὀνομάζεται B **19** χορηγούμενον συνεργίαις] συνεργούμενον χορηγίαις B

ὧν ἐπεξειργασμένως ἐν τοῖς προτέροις συγγράμμασι διειλόμεθα, νῦν δὲ μόνον ἁπτόμεθα.

6.2. Ἡ γνῶσις τοίνυν τῶν ἀνθρωπίνων πραγμάτων καὶ ὁ πρὸς τὸ τέλος αὐτῶν τὸ οἰκεῖον ὁρισμός, ᾗ μέν εἰσιν ἐν τῷ γινώσκοντι καὶ ὁρίζοντι Θεῷ ‘γνῶσις’ καὶ ‘ὁρισμὸς’ ὡς δὴ παρόντων καί εἰσι καὶ καλοῦνται χωρίς, τῇ δὲ πρὸς τὰ γινόμενα καὶ ὁριζόμενα ἀποβλέψει ‘πρόγνωσίς’ τε καὶ ‘προορισμὸς’ λέγονται. Ὁ δὲ προορισμὸς γενικῶς λαμβανόμενος οὕτως, εἰς τὸν κυρίως προορισμὸν διαιρεῖται καὶ τὴν ἀποδοκιμασίαν, καὶ ἔστιν ὁ μὲν προορισμὸς τῶν ἐφικνουμένων τοῦ τέλους, ἡ δὲ ἀποδοκιμασία τῶν ἀποτυγχανόντων αὐτοῦ. Οἵ τε γὰρ προωρισμένοι εἰς τὴν αἰώνιον ζωὴν οἵ τε ἀπ’ αὐτῆς ἀποδεδοκιμασμένοι διαφόρως μέν, ἀλλὰ καὶ ἄμφω τῇ διατάξει τῆς θείας προνοίας ὑποπεπτώκασιν.
A f. 187ᵛ | Ἔστι δὲ τῇ τάξει προτέρα μὲν ἡ | πρόγνωσις, δεύτερος δὲ ὁ εἰδικὸς οὗτος καὶ κυρίως προορισμός, καὶ προϋποτίθησι τὴν πρόγνωσιν ὁ προορισμὸς ὡς ἀρχὴν ἑαυτοῦ καὶ τάξει προηγουμένην, ἀκολούθως δὲ καὶ τῶν ἄλλων ἐστὶ προτέρα ἡ πρόγνωσις τῶν ἑπομένων τῷ θείῳ προορισμῷ. Καὶ ταύτης ἡγεμὼν ἡμῖν τῆς θεολογίας μετὰ τὸν Κύριον ἡμῶν, ἐν εὐαγγελίοις διεσπαρμένως ἡμῖν διδόντα συνάγειν, ὁ Παῦλος, ὁ μέγας τῆς ἀληθείας κῆρυξ γίνεται· *Οὓς γὰρ προέγνω,* φησί*, καὶ προώρισε, καὶ οὓς προώρισεν, ἐκάλεσε, καὶ οὓς ἐκάλεσεν, ἐδικαίωσε, καὶ οὓς ἐδικαίωσεν, ἐδόξασεν*. Ὁ Θεὸς γάρ, καὶ τὰ ἐσόμενα προγινώσκων ὃν εἴρηται τρόπον, προέγνω τοὺς γνησίως αὐτὸν ἀγαπήσοντας τό γε ἐφ’ ἑαυτοὺς ἦκον καὶ μηδὲν ἀμελῆσαι προτεθειμένους· εἰωθὼς δὲ δι’ ὑπερβάλλουσαν ἀγαθότητα πάντα συνεργεῖν εἰς τὸ ἀγαθὸν τοῖς ἀγαπῶσιν αὐτὸν, διὰ τοῦτο τοῖς κατὰ πρόθεσιν οἰκείαν οὖσι “κλητοῖς”, τοῖς ἑκουσίως δηλαδὴ τό γε εἰς αὐτοὺς ἦκον τῆς κλήσεως τυχεῖν ἐπιμελουμένοις καὶ διὰ τοῦτο “κλητοῖς” οὖσι, τουτέστιν ἀξίοις καλεῖσθαι, καὶ τὴν παρ’ ἑαυτοῦ προστίθησιν αὐτοῖς συνεργίαν, ὡς ἄνευ αὐτῆς οὐκ ἂν ἐφικέσθαι δυνησομένοις, διὰ τὰς συνούσας

6.2.,15 ὁ[1]…γίνεται·] Cf. Gr. Naz., *or. XVIII* 35 (1001C-D); cf. Joh. Chrys., *Petr. et Paul.* 59 (493). | Οὓς…**17** ἐδόξασεν] Rom. 8, 29-30; cf. Anast. S., *qu. et resp.* 99, 3 (157, 27-35). **17** Ὁ…**20** αὐτὸν] Cf. Nic. Meth., *vit. term.* I, 231. **19** εἰωθὼς…**21** κλητοῖς] Rom. 8, 28; cf. Anast. S., *inter. et resp.* 55, (89, 620A-B).

6.2.,1 Ἡ…**25** δυσχερείας] Cf. *Compendium SG* III, 163 (V 238, 33-239, 17); cf. *Compendium ST* I, Q23 A.3 (V 361, 25-26). | ὁ…**2** ὁρισμός] Cf. *Compendium SG* III, 3 (V 117, 35-36); cf. *Compendium SG* III, 22 (v 126, 23-24): (titulus) .

6.2.,4 ἀποβλέψει] παραθέσει B | προορισμὸς] ὁρισμὸς B **8** εἰς] πρὸς B **15** ὁ[1]…γίνεται·] ὁ μέγας τῆς ἀληθείας κῆρυξ ὁ Παῦλος γίνεται B

πολλὰς καὶ μεγάλας τῷ πράγματι δυσχερείας. Διό φησι· *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν*. Διὰ τοῦτο, *προγνοὺς αὐτοὺς διὰ σοφίας περιουσίαν, ἑπομένως προώρισε δι' ὑπερβολὴν ἀγαθότητος, καὶ προορίσας ἐκάλεσε, καὶ τὰ ἑξῆς ἀκολούθως, ὡς δεδοξάσθαι μὲν διὰ ταῦτα τοὺς δοξαζομένους ἢ δοξασθησομένους, τοὺς αὐτοὺς δὲ δικαιωθησομένους δεδικαιῶσθαι, καὶ ἔτι πρότερον κεκλῆσθαι κληθησομένους*, καὶ τ' ἄλλα ὡσαύτως. Οὐκ ἐστὶν οὖν αἰτία προηγουμένη τῆς τῶν σῳζομένων δόξης ὁ θεῖος προορισμός· ἔχει γὰρ ἑαυτοῦ προηγουμένην τὴν πρόγνωσιν, ἧς ἄνευ οὐκ ἂν ὁ προορισμὸς εἴη. Ἀλλ' οὐδ' ἡ πρόγνωσις προηγουμένη ἐστὶν αἰτία, ἀλλ' ἐπείπερ ἔμελλε κατ' ἰδίας ἀφορμὰς τῶν αἱρησομένων τὸ ἀγαθὸν συμβαίνειν αὐτοῖς καὶ τὸ τοιούτοις οὖσιν ἐπακολουθοῦν τέλος, διὰ τοῦτο "προέγνω" ὁ εἰδὼς τὰ πάντα πρὸ γενέσεως | A f. 188r | αὐτῶν, καὶ προεγνωσμένοις ὅτι τοιοῦτοι τὸ ἀφ' ἑαυτῶν ἔσονται καὶ ἑαυτὸν συνεργήσοντα προῄδει, καὶ ὁριοῦντα τοὺς ἀφ' ἑαυτῶν μὲν ὁρίζεσθαι θελήσοντας πρὸς τὸ τέλος τοῦ δὲ Θεοῦ τὰ πλεῖστα δεησομένους· ὥσπερ αὖ οὓς προέγνωκεν οἴκοθεν ἀπαλλοτριωθησομένους τοῦ τέλους, καὶ διὰ τοῦτο μηδ' αὐτοῦ συνεργήσοντος τευξομένους (πῶς γὰρ ἂν συνεργοίη τοῖς οὐ θέλουσι συνεργεῖσθαι;) εὐλόγως ἀποδεδοκίμακε τούτους καὶ ἀπεκλήρωσε καὶ τὴν ἁρμόττουσαν αὐτοῖς ἀπένειμεν ἀδοξίαν, ἣν ἑκουσίως προείλοντο· *καθὼς γὰρ οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν τοῦ ποιεῖν τὰ μὴ καθήκοντα*, καὶ ὡς ἀφ' ἑαυτῶν πρῶτοι ἀπαλλοτριωθησόμενοι ἐν τῷ ἔργῳ, εὐλόγως ἐν τῇ θείᾳ γνώσει ἀπηλλοτριώθησαν ἀπὸ μήτρας καθ' ὁμοιότητα τῶν ἐκ κοιλίας μητρὸς προωρισμένων, ὃ ταὐτόν ἐστι τῷ ἀπ' ἀρχῆς αὐτῶν ᾠκειῶσθαι ἢ ἠλλοτριῶσθαι τῆς ἐγνωσμένης· ἀλλὰ καὶ πόρρωθεν ὡς τοιοῦτοι ἐσόμενοι προεγινώσκοντο,

---

25 Χωρὶς…**26** οὐδέν] Io. 15, 5; cf. Anast. S. *inter. et resp.* 55, (89, 620B). **26** προγνοὺς…**30** κληθησομένους] Rom. 8, 28-30. **30** Οὐκ…**32** εἴη] Cf. Marc. Eug., *vit. term.* 357-358. **32** Ἀλλ…**35** τέλος] Cf. Psel., *phil. min.* 46 (159, 7-11); cf. *id*., *phil. min.* 47 (161, 18-23); cf. *id*., *phil. min.* 47 (162, 2-6); cf. Nic. Meth. *vit. term*. I, 233; cf. *ibid.* I, 234. | Ἀλλ…**49** ἀποδεδοκιμασμένοι] Cf. Germ., *vit. term*. 24, 28-26, 9; cf. *ibid.* 36, 14-21. **35** ὁ…**36** αὐτῶν] Joh. Dam., *exp. fid*. 24, II 10 (68, 31-35). **42** καθὼς…**44** καθήκοντα] Rom. 1, 28; cf. Bas., *Deus non auct. mal.* 31 (332B). **48** ἀλλὰ…**49** ἀποδεδοκιμασμένοι] Cf. Nic. Meth., *vit. term.* I, 234.

---

25 Χωρὶς…**26** οὐδέν] Cf. *Compendium SG* III, 67 (V 158, 2-3); cf. *Compendium SG* III, 149 (V 223, 37-224, 1). **30** Οὐκ…**50** Πνεύματος] Cf. *Compendium ST* I, Q23 A.3 (V 361, 30-33); cf. *Compendium ST* I, Q23 A.5 (V 362, 7-8 / 10-11); cf. *Compendium ST* I, Q23 A.7 (V 363, 14-18). **42** καθὼς…**44** καθήκοντα] Cf. *Compendium SG* III, 162 (V 238, 19-20).

---

29 αὐτοὺς] *add*. A **38** θελήσοντας] θελήσαντας B **44** τοῦ] *add*. A

καὶ ἢ προωρισμένοι ἦσαν ἢ ἀποδεδοκιμασμένοι. Ταῦτα τοῦ μεγάλου Παύλου καρπὸς καὶ τοῦ κινοῦντος αὐτὸν Πνεύματος.

6.3. Εἰ καὶ ἀδύνατον τοίνυν μὴ γενέσθαι ἂν ἃ προέγνωκεν ὁ Θεὸς ὡς ἐσόμενα, ἀλλ' οὐχ ἁπλῶς ἀνάγκη γενέσθαι ταῦτα οὕτως. Ἠδύναντο γὰρ ἂν μὴ γενέσθαι οὕτω, τὴν ἀνθρωπίνην προαίρεσιν ἀρχὴν ἔχοντα πρώτην τοῦ γίνεσθαι· ἐσόμενα δὲ τὸ ἀφ' ἑαυτῶν οὕτω, φημὶ δὲ τῶν ἀνθρώπων, τό γε εἰς Θεὸν ἦκον οὕτω προεγινώσκοντο θείας περιουσίᾳ γνώσεως. Οὐκοῦν, ὥσπερ οὐκ ἀναγκάζει προγινώσκων ὁ Θεός, οὕτως οὐδὲ προορίζων ἢ ἀποδοκιμάζων, συνεργεῖ δὲ μόνον πρὸς τἀγαθὸν τοῖς πρώτοις τοῦτο προελομένοις**, ὥσπερ πρὸς τοὐναντίον οὐ συνεργεῖ μέν, ἀλλ' ἐγκαταλείπων τοὺς οἴκοθεν ἀπεστραμμένους τοῦ τέλους ἐᾷ φέρεσθαι· καὶ τοὺς μὲν ἐν ὀλίγῳ πιστοὺς δούλους γενομένους, τῷ γε εἰς τὴν αὐτῶν ἥκοντι δύναμιν, ἐπὶ πολλῶν καθίστησι τῇ παρ' ἑαυτοῦ χορηγίᾳ, ὧν οὐκ ἂν οἴκοθεν** A f. 188^{v} | **τυγχάνειν ἠδύναντο, καὶ τοῖς | πονηροῖς αὖ καὶ πρὸς τὸ καλὸν ὀκνηροῖς οὔτε δίδωσι χάριν καὶ τὴν δεδομένην ἀναλαμβάνει. Ὅθεν ἅμα τῷ τὴν αἰτίαν ἑωρακέναι τοῦ δικαίου περὶ τὸν Παῦλον προορισμοῦ, *ὡς ἑκουσίως ὑπωπιάσει τὸ σῶμα καὶ δουλαγωγήσει τῆς θείας ἀγάπης εἵνεκεν*, ἀφώριζεν αὐτὸν ἤτοι προώριζεν ἐκ κοιλίας μητρὸς καὶ πρὸς τἀγαθὸν πᾶσι τρόποις συνήργει μέχρι τελευταίας ἀναπνοῆς. Τῷ τοιούτῳ τοίνυν ἀκολούθως πρὸς τὸ τέλος προορισμῷ καὶ ἡ σύμπασα τῶν προωρισμένων ζωὴ ὑπὸ τῆς θείας ὁρίζεται πρὸς τὸ τέλος καὶ κυβερνᾶται προνοίας τὴν ἀγαθὴν καὶ πρώτην τοῦ προωρισμένου σπουδὴν ἐχούσης ὥσπερ ἐφόδιον, καὶ πέρατος ἀκολούθως ἡ τούτων τυγχάνει ζωὴ αὐτῇ τε τοιαύτῃ οὔσῃ καὶ τῷ ἐσχάτῳ τέλει προσήκοντος· τὸ γὰρ αὐτό ἐστι τῆς ἐνταῦθα ζωῆς πέρας καὶ ἀρχὴ τῆς μετὰ ταῦτα ζωῆς, τὸ δέ ἐστιν ἡ ἐντεῦθεν μετάστασις. Οἰκονομεῖται δὲ ἐκ Θεοῦ καὶ αὐτὴ χρόνῳ τε καὶ τρόπῳ καὶ τόπῳ οἰκείως τοῖς αὐτὸν**

6.3.,1 Εἰ…**5** γνώσεως] Cf. Ath., *pass.* 28 (200B-C); cf. Psel., *phil. min.* 44 (157, 27-32); cf. Nic. Meth., *vit. term.* I, 233; cf. Jos. Br., *cruc. IV* 315-316; cf. *ibid.* 315; cf. Pleth., *fat.* 70. **5** Οὐκοῦν…**9** φέρεσθαι·] Cf. Nic. Meth., *vit. term.* I, 231. **9** καὶ…**11** χορηγίᾳ] Mat. 25, 21-23. **14** ὡς…**15** εἵνεκεν] I Cor. 9, 27.

6.3.,1 Εἰ…**4** γίνεσθαι·] Cf. *Compendium ST* I, Q86 A.4 (V 462, 36-463, 2); cf. *Compendium SG* III, 94 (V 182, 8-17). **7** συνεργεῖ…**8** προελομένοις] Cf. *Compendium ST* I, Q23 A.7 (V 363, 14-18). **15** ὑπωπιάσει…δουλαγωγήσει] Cf. *Compendium SG* Iv 70 (V 317, 28-30).

6.3.,2 γενέσθαι ταῦτα] ταῦτα γενέσθαι B **12** τὸ καλὸν] τἀγαθὸν B **16** αὐτὸν] ἑαυτὸν B

ἀγαπῶσι, καὶ διὰ τοῦτο εὐλόγως συνεργουμένοις διὰ πάντων πρὸς τὴν τοῦ τέλους ἐπίτευξιν, ὅπερ ἐστὶν ἡ αἰώνιος καὶ μακαρία ζωὴ μετὰ Θεοῦ καὶ τῶν θείων. Καὶ τούτῳ τῷ τέλει συνάπτει μὲν ἡ ἐνταῦθα ζωὴ διὰ πολλῶν τῶν μεταξὺ εὐτάκτως ταῖς βεβαίοις ἐλπίσι τοὺς σπουδῇ τε οἰκείᾳ καὶ συναντιλήψεσι θείαις ὠχυρωμένους, ἡ δὲ εὐσεβὴς καὶ σὺν ἀρετῇ τελευτὴ ἀμέσως συνάπτει λοιπόν, ἔργῳ τῶν ἐλπίδων ἀνυομένων, εἰ καὶ μετά τινος ὑπερθέσεως πρὸς τὴν αὐτοῦ τελεωτέραν ἐπίτευξιν ἐν τῇ κοινῇ μισθαποδοσίᾳ τῆς φύσεως. Οὕτω δὲ καὶ τοῖς μὴ φροντίζουσι τοῦ τέλους τυχεῖν μήτε οἴκοθεν πρὸς ἐκεῖνο ὁριζομένοις οὐδ' ὁ Θεὸς ὅπως ὁρίζοιντο συνεργεῖ συνεργήσας ἂν ὁμοίως τοῖς ἄλλοις (ἦν γὰρ ἂν ἀνάγκης τόδε καὶ βίας), προεγνωσμένης δέ γε τῆς αὐτῶν ἀθλιότητος ὡς οἴκοθεν ἀθλίοις χρῆται λοιπόν, τά τε κατὰ τὸν βίον αὐτῶν καὶ τὴν τελευτὴν οὐδεμιᾶς ἀξιῶν προνοίας τοῖς προτέροις ὁμοίας καὶ ἧς καρπός ἐστιν ἡ τοῦ κειμένου τέλους ἐπίτευξις, ἀλλ' ὅσον μόνον αὐτοῖς πρὸς τὸ εἶναι καὶ ζῆν ὡς κοινὸν τῇ φύσει δέδωκε δῶρον. Ἄξια | μὲν οὖν ἐνίοις τῇ φαυλότητι τούτων καὶ A f. 189r |
ζώντων καὶ τελευτώντων ἐπιτίθησιν ἄχθη τρόποις οἰκονομίας μετὰ τοῦ δικαίου καὶ τὸ κοινῇ συμφέρον σκοποῦσιν.

7. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς προτέροις διηρθρώθη συγγράμμασιν· νῦν δὲ ἀρκεῖ τὴν σὴν ἀγάπην πληροφορῆσαι ὡς οὐδὲν ὧν πέπομφας κατὰ τὴν ἡμῶν προτροπὴν ἢ ἐναντίον ἐστὶν ἢ ἐναντιοῦσθαι δύναται τοῖς προτέροις ἡμῶν ἐκείνοις συγγράμμασιν. Τί γὰρ ἂν καὶ ἐναντιοῦσθαί ποτε δυνηθείη ἀληθείᾳ φανερωτάτῃ καὶ τοσούτοις τοῖς ταύτῃ συνισταμένοις; Κἂν ἐναντιῶται, ψεῦδός ἐστι καὶ ἀδύνατον. Ἴσθι γάρ, ἱερωτάτη καὶ φιλτάτη ψυχή, ὡς ἐν τοῖς ἐκκλησιαστικοῖς θεωρήμασιν οὐδέν ἐστι τούτου βαθύτερον. Πλάτος γὰρ ἔχει πολὺ καὶ ποικίλον, ἐπιστήμης δὲ δεόμενον ἀκριβοῦς καὶ διανοίας ὑψηλοτέρας καί ἐστι φιλοσοφίας καὶ θεολογίας ὥσπερ γυμνάσιον. Διὸ καὶ τῶν ὑποδεεστέρων οἱ μὲν ἀπαλλάττονται καλῶς ποιοῦντες τούτου μνησθῆναι δεῆσαν, οἱ δὲ ψηλαφῶντες ἅττ' ἂν τύχοι λέγουσιν ἐν τοῖς οἰκείοις συγγράμμασιν· οἱ δὲ τῆς ἐκκλησίας καθηγεμόνες ἡμῖν καὶ τῆς πίστεως, ἅτε δὴ καὶ σοφίᾳ καὶ θείᾳ χάριτι καλῶς ὡπλισμένοι,

---

7.,6 Ἴσθι… **12** συγγράμμασιν·] Cf. Germ., *vit. term.* 18, 4-6; cf. Nic. Meth., *vit. term.* I, 223.

---

28 τῶν…εὐτάκτως] εὐτάκτως τῶν μεταξὺ B **37** ἀξιῶν] *correxerunt Œ* : ἀξίων A B (το διαβάζω καλά; 188ν, 3η γραμμ απ το τέλος..) **41** καὶ] *add.* A **7.,1** συγγράμμασιν·] συγγράμμασι B **4** συγγράμμασιν] συγγράμμασι B **5** Κἂν…6 ἀδύνατον] *add.* A **8** δὲ] τὲ B

τὴν τοῦ ζητήματος φύσιν γενναίως τε ἅμα καὶ συμφώνως ἀλλήλοις τοῖς ὑστέροις ἡμῖν ὑπογράφουσι τοῦ τῶν θείων Γραφῶν κανόνος ἐξεχομένην καὶ τοῖς λογίοις ἡρμοσμένην τοῦ Πνεύματος, Διονύσιος **οὗτος ὁ μέγας, ὁ ἱερὸς** Ἀθανάσιος**, οἱ** τρεῖς τῆς οἰκουμένης φωστῆρες, **Αὐγουστῖνος ἐπὶ τούτοις,** Θεοδώρητος**,** Μάξιμος**, ὁ θεῖος ἐπὶ πᾶσι** Δαμασκηνός**. Διοδώρου δὲ καὶ Ἀναστασίου οὗτοι γε ἡμεῖς θιασῶται· ἔνθα δὲ τοῖς μεγάλοις ἐκείνοις συμφωνοῦσι, καὶ δοῦλοι. Ἐπὶ τούτοις ἴσθι καλῶς ὡς ἡ περὶ τοὺς ἀνθρώπους ποικίλη καὶ πάνσοφος τοῦ δημιουργοῦ πρόνοια δεσποτική τε ἅμα καὶ πατρική, καὶ ὅσα τῷ περὶ ταύτης ταὐτὸν δ' εἰπεῖν τοῦ θείου προορισμοῦ συνυφαίνονται λόγῳ, ἰδίως μὲν εἰς τὸ δεύτερον τῆς πίστεως ἄρθρον ἀνήκει, καθόλου δὲ τὴν τῶν χριστιανῶν ὅλην διατρέχει πίστιν καὶ**

A f. 190r | **πάντα τὰ περὶ αὐτῆς θεωρήματα. Ὅθεν οὔτε | γένοιτ' ἂν χριστιανοῖς θεοφιλέστερον φρόνημα τοῦ τὰ τῶν ἀνθρώπων πάντα τῆς οὐρανίου καὶ θείας γνώσεώς τε καὶ κρίσεως ἐξαρτᾶν τῇ πρὸς τὸ τέλος αὐτῶν ἀποβλέψει, τῆς μέντοι προαιρέσεως αὐτῶν πρὸς ταῦτα προηγουμένης ἐν τῷ τῶν ἔργων καιρῷ, εἰ καὶ ἡ θεία γνῶσις πόρρωθεν αὐτοῖς ὡς γενομένοις καὶ οὖσιν ἐπιστατεῖ τὴν ἀνθρωπίνην προϋποτιθεῖσα προαίρεσιν, καὶ προορίζει μὲν ἐν τῇ γνώσει τοὺς ἐν τῷ καιρῷ τῶν ἔργων ὁριστέους οἰκοθέν τε καὶ παρ' αὐτοῦ, προαποδοκιμάζει δὲ τοὺς ἀποδοκιμασθησομένους ὁμοίως, οὔτε χαλεπώτερον ἂν γένοιτο φρόνημα τοῦ τὴν ἀνθρωπίνην ζωήν τε καὶ τελευτὴν καὶ κοινῇ καὶ ἰδίως καὶ τὰς ἀνθρωπίνας ὅλως ψυχὰς καὶ ζωάς, καὶ μάλιστα τῶν σπουδαιοτέρως βιούντων, τῆς περὶ τοὺς ἀνθρώπους εἰδικωτέρας καὶ πατρικῆς ὄντως καὶ σοφωτάτης καὶ ἀδιαλείπου τοῦ**

---

16 Διονύσιος] Cf. (Ps.-) Dion. Ar., *div. nom*. (IV, V). | ὁ[2]…**17** Ἀθανάσιος] Cf. (Ps.-) Ath., *qu. Ant.* 113 (668C-D); cf. Germ. *vit. term.* 14, 11-19; cf. *ibid.* 36, 25-30. **17** τρεῖς…φωστῆρες] Cf. Joh. Chrys., *Petr. et Paul.*; id*., Exp. in Ps.* 139; cf. Bas., *Deus non auct. mal.*; id., *mor.* 22 / *prov*.; id., *reg. fus*.; id., *reg. moral.*; id., *cap. reg.*; id., *in Jul.*; id., *mor.* 11 / *mort*.; cf. Gr. Naz,. *or. XVIII*; id., *or. VII*; id., *or. XXI.* **18** Θεοδώρητος] Cf. Theodor., *prov.* I-X; cf. id*., Graec. aff. cur. (serm.* VI*, De provid. Dei)* | Μάξιμος] Cf. Max., *cap. theol.* | Δαμασκηνός] Cf. Jo. Damasc., *Exp. Fid*. | Διοδώρου] Cf. Theodor. Mops., *Fragm. in Oct. et Reg.* **19** Ἀναστασίου] Cf. Anast. S. *inter. et resp.*; id., *qu. et resp.*; id.., *qu. et resp.* [App.]. **23** ἰδίως…**24** ἀνήκει] Cf. *Vat. Ros*. 986, f. 306r, 9 -306v, 6.

7.,17 Αὐγουστῖνος] Cf. Aug., *sent.* 134 (379), 1-9. **23** ἰδίως…**24** ἀνήκει] Cf. *ST IIa IIae,* Q1 A.8 Resp. [*Par. Gr*. 1237, f. 5v (8v), 23-27]· Cf. *ibid.*, *Par. Gr.* 1237, f. 6r (9r), 24-28**.**

---

16 ἡρμοσμένην] ἡρμολογημένην B | οὗτος] οὗτοι *correxi* A B **18** Θεοδώρητος] Θεοδώριτος *correxi* A B **23** ἰδίως…24 ἀνήκει] **32** ἀποδοκιμασθησομένους] *suppl. supra lineam* -σθησο- A

δημιουργοῦ προνοίας ὁπωσοῦν χωρίζειν καὶ διατάξεως, ἢ καὶ τὰς τῶν φαύλων τῆς δικαστικῆς αὐτοῦ διατάξεως, ὁπόσοι τῆς πατρικῆς προνοίας ἑαυτοὺς καθάπαξ ἀπέρρηξαν, ἅπερ ἐν τῷ δευτέρῳ τῶν συγγραμμάτων ἡμῖν προὔργου καὶ κατὰ μέρος ἐκτέθειται. Διὸ καὶ πρότερον, ὡς ἔφης, ἐκεῖθεν ἱκανωθείς, νῦν ταῖς ἐπιστασίαις τῶν δοκούντων προσίστασθαι καὶ μᾶλλον ἐνασμενίσεις καὶ ἡμῖν εὔξῃ τὸν θεῖον οἶκτον, καὶ ἡμεῖς δέ σοι χάριν ἴσμεν, ὅτι πλείστην εἵνεκα πάντων καὶ τοῖς εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν μετὰ γῆρας βαθὺ διὰ τὸ κοινῇ συμφέρον ἐνταχθῆναί σε δεόμεθα τοῦ Θεοῦ, ὅτι καὶ ἐντέταξαι καὶ ἐγκαίρως ἐντετάξῃ πάνυ βεβαίως ἐλπίζοντες. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

---

46 Αὐτῷ…αἰῶνας·] *om.* A | Αὐτῷ…] Finis: ἀμήν. Μετάνοιαν † A | Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν † B | ἀμήν] Μετάνοιαν post ἀμήν *add.* A

A f. 199r |

Περὶ τοῦ θείου προορισμοῦ, τέταρτον

1. Σὺ μὲν καλῶς ποιῶν, φίλτατε, ἢ διαγράφειν ἡμῖν ἐπιτρέπεις ὃν ἔπεμψας λόγον, ἂν ἀπαρέσκων δοκῇ, ἢ βεβαιοῦν ἀξιοῖς· δεῖν γὰρ περὶ τῶν τοιούτων οὐχ ἑαυτοῖς μόνοις θαρρεῖν, ἀλλὰ τὴν τῶν κρίνειν εἰδότων καὶ δυναμένων ψῆφον ζητεῖν, μηδὲ τοῖς ἐκ τῶν ἰδιωτῶν ἐπαίνοις ἀρκεῖσθαι, οὓς καὶ ψευδόμενός τις ὑπ' ἀγνοίας ἢ σοφιζόμενος ἑλκύσειεν ἄν. Ἡμεῖς δὲ καλῶς ἐπιστήσαντες τῷ συγγράμματι τῇ σῇ πολυχρονίῳ περὶ τῶν τοιούτων εἰδήσει καὶ πείρᾳ προσῆκον ἔγνωμεν ὃν καὶ πρεσβυτικὸν ἄντικρυς· ὁ μὲν γὰρ σκοπὸς αὐτῷ λίαν ἀληθής, ἅτε καὶ τῶν διδασκάλων τῆς ἐκκλησίας πάντων γνώμη κοινὴ καὶ δόγμα τῆς ἱερᾶς Γραφῆς ἀπαράγραπτον, ἀποδείκνυται δὲ ὡς οἷόν τε καλῶς καὶ ὡς ἂν γένοιτο πολλοῖς εὐκατάληπτος. Ταύτην ἐκ προχείρου τὴν ψῆφόν σοι περὶ τοῦ συγγράμματος πέμπομεν· ταύτης κοινωνὸν ἕξεις ἅπαντα σοφὸν μεθ' ἡμῶν. Εἰ δὲ μή εἰσι νῦν ἐν τῷδε τῷ κλίματι τοιοῦτοι (φεῦ τῆς δεινῆς τοῦ γένους ἡμῶν ἀμορφίας!), ἀλλ' ἀρκείτω σοι τῶν σοφωτάτων διδασκάλων ὁ κύκλος, οἷς ἀκολουθοῦμεν ἡμεῖς καὶ ὧν τῇ μετὰ πολλῆς σπουδῆς ἐρεύνῃ συγγεγηράκαμεν. Σὺ δ' ἐκείνοις ἀκολουθῶν καὶ ἡμῖν εἰκότως συνᾴδεις, Διονύσιον λέγω, Βασίλειον τὸν μέγαν, τὸν θεολόγον Γρηγόριον, τὸν τὴν διάνοιαν μετὰ τῆς γλώττης χρυσοῦν Ἰωάννην, Κύριλλον, Θεοδώρητον, Μάξιμον τὸν πάνσοφον ὁμολογητήν, Ἰουστῖνον τὸν ἐπὶ τῇ φιλοσοφίᾳ καὶ μάρτυρα, τὸν ἱερώτατον Ἀθανάσιον, ἄλλους ἐν τούτοις καὶ μετὰ τούτους πολλούς. Ἀναστάσιον δὲ τὸν ἀπὸ Σινᾶ ἅγιον μὲν οὐκ ἂν ἀρνησαίμεθα εἶναι καὶ τοὺς ἐκείνῳ τότε συνασκουμένους πατέρας, οἷς εὐλόγως καὶ

1.,1 ὃν…**2** λόγον] Cf. Theod. Agal., *prov*. 421-435. **17** Διονύσιον] Cf. (Ps.-) Dion. Ar., *div. nom*. (IV, V). | Βασίλειον…μέγαν] Cf. Bas., *Deus non auct. mal.*; id., *mor.* 22 / *prov*.; id., *reg. fus.*; id., *reg. mor.*; id., *cap. reg.*; id., in *Jul.*; id., *mor.* 11 / *mort*. | τὸν[2]…Γρηγόριον] Cf. Gr. Naz,. *or. XVIII*, 35, 985-1044; id., *or. VII*, 2-56; id., *or. XXI*, 35, 1081-1128; cf. Germ. *vit. term.* 14, 11-19; cf. id., *vit. term.* 36, 25-30. **18** Ἰωάννην] Cf. Jo. Chrys., *In Petr. et Paul.*; id., *Exp. in Ps*. 139. | Κύριλλον] Cf. Cyr., *Juln.* | Θεοδώρητον] Cf. Theodor., *prov.* I-X.; cf. id., *Graec. aff. cur. (serm.* VI*, De provid. Dei)* **19** Μάξιμον] Cf. Max., *cap. theol.* | Ἰουστῖνον] Cf. (Ps.-) Iust., *conf. dogmat. Aristot.*; *id*., *qu. et resp. (Quaest.* 33*)*. **20** τὸν…Ἀθανάσιον] cf. (Ps.-) Ath. *qu. Ant.* 113 (668C-D); cf. Germ., *vit. term.* 14, 11-19; cf. *ibid.* 36, 25-30. Ἀθανάσιον] Cf. (Ps.-) Ath., *qu. Ant.* 113.

---

48 Περὶ…προορισμοῦ] Περὶ τοῦ θείου προορισμοῦ, τέταρτον· Τῷ μεγάλῳ οἰκονόμῳ κυρῷ Θεοδώρῳ τῷ Ἀγαλλιανῷ **1.,1** φίλτατε] *supra lineam* A **13** τοιοῦτοι] *supra lineam* A **18** Θεοδώρητον] *correxi*, Θεοδώριτον A

διδασκάλου τόπον ἐπλήρου, θεολόγον δ' οὐκ ἄν ποτε ὀνομάσαιμεν, οὐδὲ τοῖς θεολόγοις παρακολουθεῖν γνησίως δυνάμενον, ὡσαύτως δὲ καὶ εἴ τις τῶν ὑστέρων Ἀναστασίῳ συνᾴδει τῆς ὁμοίας ἕξεως ὤν. Διὸ καὶ ζητεῖ μὲν ἔνια καλῶς ἐκεῖνος, λύει δὲ οὐ πάντα προσφόρως, ἐν πολλοῖς τῆς τῶν διδασκάλων διιστάμενος γνώμης καὶ τῶν κοινῶν κανόνων τῆς πίστεως ὑπ' ἀγνοίας, | οὐ φιλονεικῶν οὐδ' ἀντιφιλοτιμούμενος. Ὅθεν οὐδὲ συμβιβάζειν A f. 199v |
τοῖς διδασκάλοις τὸν Ἀναστάσιον χρὴ καὶ εἴ τις ἄλλος τῶν ἁπλουστέρων τε καὶ ὑστέρων ὑπ' ἀγνοίας τοῦ τῆς ἱερᾶς θεολογίας ἀποχωροίη κανόνος, ἀλλὰ παριέναι δεῖ μόνον αὐτοὺς εὐλαβῶς, ὡς ἐκ τοῦ μὴ πάνυ προσέχειν χωριζομένους· ἐπιστήμη γὰρ ἐπιστημῶν ἐστιν ἡ θεολογία καὶ πρώτη μὲν σοφία τῷ ὕψει, ἐσχάτη δὲ διὰ τοῦτο καὶ τελευταία τῇ μετὰ πᾶσαν ἀνθρωπίνην σοφίαν αὐτῆς ἐπιτεύξει. Τοῖς δὲ διδασκάλοις καὶ θεολόγοις μόνοις προστίθεσθαι χρὴ τοῖς πληρεστάτοις μὲν τῆς ἄλλης σοφίας, περὶ δὲ πᾶσαν τὴν ἱερὰν γραφὴν πιστῶς ἅμα καὶ σπουδαίως ἠσχολημένοις. (2A) Οὐχ ἡμετέρα τοῦτο γνώμη, ἀλλ' ὁ μέγας Βασίλειος ἐν τοῖς Διαλογικοῖς τοῦτ' ἀξιοῖ· Δεῖ γάρ, **φησί**, τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους ταῖς θείαις Γραφαῖς δοκιμάζειν τὰ παρὰ τῶν διδασκόντων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλεσθαι καὶ τοὺς τοιούτους ἐπιμένοντας διδάγμασιν σφοδρότερον ἀποστρέφεσθαι.

2. Καὶ περὶ τούτου μὲν ἐς τοσοῦτον. Θαῦμα δὲ καὶ δακρύων φεῦ πολλῶν ἄξιον, ὅτι τὸν Θεὸν μέν τινες καθ' ἡμέραν ὑμνοῦσι 'ποιμένα' καὶ 'καταφυγὴν' καὶ 'ὁδηγὸν' καὶ 'σκεπαστὴν' καὶ 'μεθ' ἡμῶν ὄντα' ἀεί, καὶ οὐ μεθ' ἡμῶν μόνον, ἀλλὰ καὶ 'κύκλῳ ἡμῶν', ὃ μεῖζον εἰς φυλακήν τε καὶ πρόνοιαν, καὶ 'παρήγορον' ἐν ταῖς θλίψεσι καὶ 'ῥύστην' ἐν πολέμῳ καὶ 'ἀντιλήπτορα' καὶ 'φύλακα' οὐ τῶν τελείων μόνων τὴν ἡλικίαν, ἀλλὰ καὶ νηπίων αὐτῶν, καὶ κατὰ τῶν ἐπηρεαζόντων 'ἐκδικητὴν' καὶ τῆς ζωῆς ἡμῶν 'ὑπερασπιστήν', καὶ ἐν ταῖς χερσὶν αὐτοῦ τοὺς ἡμετέρους ἔχοντα κλήρους, καὶ 'ῥυόμενον ἐκ θανάτου' καὶ διατρέφοντα ἐν λιμῷ καὶ ἐν γήρᾳ πληθύνοντα πίονι, καὶ ἄλλους αὖ κατὰ τὴν αὐτῶν ἀφανίζοντα πονηρίαν καὶ εἰς ἐχθρῶν χεῖρας παραδιδόντα, καὶ διδάσκαλον μὲν χειρῶν εἰς παράταξιν, δακτύλων δὲ εἰς πόλεμον, καὶ ἰατρὸν τῶν τῇ καρδίᾳ

---

23 θεολόγον…**25** ὤν] Cf. Anast. S. *inter. et resp.*; id., *qu. et resp.*; id., *qu. et resp.* [App.]. **25** Διὸ…**28** ἀντιφιλοτιμούμενος] Cf. Anast. S., *qu. et resp.* 16, 2 (24, 8-15). **29** Ἀναστάσιον…**32** χωριζομένους·] Cf. Mich. Glyc., *in S. Scr.* 37 (420, 5-7); cf. *ibid.* 37 (441, 13-15). **38** Δεῖ…**41** ἀποστρέφεσθαι] Bas., *reg. moral.* 31 (845D-848A).

συντετριμμένων, καὶ ἀναλαμβάνοντα μὲν πραεῖς καὶ ὑψοῦντα, ἕως δὲ γῆς ἁμαρτωλοὺς ταπεινοῦντα, καὶ τὴν μὲν ψυχὴν ἐξαιρούμενον ἐκ θανάτου, τοὺς ὀφθαλμοὺς δὲ ἐκ δακρύων, τοὺς πόδας δὲ ἀπὸ ὀλισθήματος, καὶ οὐκ
A f. 200^{r} | **ἀνθρώποις μόνον, | ἀλλὰ καὶ κτήνεσι διδόντα τροφὴν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων, καὶ τοὺς μὲν μακρότητος ἡμερῶν ἐμπιπλῶντα, τοῖς δὲ οὐδὲ ἡμισεύειν τὰς ἡμέρας συγχωροῦντα, τοὺς δὲ πάνυ φαύλους ἐξολοθρεύοντα (3) οὕτω μὲν καθ' ἡμέραν τὸν Θεὸν ἀνυμνοῦσι μετὰ τοῦ θείου Δαυὶδ οὐρανόθεν ταῦτα ἐμπνεομένου, εἶτα φρονοῦσί τε τἀναντία τούτων καὶ ἄλλους διδάσκουσιν. Καὶ** *θανατοῖ μὲν Κύριος καὶ ζωογονεῖ* **λέγουσί τε καὶ τοῖς εἰποῦσιν ἀξιοῦσι πιστεύειν, ἀοριστίαν δὲ ζωῆς καὶ θανάτου καταψηφίζονται καὶ τυχαῖόν τε καὶ αὐτόματον τὸ σύμπαν τῶν ἀνθρώπων ἡγοῦνται χρῆμα· τὸ γὰρ σύμπαν τῶν ἀνθρώπων χρῆμα ζωή τε ἐνταῦθα καὶ τῆς ζωῆς ταύτης τέλος ἐστὶ πρὸς ἄλλον βίον μετάγον. Καὶ** ποιεῖν μὲν εἰρήνην καὶ κτίζειν κακὰ **πόλεσί τε καὶ ἔθνεσι** τὸν Θεὸν **ἀξίως τῆς ἑκάστων παρασκευῆς τε καὶ προαιρέσεως ἀκούουσιν ὁσημέραι καὶ λέγουσιν, ἔργῳ δὲ τούτοις διαπιστοῦσιν. Καὶ αὐτὸς μὲν ὁ δημιουργὸς ἡμῶν καὶ** *τὰς τρίχας ἡμῶν ἠριθμῆσθαι* **λέγει τῇ περὶ ἡμῶν οὐρανίῳ προνοίᾳ εἰς ἔνδειξιν τοῦ πολλῷ μᾶλλον μέλειν αὐτῇ τῶν ἄλλων ἐν ἡμῖν ἀναγκαίων, καὶ μὴ μόνον ἄνθρωπον ἐπὶ σφαγὴν ἥκειν, ἀλλ'** *οὐδὲ στρουθίον εἰς παγίδα πίπτειν ἄνευ θείου θελήματος***, καὶ** εἰ μὴ στρουθίον, σχολῇ γε ἄνθρωπον**, εἰ καὶ ὁ θεῖος περὶ ἑκάτερον τούτων σκοπὸς πολὺ διαφέρει οἰκείως τῇ διακρίσει τῶν φύσεων. Καὶ οὗ φησι μόνον ὁ δημιουργὸς ἡμῶν ταῦτα, ἀλλὰ καὶ τοῖς ἔργοις ἔδειξέ τε καὶ δείκνυσιν· οἱ δὲ ὥσπερ τοῖς ἔργοις αὐτοῦ μὴ προσέχοντες καὶ τῶν αὐτοῦ μαθητῶν καὶ τῶν τοὺς ἀποστολικοὺς ἀγῶνας διαδεξαμένων μαρτύρων ἅττ' ἂν τύχοι φρονοῦσι καὶ λέγουσιν. Καὶ τῷ μὲν Δαυὶδ συνᾴδουσι καθ' ἑκάστην·** *Ἰδού, ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ*

2.,19 οὕτω…**21** διδάσκουσιν] Cf. Theodor., *prov.* I, 83 (560C); cf. Phot., *Amph.* 240 (21, 14-22). **21** θανατοῖ…ζωογονεῖ] I Reg. 2, 6; cf. Blemm., *vit. fin.* I (3, 3-5). **22** ἀοριστίαν…**24** χρῆμα·] Cf. Germ., *vit. term.* 54, 20-21. **25** ποιεῖν…**26** κακὰ] Am. 3, 6; Bas., *Deus n. auct. mal.* 31 (336A); cf. *ib.* 31 (336C); cf. *ibid.* 31 (337B-C). **28** Καὶ…**32** ἄνθρωπον] Cf. Germ., *vit. term.* 30, 29-32, 5; cf. Nic. Meth., *vit. term.* I, 225-226; cf. Marc. Eug., *vit. term.* 353. τὰς…**29** ἠριθμῆσθαι] Mat. 10, 30-31; Luc. 12, 7. **31** οὐδὲ…**32** θελήματος] Mat. 10, 29; cf. Marc. Eug., *vit. term.* 352. **32** εἰ^{1}…ἄνθρωπον] Ps. 123, 6-8. **38** Ἰδού…**40** ἡμᾶς] Ps. 133, 2.

2.,21 θανατοῖ…ζωογονεῖ] Cf. *Compendium Iae*, Q49, a.2 (V 389, 26).

ἡμῶν πρὸς Κύριον τὸν Θεόν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς, **καὶ** *τῆς Χαναναίας ἐν εὐαγγελίοις ἀκούουσι κυναρίοις ἐξομοιούσης ἑαυτὴν τοῖς ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἐκ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, διὸ καὶ δικαίως ἐπὶ τῷ μεγέθει μακαρισθεῖσα τῆς πίστεως, | ἆθλον εὐθὺς αὐτῆς ἀπειλήφει τὴν* A f. 200v
ἰατρείαν, *αὐτοί γε χείρους εἶναι βούλονται τοὺς ἀνθρώπους περὶ τὸν δεσπότην, οὐ δούλων, οὐ παιδισκῶν, οὐ τέκνων ταῖς μητρικαῖς σὺν ἐλπίσι προσιόντων χερσίν, ἀλλὰ καὶ κυναρίων, ἃ ταῖς τῶν δεσποτῶν τραπέζαις ὑφεδρεύουσιν ἁπλουμέναις σαίνοντα καὶ τοὺς πόδας ὑπερχόμενα τῶν κυρίων μετὰ τῆς συμφύτου καὶ δυνατῆς αὐτοῖς ἐλπίδος καὶ εὐλαβείας, ὡς φύσει τὴν τῶν δεσποτῶν περὶ αὐτὰ συμπάθειαν ἐπεγνωκότα καὶ πρόνοιαν*.

3.1. Εἰκότως οὖν παιδευόμεθα ὡς μηδὲ ἀνθρώπου δεσπότου μηδὲ γυναικὸς κυρίας μηδὲ πατρὸς ἢ μητρὸς εὔνοιαν πρὸς ἡμᾶς ἀποδιδόντες Θεῷ, τῷ δι' ἡμᾶς τὸν αἰσθητὸν τουτονὶ ποιήσαντι κόσμον, τῷ τοσούτοις κεκοσμηκότι τὴν ἡμῶν φύσιν χαρίσμασι, τῷ ὑπὲρ ἡμῶν τοσαῦτα παθεῖν ἀνασχομένῳ, τῷ μὴ δικαίους ἐλθόντι καλέσαι, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν**, τῷ μὴ μόνον ὡς δούλοις ἢ τέκνοις, ἀλλὰ καὶ** *ὡς φίλοις καὶ ἀδελφοῖς ἡμῖν χρησαμένῳ, καὶ διὰ τοῦτο τὴν ψυχὴν ὡς ὑπὲρ φίλων ἡμῶν τεθεικότι, οὗ μεῖζον οὐδὲν εἰς φιλίας λόγον εἶναι* ***φησίν*****, οὐδ' ἅπαξ πεποιηκὼς ταῦτα πέπαυται, διηνεκῶς δὲ ποιεῖ καὶ διηνεκῶς δίδωσιν, ἑκάστης τῶν καλῶν ἁπάντων ἐκείνων ἀρχῆς** εἰς πάντα διηκούσης **τὸν χρόνον διὰ τὴν ἄπειρον αὐτοῦ καὶ πάντα** διατρέχουσαν δύναμιν**. Καὶ προστάσσει μὲν ἐκεῖνος διηνεκῶς**· *Αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ τὰ ἄλλα πάντα προστεθήσεται ὑμῖν· δώσει γὰρ πολλῷ βέλτιον καὶ ἀδρότερον ἢ ζητεῖν μέλλετε· ὑμεῖς γὰρ ὄφιν ἴσως ἀντὶ ἄρτου ζητεῖτε πλανώμενοι, ὁ δὲ ἄρτον, οὐκ ὄφιν, δώσει, καὶ πάντα,* ***φησί****, προστεθήσεται παρ' αὐτοῦ*, **εἰ μόνον ἐπιμελεῖσθε τοῦ τελευταίου τέλους ὑμῶν, δι' ὃ καὶ γεγέννησθε, τῆς αἰωνίου δηλονότι ζωῆς, τὰ μὲν πράττοντες αὐτοί, τὰ δ' εὐχόμενοι. Καὶ πονηροὶ μὲν γὰρ ἀπολαύουσι τῆς οὐρανίου κηδεμονίας δι' ἄκραν τοῦ δημιουργήσαντος εὔνοιαν καὶ φιλανθρωπίαν, οἱ δὲ σπουδαῖοι καὶ τῆς ἀληθοῦς ζωῆς ἐπιμελούμενοι προῦργου μετὰ προσθήκης ταύτην**

---

40 τῆς…**49** πρόνοιαν] Mat. 15, 21-28. **3.1.,5** μὴ…**6** μετάνοιαν] Mat. 9.13. **6** ὡς²…**8** φησίν] Io. 15, 12-13. **10** εἰς…**11** δύναμιν] Sap. Sol. 8:1. **12** Αἰτεῖτε…**13** ὑμῖν·] Mat. 6, 33. **13** δώσει…**15** αὐτοῦ] Mat. 7, 9-11; Luc. 11, 11-13.

3.1.,2 πρὸς] — *adn. in marg. sinis.* m² A **3** κόσμον] — *adn. in marg. sinis.* m² A **4** κεκοσμηκότι] *correxerunt* Œ, κεκοσμηκόσι A | ἡμῶν²] — *adn. in marg. sinis.* m² A

καρποῦνται· εἰ γὰρ τρέφει συμφερόντως, καὶ συμφερόντως οὐ θρέψει, καὶ τῷ μὲν προσθήσει τὴν ζωὴν συμφερόντως, τῷ δ' ἐπὶ τὸ βέλτιον συντεμεῖ,
A f. 201r *μὴ κακία ἀλλάξῃ σύνεσιν | αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ*, **ὥσπερ συντέμνει τε τῷ φαύλως βιοῦντι ἐπὶ τὸ ἄλλοις βέλτιον, ὡς ἂν μήτε βλάπτοιντο ζῶντος καὶ ὠφελοῖντο τῇ τῆς πονηρίας βιαίῳ τομῇ, ἢ προστίθησιν ἐπὶ τὸ χεῖρον ἄλλοις, ἀξίοις ὑπ' ἐκείνου πάσχειν κακῶς.**

3.2. Ἀλλὰ νῦν ἡμῖν περὶ τῶν ἐμφρόνων καὶ σπουδαίων τέκνων ὁ λόγος ἔστιν, οἷς αἰτοῦσι τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην, ἐκεῖθεν τὰ ἄλλα προστίθεται πάντα. **Εἰ τοίνυν πάντα ἀληθῶς δίδωσι, καὶ πάντων κύριός ἐστιν. Εἰ πάντων κύριός ἐστι, καὶ ζωῆς ἡμῶν ἄρα καὶ τελευτῆς· ταῦτα γὰρ ἐνταῦθα τῶν διδομένων ἡμῖν παρ' αὐτοῦ τὰ κεφάλαια. Εἰ δοτήρ ἐστι τούτων καὶ κύριος, καὶ ὁριστής ἐστιν αὐτῶν ἄρα, ὡς καιρὸν καὶ τρόπον τοῖς διδομένοις ὁρίζων καὶ τάττων καὶ περιγράφων· ἔγνω τε γὰρ ἃ δώσει καὶ ὅτε καὶ ὅπως, καὶ ὡρισμένα οἶδεν ἕκαστα τούτων· ἀορίστων γὰρ γνῶσιν ἀδύνατον εἶναι. Ὁριστὴς δὲ ὢν αὐτῶν, καὶ προοριστής ἐστιν ἀιδίως·** οὐ γὰρ ἐγγύθεν μόνον οἶδέ τε καὶ ὁρίζει, ἀλλὰ μετὰ τῆς οὐσίας ἀίδιον καὶ τὴν γνῶσιν ἔσχηκε πάντων, καὶ ὡς παρόντα γινώσκει, κἂν ᾖ μέλλοντα, καὶ ἀναγκαίως γινώσκει, κἂν ἐνδεχόμενα ᾖ καθ' αὑτά**. Ἐντεῦθεν αἱ προφητεῖαι τῶν τε ἄλλων ἀρχῆθεν καὶ τῶν τῆς ἡμετέρας σωτηρίας ἔργων τε καὶ καιρῶν· ἐντεῦθεν ἃ γέγραπται καὶ ἅπερ ἔδει παθεῖν καὶ ποιῆσαι τὸν ἡμέτερον Ἰησοῦν. Οὗτος ὁ τῆς ἡμετέρας πίστεως ὅλης θεμέλιος· ταῦτα** οἱ τῆς εὐσεβείας **ἡμῶν** ὅροι **κατὰ τὸν θεῖον φάναι Βασίλειον,** ὧν ἐκπίπτειν **φησὶ** τοὺς τῆς ἀνθρωπίνης ζωῆς τοὺς ὅρους ἀθετεῖν θέλοντας**.**

---

21 εἰ…**26** κακῶς] Cf. Anast. S., *qu. et resp.* [App.] 23a, 4 (215, 58-216, 67); cf. *ibid*. 23a, 5 (216, 77-81); cf. *ibid*. 23b, 3 (218, 16-29). **23** μὴ…αὐτοῦ[2]] Sap. 4, 11. **3.2.,2** οἷς…**3** πάντα[1]] Mat. 6.33. **4** Εἰ…**5** κεφάλαια] Cf. Marc. Eug., *vit. term.* 355; cf. Theoph. Sim., *vit. term.* III (28, 31–30, 5). **5** Εἰ…**12** αὐτά] Cf. Nic. Meth., *vit. term.* III, 264; cf. Pleth., *fat.* 68; cf. Marc. Eug., *vit. term.* 357-358. **10** οὐ…**12** αὐτά] Cf. Procl. Is., *dec. prov.* 2, 6 (159, 18-160, 3); cf. Procl., *inst. theol.* 124 (166, 10-13); cf. Pleth., *fat.* 68. **12** Ἐντεῦθεν…**14** καιρῶν·] Cf. Pleth., *fat.* 70. **15** οἱ…**16** ὅροι] Cf. Bas., *reg. fus.* 31, 905 (titulus). **16** ὧν…**17** ἀθετεῖν] Cf. Bas., *reg. fus.* 31 (949C).

3.2.,10 οὐ…**12** αὐτά] Cf. *Compendium ST* I, Q86 A.4 (V 462, 36-463, 2); cf. *Compendium SG* III, 94 (V 182, 8-17).

---

22 συμφερόντως] — *adn. in marg. dext.* m^2 A **23** ἀπατήσῃ] *correxi,* ἀπατήσει A **24** τε] *supra lineam* A **3.2.,3** ἄλλα] — *adn. in marg. dext.* m^2 A **14** παθεῖν] — *adn. in marg. dext.* m^2 A

4.1. Ἀλλὰ ταῦτα μὲν ὀδυρομένῳ μοι τὴν ἄγνοιαν καὶ τὴν ἄλλην ἀμορφίαν τοῦ γένους ἡμῶν οὕτω νῦν εἴρηται. Περὶ δέ γε τοῦ θείου προορισμοῦ καὶ τῆς ἐκεῖθεν προνοίας περὶ πάντας ἀνθρώπους, εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον ἀπολαύουσι πάντες αὐτῶν, ἀλλ' οἰκείως ἕκαστοι τῇ σφῶν διαθέσει κατά τε πίστιν καὶ βίον, εἴρηται ἡμῖν ἐν τρισὶ λόγοις ἀρκούντως καὶ μετὰ πολλῆς ἐπεξεργασίας, ὧν ὁ μὲν πρότερος ἐκεῖνος, οὗ καλῶς ἐν τῷ συγγράμματι μέμνησαι, τῆς ἀληθείας ἐστὶ κατασκευαστικός, οἱ δὲ λοιποὶ δύο, πρὸς τῷ τὴν ἀλήθειαν κατασκευάζειν σαφέστερον, καὶ τὰ δοκοῦντά τισι δι' ἀπειρίαν αὐτῶν ἀνθίστασθαι λύουσι. Καὶ ἀπήτησε μὲν αὐτοὺς ἐξ ἡμῶν ὁ λογιώτατος | ἐν μοναχοῖς καὶ θεοφιλέστατος Ἰωσὴφ ὁ ἐν A f. 201v | **Θεσσαλονίκῃ, ἡμεῖς δέ, τῇ τοῦ ἀνδρὸς ἀρετῇ χαριζόμενοι καὶ φιλίᾳ, οὐκ ἠμελήσαμεν ἱκανοποιῆσαι τὴν αὐτοῦ ὁσίαν ψυχὴν τοῖς λόγοις ἐκείνοις, ὑπὲρ ὧν καὶ πολλὴν ἡμῖν ὡμολόγηκε χάριν. Ἐκεῖνος ἐκγράψας πέμψει σοι βουληθέντι τε καὶ ζητήσαντι, καὶ νῦν δέ σου χάριν βραχέα ταυτὶ προσδιοριζόμεθα.**

4.2. Ὧν τοίνυν δημιουργός ἐστιν ὁ Θεός, τούτων πάντων καὶ σωτήρ ἐστι καὶ προμηθεύς, ὅπως εἴη τε καὶ πρὸς τὸ οἰκεῖον ἄγοιτο τέλος ἕκαστα, ἰδιαίτερον δὲ τῶν γενητῶν, ἃ καθάπαξ καὶ διηνεκοῦς δεῖται τῆς θεόθεν ἐπιστασίας, ἰδιαίτερον δ' αὖ τοῦ ἀνθρωπείου παντὸς χρήματος ὡς ἀθανάτου τε τῷ βελτίονι μέρει καὶ πρὸς μεῖζον ἀγαθὸν τεταγμένου ἢ ὡς ἡ παροῦσα ἔχει ζωή, ὡς ἄνευ τῆς ἐκ Θεοῦ χορηγίας οὐ δυναμένου τοῦ τέλους τυχεῖν, ὑπερφυοῦς ὄντος, διὰ τὰς ἐκ τοῦ συνημμένου σώματος δυσχερείας καὶ πολλῶν ἄλλων εἵνεκα λόγων· ἰδιαίτερον δὲ ἐν ἀνθρώποις τῶν πιστῶν προνοεῖ τὸ τῆς πίστεως ἐν αὐτοῖς αὔξων δῶρον τῇ περὶ τὰ ἄλλα κηδεμονίᾳ. Καὶ πάντων μὲν ὁμοίως αὖθις τῶν πιστῶν προνοεῖ τὰ ἐς τὴν παροῦσαν συντελοῦντα ζωήν, τῶν δὲ σπουδαιοτέρων ἐπὶ τὸ βέλτιον αὐτοῖς προνοεῖ. Οὐ γὰρ δίδωσιν ἅπερ αὐτοὶ διὰ φιλοσοφίαν ἀπαρνοῦνται καὶ φεύγουσιν, ἀλλὰ τὴν αὐτῶν γνώμην ῥώννυσιν ἄνωθεν πρὸς τὴν τούτων φυγήν, καὶ τοὺς μετὰ πολλῆς τῆς ἐπ' αὐτῷ πεποιθήσεως τὰς τῆς ζωῆς ἀναγκαίας φεύγοντας χρείας καὶ τό γε ἐφ' ἑαυτοῖς θνήσκειν μέλλοντας ὑπ' ἀτροφίας

4.2.,1 Ὧν…**8** λόγων·] Cf. *Compendium SG* III, 147 (V 221, 26- 222, 28); cf. *Compendium SG* III, 148 (V 222, 22-24); cf. *Compendium SG* III, 155 (V 233, 11-15).

4.1.,2 οὕτω νῦν] *suppl. in marg. sinis.* A **6** μὲν] — *adn. in marg. dext.* m^2 A **12** ὁσίαν] *suppl. in marg. sinis.* A **4.2.,10** αὖθις] *supra lineam* A

τε καὶ γυμνότητος *τρέφει διὰ κοράκων* **καὶ τῇ τῆς θείας ἰσχύος σκέπει περιβολῇ. Τοῖς δὲ τῶν τοιούτων ἢ μὴ βουλομένοις κατατολμᾶν ἢ μὴ δυναμένοις διὰ τὸ προσηλῶσθαι τῷ βίῳ μηδὲ προσέχειν πάνυ τοῖς τῆς θείας ἀγάπης σπουδάσμασι τὰς περὶ τὸ ζῆν ἐπιθυμίας πληροῖ, τοῖς μὲν αὐτάρκειαν διδούς, τοῖς δὲ καὶ περίσσειαν συγχωρῶν, ᾗ καλῶς τε χρῆσθαι καὶ φαύλως ἐπ' αὐτοῖς κεῖται λοιπόν.**

4.3. Γενικὸν μὲν οὖν ὄνομα τῆς εἰς ἅπαντα διηκούσης ἐπιστασίας Θεοῦ 'διοίκησίς ἐστι καὶ 'κυβέρνησις'. Ταύτης δὲ ὅσον μὲν περὶ τὰ ὄντα ἐστί, τῷ τοῦ γένους ὀνόματι 'διοίκησις' λέγεται καὶ 'κυβέρνησις', ὅσον δὲ περὶ τὰ γενητὰ εἰδικῶς καλεῖται 'πρόνοια' καὶ 'προμήθεια'. Ἐπεὶ δὲ καὶ τὰ γενητὰ καθόλου
A f. 202r | διαιρεῖται | εἵς τε τὴν ἀνθρωπίνην καὶ λογικὴν καὶ εἰς τὴν ἄλογον φύσιν, ὅσον μέν ἐστι τῆς θείας προνοίας περὶ τὰ ἄλλα τῶν γενητῶν, ἰδίως τῷ τοῦ γένους ὀνόματι καλεῖται 'πρόνοια', ὅσον δέ ἐστι περὶ τὴν ἀνθρωπείαν φύσιν 'προορισμὸς' ἰδίως καλεῖται. Τῶν μὲν γὰρ ἄλλων τὸ τέλος πρόσκαιρον καὶ αὐτοῖς συγκαταλυόμενον (φημὶ δ' ὅσον αὐτοῖς ἑκάστοις ἀπεκληρώθη πρὸς ἑαυτά), ἀνθρώπου δὲ τὸ τέλος αἰώνιον· τοῦτο δ' ἐστὶν ἡ μακαρία ζωή, ἐν τῇ γνώσει τῆς ἀληθείας συνισταμένη καὶ τῇ ἀμέσῳ τοῦ Θεοῦ καὶ νοερᾷ θεωρίᾳ ὑπερφυῶς ὡς ἐφικτὸν διδομένη τοῖς τούτου τυχεῖν τοῦ τέλους σπουδάσασι μετὰ τῆς ἐκ Θεοῦ χορηγίας. Ἡ μὲν γὰρ πρόσκαιρος αὕτη ζωὴ γυμνασίου πρὸς ἀρετῆς ἐπίδειξιν χρείαν πληροῖ, ὅρος δὲ αὐτῆς προσεχὴς μὲν ὁ τῆς ψυχῆς ἐκ τοῦ σώματος χωρισμός, τελευταῖος δὲ ἡ ἐπομένη μετ' αὐτὸν ἀίδιος ζωή, οἰκείως τῇ ἐνταῦθα ζωῇ ἀποδιδομένη τοῖς μὲν σπουδαίοις εὐδαίμων καὶ μακαρία, ἀθλία δὲ τοῖς ἐναντίως ἔχουσι. Διπλῆς οὖν οὔσης ἐν ἀνθρώποις τῆς ζωῆς καὶ τοῦ ταύτης ὁμοίως τέλους διπλοῦ καὶ τοῦ μετὰ τὴν ἐντεῦθεν ἔξοδον

4.2.,16 τρέφει…κοράκων] III Reg. 27, 6. **4.3.,14** ὅρος…**15** χωρισμός] Cf. Phot., *Amph*., 240 (21, 22-26).

4.3.,1 Γενικὸν…**4** προμήθεια] Cf. *Compendium SG* III, §64 (V 156, 4-7); cf. *Compendium ST* I, Q23 A.2 (V 361, 20-24). **4** Ἐπεὶ…**8** καλεῖται] Cf. *Compendium ST* I, Q23 A1 (V 360, 34-361, 5); cf. *Compendium ST* I, Q23 A1 (V 361, 12-15). **8** Τῶν…**13** χορηγίας] Cf. *Compendium ST* I, Q23 A1 (V 360, 28-33); cf. *Compendium SG* III, 25 (V 131, 33-34); cf. *Compendium SG* III, 25 (V 132, 6-7); cf. *Compendium SG* III, 25 (V 132, 9-12); cf. *Compendium SG* III, 26 (V 133, 5-8); cf. *Compendium SG* III, 52 (V 146, 34-38). **13** Ἡ…**17** ἔχουσι] Cf. *Compendium ST* I, Q64 A.4 (V 415, 30-35); cf. *Compendium ST* II, Q19 A.8 (=10) (VI 25, 26-29). **17** Διπλῆς…**24** ἀποδεδοκιμασμένοι] Cf. *Compendium ST* I, Q23 A.3 (V 361, 25-33).

---

16 τε] *supra lineam* A **4.3.,14** προσεχὴς] — *adn. in marg. dext*. m^2 A

τέλους ἡ μὲν περὶ ὅλην τὴν βελτίω μοῖραν τοῦ Θεοῦ διάταξις ‘ὁρισμὸς’ τοῦ Θεοῦ καλεῖται ἰδίως τῷ τοῦ γένους ὀνόματι· καὶ διὰ τὸ ἐξ ἀιδίου εἶναι αὐτὸν ἐν τῇ θείᾳ γνώσει καὶ πρὸ τῆς τῶν πραγμάτων ὑπάρξεως ‘προορισμὸς’ λέγεται, καὶ οἱ ταύτης ὄντες τῆς μοίρας ‘ὡρισμένοι’ τε καὶ ‘προωρισμένοι’ καλοῦνται. Ἡ δὲ περὶ ὅλην τὴν χείρω μοῖραν διάταξις ‘ἀποδοκιμασία’ λέγεται, καὶ οἱ ταύτην πεπονθότες δικαίως ‘ἀποδεδοκιμασμένοι’. Οἱ μὲν γὰρ συνεργοῦνται πρὸς τἀγαθὸν καὶ ὁρίζονται, ἀλλὰ καὶ οἴκοθεν ἄγονται πάσῃ σπουδῇ, οἱ δὲ συνεργοῦνται μέν, ἀλλ’ ἀφηνιάζοντες ἀποπίπτουσι. Καὶ οἱ μὲν ζῶσι κατὰ Θεὸν εὐσεβῶς τοῖς θείοις χρώμενοι δώροις, οἱ δὲ κατὰ τὰς ματαίας ζῶσιν ἐπιθυμίας καὶ τοῖς δώροις πρὸς αὐτὰς κατακέχρηνται· διὸ καὶ οἱ μὲν εὐσεβεῖ τέλει τῆς παρούσης ζωῆς ἐξίασι καὶ εὐέλπιδι, οἱ δὲ οἰκείως τελευτῶσι τῇ ὅλῃ τῆς ζωῆς μοχθηρίᾳ. Καὶ οἱ μὲν εἰς τὸ οἰκεῖον ἄγονται τέλος, τὴν ἐν οὐρανοῖς ζωήν, πατρικῶς, οἱ δὲ εἰς τὰς ἐν ᾅδου κατασπῶνται ποινὰς τῇ δικαστικῇ τοῦ δεσπότου ῥάβδῳ.

5.1. Οἱ τοίνυν σοφώτατοι τῆς ἐκκλησίας διδάσκαλοι, νοοῦντες μὲν ἐξηπλωμένως τὸν θεῖον | ‘προορισμόν’, καθόσον τὴν σύμπασαν περὶ τοὺς A f. 202^{v} | **ἀνθρώπους πάντας σημαίνει πρόνοιάν τε καὶ προδιάταξιν οἰκείως τῇ ἀιδίῳ τοῦ Θεοῦ γνώσει περὶ τῶν ἐσομένων, πάντας ἀνθρώπους καὶ ‘προνοεῖσθαι’ καὶ ‘προορίζεσθαι’ λέγουσιν ἐκ Θεοῦ. Οὐ γὰρ δύνανται τῆς θείας διατάξεως τὰ περὶ τοὺς ἀπίστους ἢ πονηροὺς ἐξαιρεῖν, ὅσα περὶ τὴν ζωὴν αὐτῶν εἰσι καὶ τὴν τελευτήν, οὔτ’ ἀληθές ἐστιν· οὐ γὰρ τῶν ἀγαθῶν μόνων ἄρχει Θεὸς ἢ τῶν πιστῶν, ἀλλὰ καὶ τῶν ἄλλως διακειμένων, ὥστε καὶ προνοεῖ πάντων καὶ τὰ ἑκατέρων οἰκείως αὐτοῖς διατίθησιν. Εἰ δὲ προνοεῖ, καὶ ὁρίζει καὶ προορίζει, τὰ μὲν τῶν ἀγαθῶν ἅπαντα ἐπὶ τὸ αὐτοῖς βέλτιον, τὰ δὲ τῶν ἄλλως διακειμένων τὰ μὲν ἐπὶ τὸ βέλτιον, τὰ δ’ ἐπὶ τὸ χεῖρον αὐτοῖς, μᾶλλον δὲ πάντα ἐπὶ τὸ χεῖρον αὐτοῖς, ὁπότε καὶ τῆς προσκαίρου ταύτης καὶ ἐπιεικεστάτης κηδεμονίας τίσουσι δίκας, οὐδ’ ὑπ’ αὐτῆς οὐδὲν βελτιοῦσθαι θελήσαντες. Ἁπλῶς δὲ ἐπὶ τὸ βέλτιον καὶ τὰ ἑκατέρων ὁ Θεὸς διατίθησιν· ἀγαθὸν γάρ ἐστιν ἁπλῶς ἡ τῆς θείας δικαιοσύνης ἐκπλήρωσις,**

5.1.,15 ἀγαθὸν…**20** εἰληφόσιν] Cf. Ez. 33, 11; cf. Joh. Damasc., *Exp. Fid*. 43 (200, 29) ; cf. Blemm., *vit. fin.* I (2, 26-29); cf. Theoph. Nic., *de aet. mundi* 36 (33, 23-25).

24 Οἱ…**32** ῥάβδῳ] Cf. *Compendium ST* I, Q23 A.7 (V 363, 14-18).

20 ὀνόματι·] — *adn. in marg. dext.* m^{2} A **23** Ἡ] οἱ *primum scr., deinde corr.* ἡ A **5.1.,3** τε] *supra lineam*

περὶ τοὺς ἀξίους τῆς θείας ἀποστροφῆς καὶ τῆς ἐντεῦθεν αὐτοῖς συναντώσης δίκης, κἂν μὴ προηγουμένῃ τοῦτο θελήσει θέλῃ Θεὸς τῇ πατρικῇ τε καὶ εὐποιητικῇ, ἀλλ' ἡ πονηρία τῶν τέκνων ταύτην μὲν ἀργὸν ἐν αὐτοῖς ποιῇ, ἐνεργὸν δὲ τὴν δικαστικὴν ῥάβδον ὡς πολεμίων τάξιν ἀντὶ υἱῶν εἰληφόσιν. Οὐ μόνον δὲ τὰ περὶ τῆς ζωῆς αὐτῶν διατάττεται, ὡς δὴ τῆς θείας προνοίας εἰς πάντας διατρεχούσης εὐτάκτως **δι' ὑπερβολὴν ἀγαθότητος, ἀλλὰ δὴ καὶ τὰ περὶ τῆς τελευτῆς. Εἰ γὰρ πρὸς τὸν τελευταῖον ὅρον οὐκ ἔστιν ἐλθεῖν οὔτ' ἀποδοκιμασθέντας ἀποτυχεῖν αὐτοῦ ἄνευ τῆς θείας διακρίσεως κατὰ τὴν ἀξίαν ἑκάστων, οὐδ' ὁ καιρὸς τῆς ἐντεῦθεν ἀπαλλαγῆς χωρὶς τῆς θείας διατάξεως δύναιτ' ἂν γίνεσθαι, τοῦ προσεχοῦς ὅρου τῆς ἐντεῦθεν ἐξόδου συνῳδοῦ πρὸς τὸν τελευταῖον ὀφείλοντος εἶναι καὶ πρὸς ἐκεῖνον οἰκείως συμβαλλομένου. Δεῖ γὰρ τῇ μὲν ζωῇ τὸν προσεχῆ τοῦτον ὅρον ἐξομοιοῦσθαι μετ' ἀρετῆς τελειούμενον ἢ πονηρίας, ἢ οὔσης κἂν μὴ δοκῇ τοῖς πολλοῖς, ἢ καὶ πᾶσι φανερουμένης, τῷ δὲ ὅρῳ τούτῳ τὸν ἔσχατον οἰκείως ἐπακολουθεῖν ὅρον, ἐπίτευξιν ὄντα τοῦ τέλους ἢ ἀπότευξιν.**

A f. 203^{r} | **5.2. Διὰ ταῦτα μὲν οὖν | ὡρίσθαί τε ἐκ Θεοῦ καὶ πόρρωθεν ὡρίσθαι τὰ τῆς ζωῆς καὶ τῆς τελευτῆς καὶ τὰ μετ' αὐτὴν ὁμοίως τῶν τε ἀγαθῶν καὶ τῶν φαύλων οἱ διδάσκαλοι λέγουσιν, ἐξηπλωμένως ταῦτα νοοῦντες. Δεῆσαν δέ ποτε τὴν περὶ τοὺς ἀγαθούς τε καὶ φαύλους θείαν διάταξιν εἰδικωτέροις ὀνόμασι διαιρεῖν, τὴν μὲν περὶ τοὺς ἀγαθοὺς διάταξιν τοῦ Θεοῦ 'προορισμὸν' καλοῦσιν, ὡς εἴρηται, 'ἀποδοκιμασίαν' δὲ τὴν περὶ τοὺς φαύλους· καὶ τοὺς διατεταγμένους αὐτοὺς τοὺς μὲν εἰς τὴν αἰώνιον 'προωρισμένους' ζωήν, τοὺς δὲ 'ἀποδεδοκιμασμένους' ἀπ' αὐτῆς λέγουσι, τῇ ἱερᾷ Γραφῇ καὶ λίαν συμβαίνοντες. Ὁ γὰρ ἔνθεος Παῦλος περὶ μὲν τῆς βελτίονος μοίρας** *ἐξελέξατο ἡμᾶς ὁ Θεὸς ἐν ἑαυτῷ πρὸ καταβολῆς κόσμου* **φησὶν ἐν τῇ πρὸς Ἐφεσίους,** προορίσας ἡμᾶς εἰς υἱοθεσίαν**, καὶ αὖ ἐν τῇ**

---

21 τῆς…εὐτάκτως] Sap. Sol. 8:1. **5.2.,10** ἐξελέξατο…**11** υἱοθεσίαν] Eph. 1, 4-5

5.1.,20 Οὐ…**22** τελευτῆς] Cf. *Compendium SG* III, 78 (V 166, 32-167, 1). **27** Δεῖ…**31** ἀπότευξιν] Cf. *Compendium SG* III, 140 (V 217, 12-14). **5.2.,10** ἐξελέξατο…**11** υἱοθεσίαν] Cf. *Compendium SG* III, 150 (V 225, 9-12); cf. *Compendium SG* III, 163 (V 238, 35-37); cf. *Compendium SG* III, 163 (V 239, 3-4); cf. *Compendium ST* I, Q23 A.4 (V 362, 3-4).

---

26 ἐξόδου συνῳδοῦ] — *adn. in marg. sinis.* m^{2} A **30** ὅρον] −**H** *adn. in marg. sinis.* m^{2} A **5.2.,4** τε] *supra lineam* A

πρὸς Ῥωμαίους· *Οὓς προέγνω καὶ προώρισε συμμόρφους* **καὶ τὰ ἑξῆς,** *τούτους καὶ ἐδόξασε*. **Περὶ δὲ τῆς χείρονος μοίρας διὰ τὸ βουληθῆναι αὐτὴν χείρω γενέσθαι ἐν τῇ Πρὸς Ῥωμαίους οὕτω φησίν·** *Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι* 15 *τὴν ὀργὴν καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν* **καὶ τὰ ἑξῆς, τοὺς δ' αὐτοὺς τούτους ἐν τῇ Πρὸς Ἐφεσίους** ἀπηλλοτριωμένους τῆς τοῦ Θεοῦ ζωῆς **καλεῖ καὶ** τῇ καρδίᾳ πεπωρωμένους**, καὶ αὖθις** σκεύη εἰς ἀτιμίαν ξύλινα καὶ ὀστράκινα**, ὥσπερ** ἀργυρᾶ σκεύη καὶ χρυσᾶ **τοὺς ἐκλελεγμένους καλεῖ,** εὔχρηστά τε καὶ εἰς πᾶν 20 ἀγαθὸν ἔργον ἡτοιμασμένα· **οἷς πᾶσι τὸ μὲν ἐσκευάσθαι θεόθεν ἦν, ἡ δ' εὐχρηστία ἢ ἀχρηστία ἐξ ἑαυτῶν γέγονεν. Ὁ δὲ Κύριος ἡμῶν καὶ ἄλλοις μὲν διαστέλλει τούτους ὀνόμασιν, ἀλλὰ καὶ** τῇ τῶν προβάτων τε καὶ ἐριφίων **διαφορᾷ** καὶ τῇ δεξιᾷ τε καὶ εὐωνύμῳ **στάσει, καίτοι βουληθεὶς μὲν ἂν πάντας τῆς βελτίονος εἶναι κλήσεώς τε καὶ τάξεως καὶ τούτου χάριν** 25 **ποιήσας καὶ πᾶσαν τῇ φύσει πρὸς τἀγαθὸν συναρμόσας παρασκευήν, ἀλλὰ λόγῳ καὶ προαιρέσει τούτοις ἀνείθη βιοῦν, οὐδαμόθεν βιαζομένοις. Οὐ τῇ ἱερᾷ δὲ Γραφῇ μόνον, ἀλλὰ καὶ τῷ λόγῳ συμβαίνουσι ταῦτα λέγοντες καὶ φρονοῦντες οἱ διδάσκαλοι. Εἰ γὰρ καὶ ἀμφοῖν ἐπαληθεύει ταῖς μοίραις ἡ πρόνοια τοῦ Θεοῦ καὶ ἡ πρόγνωσις καὶ ὁ προορισμὸς ἁπάσαις ἀνάγκαις** 30 **ἐξηπλωμένως | νοούμενα, ἀλλὰ συνεσταλμένως καὶ εἰδικῶς οἰκειότερόν** A f. 203^{v} | **ἐστι τῇ κρείττονι μοίρᾳ τὸν ὁρισμὸν ἐπιλέγεσθαι. Τέλος γὰρ ἀνθρώπου καὶ ὅρος ἀληθῶς καὶ κυρίως ἡ αἰώνιός ἐστι ζωή, ἧς χάριν γέγονεν, οὐχ ἡ ἐν ᾅδου ποινή, τέλος μὲν οὖσα καὶ αὐτὴ τῇ τῶν τοιούτων προαιρέσει οἰκεῖον, κυρίως δὲ τοῦ τέλους μᾶλλον ἀπόπτωσις τοῦ ἀληθοῦς καὶ γνησίου· καὶ διὰ** 35 **τοῦτο κυρίως ὁρίζει καὶ προορίζει Θεὸς τοὺς πρὸς τὸν ἀληθῆ καὶ γνήσιον σπεύδοντας ὅρον, 'ὁρίζειν' δὲ πρὸς τὴν κακοδαιμονίαν οὐ λέγεται τοὺς ταύτης ἀξίους, ἀλλ' αὐτοὶ μᾶλλον πρὸς τὴν ἀντικειμένην ἄγονται τῆς ἀθλιότητος τάξιν· τοιούτους δ' ὄντας ἀποδοκιμάζεσθαι τοῦ φύσει κειμένου τέλους πᾶσα ἀνάγκη.**

---

12 Οὓς…**13** ἐδόξασε] Rom. 8, 29-30; cf. Anast. S., *qu. et resp.* 99, 3 (157, 27-35); cf. Nic. Meth., *vit. term.* II, 250. **14** Εἰ…**16** ἀπώλειαν] Rom. 9, 22. **17** ἀπηλλοτριωμένους…**18** πεπωρωμένους] Eph. 4, 18. **18** σκεύη…**20** ἡτοιμασμένα] II Tim. 2, 20-21; cf. Bas., *Deus non auct. mal.* 31 (340B-C). **22** τῇ…**23** στάσει] Mat. 25, 33.

---

14 Εἰ…**16** ἑξῆς] Cf. *Compendium SG* III, 161 (V 237, 32-34); cf. *Compendium ST* I, Q23 A.5 (V 362, 20-25). **18** σκεύη…**20** ἡτοιμασμένα] Cf. *Compendium Iae*, Q23, a.5 (V 362, 25-27).

---

34 τοῦ^{2}…γνησίου·] *suppl. in marg. sinis*. A

5.3. Ταύτην τῶν διδασκάλων τὴν ἀκριβολογίαν οὐ συνορῶντες ἔνιοι, τοὺς πονηροὺς καὶ ἀπίστους τῆς θείας ἐκβάλλουσι προνοίας καὶ διατάξεως, ὡς μήτε ζωῆς αὐτῶν τῷ Θεῷ μέλον μήτε τελευτῆς. Οἱ δὲ χυδαιότεροι καὶ περὶ πάντων ἀνθρώπων ὁμοίως οὕτω φρονοῦσιν, ἀόριστά τε καὶ τυχαῖα τὰ τῆς ἀνθρωπίνης ζωῆς τε καὶ τελευτῆς ἐθέλουσιν εἶναι. Οἷ πολλῷ τῶν προτέρων χείρους εἰσίν· ἐπεὶ πρὸς πᾶσαν τὴν ἱερὰν Γραφὴν κωφεύειν τοῦτ' ἐστὶ καὶ τῶν τῆς εὐσεβείας ἀποχωρεῖν ὅρων, ὥς φησιν ὁ μέγας Βασίλειος. Ὁ γὰρ ἔνθεος Παῦλος, τὸ τοῦ Χριστοῦ στόμα, πάντων, **φησί,** τῶν ἀνθρώπων σωτὴρ ἐστιν ὁ Θεός, μάλιστα δὲ πιστῶν**, οὐ περὶ τῆς μελλούσης σωτηρίας τε καὶ ζωῆς αἰωνίου λέγων (οὐδεὶς γὰρ τῶν ἀπίστων ἐκείνης τεύξεται), ἀλλὰ περὶ τῆς ἐν τῇ ζωῇ ταύτῃ προνοίας, ἑπομένως δὲ καὶ τῷ τῆς ζωῆς τέλει (ταὐτὸν γάρ ἐστι τῆς τε ζωῆς καὶ τοῦ τέλους αὐτῆς προνοεῖν) ἢ πατρικῶς ἢ δικαστικῶς τὸ περὶ ἑκάστους δέον ἢ συμφέρον ὁριζομένης τῆς πάντα ἀγούσης σοφίας τε καὶ δυνάμεως. Οὐ τοίνυν ἐξαιρεῖ τῆς θείας περὶ τὸν ἀνθρώπινον βίον οἰκονομίας τοὺς ἀπίστους ὁ Παῦλος, οὐδ' ἔτι μᾶλλον τοὺς πονηρούς, εἰ καὶ μᾶλλον σωτῆρα τῶν πιστῶν εἶναι τίθησιν· καίτοι καὶ πρὸς τὴν μέλλουσαν εὐδαιμονίαν, τό γε ἐπ' αὐτῷ, καὶ τοὺς ἀπίστους σῴζει Θεός, ὡς μηδὲν τῆς εἰς τοῦτο παρασκευῆς αὐτοῖς ὑφιείς, ἀλλὰ σῴζει μᾶλλον ἔργῳ τοὺς τὴν παρασκευὴν δεχομένους καὶ χρωμένους πάνυ καλῶς. Οὕτω καὶ** πάντας ἀγαπᾶν λέγεται πονηρούς τε καὶ ἀγαθούς**,** ἔν γε τοῖς πρὸς τὴν χρείαν τῆς ἐνταῦθα ζωῆς ἀνήκουσιν, οὐ μόνον
A f. 204^{r} | βρέχων τε πᾶσιν ὁμοίως | καὶ τὸν ἥλιον φαίνων **καὶ πάντα δὴ τὰ τοιαῦτα ποιῶν, ἀλλὰ καὶ κινδύνων προφανῶν ἐξαιρούμενος οὐδὲ πιστοὺς μόνον, ἀλλὰ καὶ ἀπίστους ὑπὸ φιλανθρωπίας, καὶ μᾶλλον εἰ δικαίως βιοῖεν.** Δόξα γάρ, φησίν (ἐνταῦθα δηλονότι) καὶ δικαίωσις ἐκ Θεοῦ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, μάλιστα μὲν Ἰουδαίῳ (τῷ περὶ τὸν ἕνα Θεὸν εὐσεβοῦντι), εἶτα καὶ Ἕλληνι (τῷ περὶ τὰ θεῖα πεπλανημένῳ)· τῆς μὲν γὰρ ἀπιστίας ἐκεῖ τὸν οὐκ εὐτυχῆ καρπὸν λήψεται, **τῆς δ' ἄλλης ἀγαθοεργίας οὐκ ἄμισθος ἐνταῦθα καταλειφθήσεται. Μᾶλλον δὲ τοὺς ἀγαθοὺς ἀγαπᾶν λέγεται τῇ πρὸς τὴν**

5.3.,1 Ταύτην…**3** τελευτῆς] Cf. Anast. S., *qu. et resp.* 99, 7 (159, 68-79). **8** πάντων…**9** πιστῶν] I Tim. 4, 10. **20** πάντας…**22** φαίνων] Mat. 5, 44-45. **24** Δόξα…**27** πεπλανημένῳ·] Rom. 2, 10. **29** Μᾶλλον…**34** συνεργεῖσθαι] Cf. Nic. Meth., *vit. term.* I, 231.

5.3.,24 Δόξα…**28** λήψεται] *Compendium ST* II, Q.114 A.5 (VI 150, 15–18).

5.3.,25 δηλονότι] *supra lineam* A

ἀληθῆ τε καὶ μέλλουσαν ζωὴν ἀποβλέψει, ὡς πρὸς αὐτὴν μόνοις συνεργῶν τοῖς πρώτοις ἐπιμεληθῆναι ταύτης θελήσασι καὶ πρώτοις αὐτοῖς Θεόν τε καὶ τὰς ἐκεῖθεν ἐλπίδας ἠγαπηκόσι, συνεργήσας ἂν καὶ πᾶσιν, εἴ γε ἐβούλοντο, μᾶλλον δὲ καὶ συνεργήσας οἰκείως, ἕως ἔδειξαν οὐ χρῄζοντες συνεργεῖσθαι. Τὰς δ' ἄλλας τῆς ἱερᾶς Γραφῆς ἀποφάσεις περὶ τῶν τῆς ζωῆς ὅρων ἔν τε τοῖς ἀγαθοῖς καὶ τοῖς φαύλοις καὶ τοῖς εἰς τὴν αἰώνιον προωρισμένοις ζωὴν καὶ τοῖς αὐτῆς ἀποδεδοκιμασμένοις, καὶ ὡς ἑκάτεροι Θεοῦ προστάξει καὶ ζῶσι καὶ θνῄσκουσιν, ἐν τοῖς προτέροις λόγοις ὄψει συνηθροισμένας· ἐνταῦθα δὲ ἡμῖν ὁ θεῖος Παῦλος ἀρκεῖ. (11[A]) Καὶ περὶ μὲν τοῦ θείου προορισμοῦ τοσοῦτον ἐν τῷ παρόντι, τῶν ἄλλων σοι λόγων ἐχόντων πάντα δηλοῦν, ἃ τῇ περὶ τούτου σκέψει προσήκει· ἄλλο δέ τι σῆς εὐνοίας χάριν προστίθεμεν, ὃ καὶ πέρας ἔσται τοῦ λόγου.

6.1. Τὸν φαινόμενον τοῦτον ὑπὲρ γῆν κόσμον ὑπὸ νόμον τινὰ πεποίηκεν ὁ Θεὸς πολυσχιδῆ καὶ σοφίας πολλῆς γέμοντα, ὡς ἂν ἡ διάφορος καὶ ποικίλη τῶν ἐν αὐτῷ μερῶν κίνησις καὶ διάστασίς τε καὶ συνδρομὴ δουλεύουσα τῷ θείῳ θελήματι πρὸς τὴν τῶν γενητῶν καὶ φθαρτῶν τούτων ὕπαρξιν καὶ διαδοχήν, ἃ πάντα χάριν ἡμῶν εἰσι τῶν ἀνθρώπων, καὶ διαφόρων ἀποτελεσμάτων αἰτία γίνηται, οὐκ εἰδότων μὲν αὐτῶν τῶν τοῦ κόσμου τούτου μερῶν ἃ ποιοῦσι, ταῖς δὲ ἐντεθείσαις αὐτοῖς θεόθεν ἐπιτηδειότησι πρὸς τὸ τοιαῦτα ποιεῖν ἀκουσίως τε καὶ φυσικῶς δουλευόντων. Ὅθεν ταῖς διαφόροις μὲν αὐτῶν, | εὐτάκτοις δὲ κινήσεσιν A f. 204[v] | ἐπιστήσαντες ἔνιοι, εἶτα τοῖς διαφόροις αὐτῶν ἀποτελέσμασιν ἐν τοῖς ὑποκάτω τούτοις τοῖς γενητοῖς, τέχνην μὲν ἐντεῦθεν συνεστήσαντο πάνυ συνετῶς τὰ τοιαῦτα ζητοῦσάν τε καὶ σκοποῦσαν, ἀσυνέτως δὲ θεότητας τοῖς τοῦ κόσμου μέρεσι τούτοις ἀπένειμαν, τὴν ὀργανικὴν αὐτῶν ὑπουργίαν ἐπιστασίαν δημιουργικὴν καὶ θείαν δοξάσαντες. **Ὁμοίως καὶ τὰ γενητὰ ταῦτα τὰ πρὸς τῇ γῇ, νόμοις ἰδίοις ἀνεπαισθήτως δουλεύουσιν φυσικῶς αὐτοῖς ἐντεθεῖσιν ὑπὸ Θεοῦ, καὶ ἡ τῶν ἀνθρώπων ὡσαύτως ζωὴ τοιούτοις ἰδίοις ἄγεται**

6.1.,1 Τὸν…**9** δουλευόντων] Cf. *Compendium SG* III, 24 (V 131, 8-13); cf. *Compendium SG* III, 82 (V 170, 16-19); cf. *Compendium SG* Iv 97 (V 336, 29-32). **4** τὴν…**7** ποιοῦσι] Cf. *Compendium SG* III, 148 (V 222, 22-24) **9** Ὅθεν…**14** δοξάσαντες] Cf. *Compendium SG* III, 38 (V 137, 9-11); cf. *Compendium SG* III, 84 (V 170-171, 35-2); cf. *Compendium SG* III, 93 (V 179, 24-28). **13** τὴν…ὑπουργίαν] Cf. *Compendium SG* III, 94 (V 180, 35-38); cf. *Compendium ST* I, Q104 A.2 (V 483, 34-39).

6.1.,3 τε] *supra lineam* A **15** αὐτοῖς] *supra lineam* A **16** τοιούτοις] *suppl. in marg. sinis.* A

νόμοις. Τοὺς τοιούτους τοίνυν ἐν πᾶσι τοῖς κτίσμασι τοῦ Θεοῦ νόμους ‘φυσικοὺς νόμους’, ὡς ἐγκτισθέντας ὑπὸ Θεοῦ τῇ τῶν πραγμάτων φύσει, καλοῦσιν οἱ περὶ ταῦτα δεινοί. Ἐκ μὲν δὴ τῶν ἐν τοῖς ὑψηλοτέροις νόμων ὄμβροι καὶ ἀνομβρίαι, ψύχη καὶ καύματα, ἐξ ὧν αὖθις ὑγιειναὶ καταστάσεις καὶ νοσώδεις ἀνθρώποις τε καὶ τοῖς ἄλλοις ζῴοις συμβαίνουσι καὶ καρπῶν εὐφορίαι καὶ ἀφορίαι, καὶ αὖται διάφοροι κατὰ τὰς τῶν τόπων διαφοράς· ἐκ δὲ τῶν ἐν τοῖς γενητοῖς τούτοις νόμων, ἃ τῶν ἀνθρώπων χάριν γίνονται καί εἰσιν, αἱ διάφοροι τῶν ἀνθρώπων πρὸς τὸ ζῆν χρεῖαι πληροῦνται· ὡσαύτως ἐκ τῶν ἐν ἀνθρώποις φυσικῶν νόμων ἡ τῶν ἀνθρώπων διοικεῖται ζωή, οὐδὲ συνίσταται μόνον, ἀλλὰ καὶ φθείρεται. Ὑποδείγματος χάριν, νόμος ἐστὶ φυσικός, τοῦ κυβερνήτου καλῶς εἰδότος κυβερνᾶν καὶ τοῦ ναυάρχου νουνεχοῦς ὄντος, τὴν ναῦν διασῴζεσθαι, ἂν μὴ κρείττων ἀπάσης τέχνης καὶ συνέσεως ὁ κλύδων γένηται· ἂν δὲ ἀνεπιστήμων ὁ κυβερνῶν ᾖ ἢ ὁ ναύαρχος καὶ εἰδότι τῷ κυβερνήτῃ μὴ θέλῃ προσέχειν μηδ’ ἐῴῃ κυβερνᾶν αὐτὸν ὡς ἐπίσταται, νόμος ἐστὶ τὴν ναῦν ἀπόλλυσθαι κλύδωνος ἐγερθέντος μεγάλου, ἢ καὶ κλύδωνος ἄνευ ἐξ ἄλλων δήπουθεν αἰτιῶν. Ἐκ τοῦδε τοῦ νόμου συμβαίνει σῴζεσθαι μὲν πλείστους ὄντας τοὺς πλέοντας δυοῖν ἕνεκα καλῶς πράττειν εἰδότων, ἀπόλλυσθαι δὲ δυοῖν ἀσυνέτων ἕνεκα καὶ ἀνεπιστημόνων.

6.2. Τοὺς τοιούτους τῆς θείας τάξεως νόμους, οἳ τὴν φύσιν <δια>τρέχουσιν ἅπασαν, ἀνάγκη πᾶσα σῴζεσθαι τό γε μέρος τῆς φύσεως, καὶ τούτους ὁ Θεὸς σῴζεσθαι τοὺς νόμους ὡς ἐπίπαν ἐᾷ, μὴ μεταποιῶν (οὐ
A f. 205r | **γὰρ ἂν | ἑαυτῷ καὶ τοῖς οἰκείοις ἐπιτάγμασιν ἔμελλεν ἀντιβαίνειν), ἀλλ’ οὐ δουλεύει τοῖς ὑπ’ αὐτοῦ τεθειμένοις νόμοις καθάπαξ τοῖς κτιστοῖς καὶ μετὰ τῶν κτισμάτων ἠργμένοις, καιροῖς δὲ ἰδίοις καὶ περιστάσεσιν ἰδίαις τούτους μεταποιεῖ πρὸς τὸ βέλτιον ἢ τὸ χεῖρον τοῖς ἐντεῦθεν ὠφελησομένοις ἢ βλαψομένοις ἀξίως, καὶ τῆς χρείας τοῦ προσκαίρως μεταβαλεῖν εὐθὺς πεπαυμένης, ὡς τὴν ἀρχὴν ἐτάχθησαν, αὖθις σῴζονται. Τοιούτων τεραστίων, τοιούτων θαυμάτων ἱστορία πλήρης πᾶσα νέα καὶ παλαιά, καὶ ἱερὰ καὶ τῶν ἔξωθεν. Καὶ νῦν ἐλάττω μὲν καὶ πλήθει καὶ τάξει**

6.2.,4 ἀλλ…**9** σῴζονται] Cf. Marc. Eug., *vit. term.* 354.

6.2.,4 ἀλλ…**9** σῴζονται] Cf. *Compendium SG* III, 99 (V 188, 13-15).

6.2.,2 διατρέχουσιν] τρέχουσιν A, *restituit* Œ

τῶν προτέρων ἐκείνων, δι' ἃς αἰτίας εὐλόγους ἐν ἰδίῳ λόγῳ δεδείχαμεν σπουδαίως ἐξειργασμένῳ, γίνονται δ' οὖν καὶ ὁρῶσι καλῶς οἱ μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ βλέποντες. Σῴζει μὲν γὰρ δι' ἀρετὴν τῶν ἐμπλεόντων ναῦν βυθισθεῖσαν ἂν τῇ τοῦ ναυάρχου τε καὶ κυβερνήτου μωρίᾳ, συγχωρεῖ δέ ποτε μετὰ πονηροτάτων τῶν ἐμπλεόντων καὶ τῶν ἀρχόντων τῆς νηὸς τοιούτων καὶ ἀγαθούς τινας ἐπὶ συμφέροντι βυθίζεσθαι τῶν οἰκείων ψυχῶν, καὶ ἄλλους ἀπαλλάττει παραδόξως δι' ἀγγέλων ἐξάγων τοῦ βυθοῦ μέλλοντας ἀποπνίγεσθαι, ἄλλους ἐμπλεύσαντας ἂν τῇ μελλούσῃ κατάγνυσθαι νηὶ ἢ βυθίζεσθαι ἐπ' αὐτῷ τῷ μέλλειν ἐμβαίνειν αἰφνιδίοις καὶ ἀδοκήτοις εἴργει κωλύμασι· καὶ ἀλγοῦσι μὲν εὐθὺς εἰργμένοι τοῦ πλοῦ, τὸν δὲ θεῖον οἶκτον ἐπεγνωκότες καλῶς μετὰ τοῦ τὴν ζωὴν αὐτοῖς προστεθῆναι καὶ τὴν ψυχὴν ἔτι βελτιοῦνται τῷ θαύματι. Οὕτω καὶ πόλις παρανομοῦσα φαύλοις ἄρχουσιν ἐγχειρίζεται, καὶ τοὐναντίον πολίταις ἀγαθοῖς οἰκουμένη· δώσω γάρ, **φησίν,** ἄρχοντας ὑμῖν κατὰ τὰς καρδίας ὑμῶν**. Καὶ βασιλεὺς μὲν ἀπολαύει τῆς τοῦ λαοῦ πονηρίας, τῆς αὐτῆς αὐτῷ τε καὶ τοῖς ἀρχομένοις πληγῆς θεόθεν ἠκούσης, ὅτι δυνάμενος κωλύσαι τῆς πονηρίας οὐκ ἐκώλυσε χαριζόμενος· ἀπολαύει δὲ καὶ λαὸς τῆς βασιλικῆς πονηρίας συμπαιδευόμενος, ὡς ἀντὶ τοῦ διορθοῦν ἢ ἐλαύνειν, <θω>πείαις αὔξων τὴν αὐτοῦ πονηρίαν.** Ἁμαρτία γάρ**, φησί,** βασιλέως ἐπὶ κεφαλὴν λαοῦ**, καὶ τὸ ἀνάπαλιν. Καὶ πόλις ἡ μὲν ἁλίσκεται τοῖς πολεμίοις παρὰ δόξαν, ἡ δὲ παρὰ δόξαν αὐτῶν ἀπαλλάττεται, | τῶν ἐπὶ τοῖς τοιούτοις κρατησάντων** A f. 205^{v} | **νόμων ὑποχωρούντων τῷ θείῳ θελήματι. Καὶ οἱ μὲν παραδίδονται τοῖς ἐχθροῖς ἐπ' ἀπωλείᾳ διὰ πονηρίαν αὐτῶν ἀνήκεστον, οἱ δὲ πρὸς βελτίωσιν τοῦτο πάσχουσιν.** Θαρσεῖτε γάρ**, φησὶν ὁ Θεὸς διὰ Ἱερεμίου τοῖς Ἰουδαίοις,** ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν**. Καὶ τοὺς ἀπηνέστερον δὲ χρησαμένους τοῖς κατὰ θείαν δουλωθεῖσι συγχώρησιν ἐπεξέρχεται, ὡς διὰ Ἡσαΐου φησίν·** Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. Νῦν ἥξει ἐπὶ σὲ ἐξαίφνης ἀπώλεια, καὶ οὐ μὴ γνῷς**. Ἀλλὰ καὶ**

---

25 δώσω…ὑμῶν] Ier. 3, 15; Mat. 7, 12; Mat. 22, 37-40; Luc. 16, 16; cf. Anast. S., *qu. et resp.* 65, 1 (115, 1-10). **30** Ἁμαρτία…λαοῦ] Cf. Prov. 29, 4; cf. Sir. 10, 1-3. **35** Θαρσεῖτε…**36** ἀπώλειαν] Bar. 4, 5-6. **38** Ἐγὼ…**39** γνῷς] Is. 47, 6-9. **39** Ἀλλὰ…**7.1.,25** συμμετρουμένην] Cf. Nic. Meth., *vit. term.* II, 241; cf. *ibid.* II, 252.

---

26 Καὶ…**30** πονηρίαν] Cf. *Compendium SG* III, 81 (V 169, 29-38).

---

23 πόλις] πόλιν *corr.* A, **29** θωπείαις] πείαις A, *restituit* Œ

τῶν ἐν μέσοις τοῖς φαύλοις καὶ διὰ τοῦτο μέλλουσιν ἐγκαταλείπεσθαι σπουδαίως βιούντων οἱ μὲν προαρπάζονται τῶν ἡξόντων δεινῶν, οἱ δὲ ζῶντες τῇ πείρᾳ τῶν συγγενῶν κακῶν ἀμείνους δοκιμαζόμενοι γίνονται.

7.1. Καὶ λοιμὸν ὁμοίως ἐν ἔθνει ἢ πόλει μέλλοντά τε καὶ προλεγόμενον ὑπὸ τῶν ταῦτα σκοπούντων ἐκ τῆς κοσμικῆς, ὡς εἴρηται, διαθέσεως οὐκ ἐᾷ γίνεσθαι, καὶ ἀρξάμενον παύει, τῶν ἀνθρώπων εὐσεβῶς καὶ μετὰ τῆς προσηκούσης τῶν κακῶν μετανοίας ἐπὶ τὸν θεῖον οἶκτον καταφευγόντων· μὴ ἐπελθόντα δ' ἂν ἐκ φυσικῶν αἰτίων αὐτὸς κινῶν τὴν φύσιν ἐπάγει ποινηλατῶν ἢ παιδεύων. Καὶ τῶν μὲν γονέων εὐδαιμονούντων κατὰ τὸν ἔξωθεν βίον, φαύλως δὲ βιούντων ἄλλως, οἱ μὲν πατέρες αὐτοὶ ποινηλατοῦνται τῆς ἐκ τῶν διαδόχων πολυειδοῦς ψυχαγωγίας στερούμενοι, οἱ δὲ παῖδες τῆς τῶν φυσάντων ἀπαλλάττονται πονηρίας, ᾗ πᾶσα ἀνάγκη διαρκοῦντας ἐξομοιοῦσθαι ἢ καὶ χείρους γίνεσθαι λίαν εὐλόγως. Ἀλλὰ καὶ τοῖς γονεῦσιν εἰς συναίσθησιν ἐρχομένοις ἡ τῶν παίδων ὠφέλιμος εὐτυχία καθίσταται τὰς γνώμας βελτιουμένοις καὶ σωφρονέστερον βιοῦν ἀρχομένοις, ὥσπερ αὖ ἀναισθήτως ἔχουσι καὶ μετὰ τὴν πληγὴν προσθήκη ποινῶν ἄλλη γίνεται, ὥσπερ δι' Ἱερεμίου τοῖς Ἰουδαίοις ὠνείδιζεν ὁ Θεός· Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν· παιδείαν οὐκ ἐδέξασθε καὶ τὰ λοιπά. Δυστυχούσης καὶ τῆς πατρίδος, οἵ τε παῖδες ἀπαλλάττονται ζωῆς τοιαύτης ἀγαθῇ προνοίᾳ Θεοῦ, οἵ τε πατέρες τῆς ἐπὶ τοῖς
A f. 206ᵛ | παισὶ λύπης δυστυχῶς βιοῦν μέλλουσιν, | εἰ καὶ παραυτίκα θρηνοῦσι καὶ κόπτονται ἀγνοοῦντες ἢ τοῦ πάθους ἡττώμενοι· **ἡ δὲ παρ' ἡμῖν, οὕτω δεδουλωμένοις δεινῶς καὶ πολυειδῶς περὶ τὰ μέγιστα τῶν ἀγαθῶν κινδυνεύουσιν, ἀναχώρησις τῶν νεωτέρων τῷ θανάτῳ μετ' εὐσεβείας, ποίων οὐ μειζόνων εὐεργεσιῶν τοῦ Θεοῦ τοῖς γε νοῦν ἔχουσι; Περὶ δὲ τῶν εἰς μέτρον ἡλικίας ἐλθόντων ἄλλος ἂν εἴη λόγος, καὶ διάφορον εἶναι καὶ ποικίλην τὴν τοῦ Θεοῦ περὶ τῶν τοιούτων ψῆφον εἰκός, τῇ διαφόρῳ προαιρέσει τούτων συμμετρουμένην.**

7.2. Ἐπεὶ δὲ τῶν τοιούτων αὐτόθι ζητημάτων πρόφασις ἦν ὁ λοιμός, μικρόν τι καὶ περὶ τούτου προσθήσομεν, σοὶ τὰ πλείω σκοπεῖν ἀφέντες.

7.1.,14 ὥσπερ … **19** ἡττώμενοι·] *Ep.*. 300, (222–224). **15** Μάτην … **16** ἐδέξασθε] Ier. 2, 30. **19** ἡ … **22** ἔχουσι] Cf. Marc. Eug., *ad Reg.* 28, 518-29, 523.

7.1.,17 τοιαύτης] *supra lineam* A **22** μειζόνων] μείζων A, *correx.* Œ,

Φθορὰ μὲν ἀέρος ἐστὶν ὁ λοιμὸς ἢ φυσικαῖς αἰτίαις παρεπομένη κατὰ τὸν θεῖον ἐπ' αὐταῖς νόμον, εἰ συγχωροίη Θεὸς καὶ μὴ εἴργειν βούλοιτο καθάπαξ ἢ παύειν εὐθὺς γενομένην ἄλλοις λόγοις οἰκονομίας τὸν ἐν τῇ φύσει νόμον νικῶσιν, ἢ προστάξει θείᾳ καὶ παρὰ τὸν τοιοῦτον νόμον συμβαίνουσα· ὡς γὰρ δεσπότης τῆς φύσεως δύναται καὶ παύειν κινουμένην αὐτὴν καὶ κινεῖν οὐκ ἂν κινηθεῖσαν. Ὁποτέρα δ' εἴη ἡ τοῦ ἀέρος αὕτη φθορά, τέλος καὶ σκοπὸν ἔχει προσεχῶς μὲν τὴν τῶν ἀπαλωτέρων σωμάτων ἦτταν ἢ τῶν εὐπαθεστέρων, περαιτέρω δὲ τὴν τῶν ἀποθνῃσκόντων πανταχόθεν ὠφέλειαν καὶ τὴν τῶν ἀποβαλλόντων αὐτοὺς ἢ βελτίωσιν ἤ, μενόντων ἀμεταβλήτων, συμφορῶν μειζόνων προσθήκην. Οὐ πάντες δὲ θνῄσκουσιν οἱ νοσήσαντες οὐδὲ πάντες οἱ τοιοῦτοι νοσοῦσι, διὰ τὸ δεῖν περὶ πάντας τὴν θείαν κρατεῖν βούλησιν, τούς τε ἀνόσους διαμείναντας, τούς τε ἡττηθέντας ὑπὸ τῆς νόσου, τούς τε μετὰ ταύτην ἀπηλλαγμένους, ἄλλο τι περὶ ἄλλους βουλομένην καὶ μὴ τὴν αὐτὴν περὶ πάντας φέρουσαν ψῆφον, μᾶλλον δὲ οὐ φέρουσαν μόνον ἐπὶ τῶν πραγμάτων, ἀλλὰ καὶ πόρρωθεν αὐτὴν ἐνεγκοῦσαν ἐν τῇ προαιωνίῳ γνώσει περὶ πάντων τῶν ἔργων αὐτοῦ καὶ τῶν λογικῶν, ὡς εἴρηται, μάλιστα, ὧν καὶ μᾶλλον ἀσυγκρίτως φροντίζει. Κἂν σῴζωνταί τινες μεθιστάμενοι, οὐδὲ τοῦτο χωρὶς προνοίας θείας ἔστιν ἐπὶ τὸ μεταστῆναι κινούσης τὴν γνώμην αὐτῶν καὶ μὴ συνορώντων, οἳ καὶ μένοντες ἀπηλλάττοντο ἄν, κἂν θνῄσκωσιν ἕτεροι | καὶ μεθεστῶτες, ὡς ἄνευ θείου A f. 206^{v} |
μεθεστῶτες θελήματος θνῄσκουσιν, οἳ καὶ μένοντες οὐκ ἂν ἀπηλλάττοντο. Καὶ μεθίστανται μὲν ἔνιοι πρὸς ὀλίγον, εἶτα θνῄσκουσιν ἐπανιόντες καὶ τοῦ λοιμοῦ πεπαυμένου εἰς μείζω τῆς ἀληθείας ταύτης φανέρωσιν. Ἄλλοι ῥύονται μὲν μεταστάντες, χείρους δὲ τὴν προαίρεσιν γίνονται, καὶ τῇ φυγῇ τὴν σωτηρίαν ὁριζόμενοι μόνῃ καὶ μὴ τῷ θείῳ θελήματι, ἄξιοι τοιούτου κρημνοῦ καὶ διὰ τοῦτο συγχωρηθέντες ἐμπεσεῖν αὐτῷ, ὃς μυρίων θανάτων ἂν εἴη χείρων τοῖς πεπονθόσιν. Εἰ δὲ περὶ τῶν ἑτεροδόξων τις μέλλοι ζητεῖν (ἐπεὶ καὶ τούτους ὑπὸ τὴν θείαν πρόνοιαν ὁ ἱερός, εἰ καὶ μὴ καθάπαξ

7.2.,3 Φθορὰ…**30** πεπονθόσιν] Cf. Marc. Eug., *vit. term.* 355-356. **13** Οὐ…νοσοῦσι] Cf. Germ., *vit. term.* 10, 10-16. **14** διὰ…βούλησιν] Cf. Germ., *vit. term.* 12, 3-5.

7.2.,7 καὶ] *supra lineam* A **9** αὕτη] *supra lineam* A **13** οὐδὲ…νοσοῦσι] *post* νοσήσαντες *suprscr.* ⌜ ·/· ⌝, *ref. in marg. sinis., quod iter. et scr.* = ·/· οὐδὲ πάντες οἱ τοιοῦτοι νοσοῦσι A **22** οἳ…23 ἄν] *post* συνορόντων *suprscr* = ⌜ ·/· ⌝ *ref. in marg. infer.*, *quod iter. et scr.* = ·/· οἳ καὶ μένοντες ἀπηλλάττοντο ἄν A

ὁμοίως, τίθησι λόγος), ἐξῆν μὲν καὶ περὶ τούτων τά γε ἐς τὸν λοιμὸν ἥκοντα θεωρῆσαι· ἀλλὰ παρείσθω, σιωπῇ μᾶλλον νῦν πρέποντα.

7.3. Πῶς οὖν οὐκ ἐν πᾶσι τοῖς εἰρημένοις, ἃ δράξ εἰσιν ἐκ πελάγους, ἡ θεία περὶ τοὺς ἀνθρώπους διαφαίνεται πρόνοια, μὴ μόνον τοὺς νοῦν ἔχοντας καὶ εὐσεβοῦντας καταλάμπουσα πάνυ καλῶς, ἀλλὰ καὶ ταῖς ἱεραῖς μαρτυρουμένη Γραφαῖς; Ἧς ἔργον οὐ μόνον δεξίωσις περὶ τοὺς ἀγαθοὺς οὐδ' οἶκτος περὶ τοὺς φαυλοτέρους, εὐθὺς ἐπειδὰν μετανοίᾳ διορθωθῶσιν, 5
ἀλλὰ καὶ ψῆφος τῆς θείας δικαιοσύνης περὶ τοὺς ἀνιάτως ἔχοντας. Καὶ καθόλου φάναι, ἡ περὶ ἀνθρώπους τῆς θείας προνοίας διάταξις ἡ μὲν ἐνεργεῖ περὶ ἕκαστον, οὐ χωρίζουσα τοῦ πλήθους οὔτε τοῦ κοινοῦ περὶ ταῦτα νόμου τῆς τάξεως, ἀλλ' ἢ συνευεργετοῦσα ἢ συγκολάζουσα, ἡ δὲ χωρίζουσα παραδόξως ἐνεργεῖ περὶ οὓς ἂν βουληθείη, καὶ ἢ σῴζει χωρὶς ἢ 10
δικαστικῶς ἐπεξέρχεται. Ἀλλ' ἔνιοι περὶ ταῦτα πάντα τυφλώττοντες τὰς μὲν ἁμαρτίας οὐ φεύγουσι, τὰς τῆς θείας ὀργῆς αἰτίας, ἐπὶ δὲ τόπους μεταβαίνουσιν ἄλλους ἐπὶ τῶν ὤμων ἢ τῶν ἵππων οἷς ἐποχοῦνται τὰ τῆς ὀργῆς ἐφόδια φέροντες, καὶ τότε καθ' ἡμέραν ᾄδουσι· Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, Κύριε, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; **Ἔδει γὰρ** 15
ἐκ τῶν τῆς ὀργῆς πρῶτον κρυπτομένους αἰτίων καὶ ἀσφαλιζομένους, εἶτα τῷ δυναμένῳ σῴζειν καὶ οἴκοι πεπιστευκότας καὶ ἠρεμοῦντας, τότε τὴν ᾠδὴν ᾄδειν ἐκείνην ἀληθῶς τε ὁμοῦ καὶ φρονίμως. Ὁ δὲ Θεὸς δι' ἄκραν ἀνεξικακίαν, ἀδιορθώτων μενόντων, εἶτα φευγόντων, εἶτα καὶ ψευδῶς
A f. 207r | **ᾀδόντων | ἀνέχεται, ὁπόσων ἀνέχεται, αὐτὸς μόνος εἰδὼς τὸν τῆς τοιαύτης** 20
ἀνοχῆς σκοπὸν καὶ τὸ πέρας;

8. Σὺ δὲ χάριν ἔχε τῷ φωτίσαντί σε Θεῷ καὶ ἐπ' αὐτῷ μόνῳ πεποιθὼς ἴσθι, ὅς ἐστι σωτὴρ καὶ προμηθεὺς πάντων ἀνθρώπων καὶ κηδεμών, μάλιστα δὲ πιστῶν, ὃς θανατοῖ καὶ ζωογονεῖ, εἴπερ οὐδεὶς ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει **κατὰ τὸν θεῖον ἀπόστολον. Τῷ μεγάλῳ Βασιλείῳ** 25
πείθου γνησίως λέγοντι· Μὴ αὐτόματόν τινα εἴπῃς συντυχίαν τῶν γινομένων ἀνθρώποις, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος, πονηρὰ

7.3.,14 Ποῦ…**15** φύγω] Ps. 138, 7. **24** ὃς…ζωογονεῖ] I Reg. 2, 6 **26** Μὴ…**28** εὐσεβείας] Bas., *in Jul.* 31 (248C).

7.3.,24 ὃς…ζωογονεῖ] Cf. *Compendium ST* I, Q49 A.2 (V 389, 26). **26** Μὴ…**28** σεαυτῷ] Cf. *Compendium SG* III, 93 (V 179, 24-28).

---

33 νῦν] *supra lineam* A

δόγματα ὑποτιθέμενος σεαυτῷ, μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας**, καὶ ἄλλοθι πάλιν λέγοντι·** Προδιατεταγμένον ἐν ἑκάστοις τὸ τῆς ζωῆς ἐστι τέλος, κἀντεῦθεν ἄνισα καὶ ἀνόμοια γίνεται τοῖς ἀνθρώποις τοῦ βίου τὰ πέρατα κατὰ τὰς περὶ ἕκαστον διαφόρους καὶ ἡμῖν ἀνεννοήτους τοῦ θείου οἰκονομίας, ἄνισα μὲν κατὰ τὸν χρόνον δηλονότι, ἀνόμοια δὲ κατὰ τὸν τρόπον**. Τὰ αὐτὰ δὲ καὶ τοῖς ἄλλοις πᾶσι διδασκάλοις λέγουσι πείθου· σφραγὶς δὲ πάντων ὁ μέγας Μάξιμος, ὁμολογητῶν καὶ θεολόγων ἡ κορωνίς, ἐν καῳ κεφαλαίῳ τῆς δ-ς Ἑκατοντάδος οὕτω λέγων·** Ὅι τρόπῳ βούλεται ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων διορίσας ζωὴν Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον εἴτε ἄδικον**. Τούτοις ἅπασι πείθου, μᾶλλον δὲ κάλλιστα ποιεῖς αὐτοῖς μὲν πεπεισμένος,** τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους **κατὰ τὴν Παύλου συμβουλὴν** παραιτούμενος**.**

---

29 Προδιατεταγμένον…**32** τρόπον] Bas., *in Jul.* 31 (249C); cf. *id., mor.* 11 / *mort*. 32 (1269A-B). **35** Ὅι…**37** ἄδικον] Max., *cap. theol.* II, (90,1228D); cf. Max., *qu. Thal. XXXII (*90, 384C). **38** τοὺς…**39** παραιτούμενος] I Tim. 4, 7.

D f. 63r

Ὅπως ἡ θεία πρόνοια καὶ ὁ θεῖος προορισμὸς οὐκ ἀναιρεῖ τὸ χρήσιμον τῶν εὐχῶν

1. Ὁ περὶ τῆς θείας προνοίας λόγος πολλὴν μὲν ἐκ τῶν εὐτάκτως γινομένων ἐν τῷ παντὶ τῷδε τὴν ἰσχὺν ἔχει τῆς ἀποδείξεως, βεβαιοῦται δὲ μάλιστα ταῖς περὶ τὴν λογικὴν ἡμῶν φύσιν ἐπιμελείαις τοῦ θείου. Οἷς καὶ πολλοὶ τῶν ἔξωθεν σοφῶν πρότερον καὶ μετὰ ταῦτα τῶν καὶ τῇ θείᾳ κατηυγασμένων σοφίᾳ καὶ δι' αὐτῆς ὑψηλότερον ταυτὶ τεθεωρηκότων ἀκριβῶς ἐπιστήσαντες, τὴν μὲν εὐσεβῆ καὶ σοφὴν περὶ τοῦ πάντων τῶν ὄντων προνοεῖν τὸν Θεὸν ἐβεβαίωσαν δόξαν, τὴν δὲ τῶν ἄλλως φρονούντων γνώμην ἐξήλεγξαν ἐν ἰδίοις περὶ τούτου συγγράμμασι· καὶ ἡμεῖς δὲ περὶ τῆς θείας προνοίας καὶ τοῦ θείου προορισμοῦ ἐν τέτταρσι πεπραγματεύμεθα λόγοις, φίλων σπουδῆς ἀξίων ἐπὶ τοῦτο κεκινηκότων. Ὡς οὖν τῆς θείας προνοίας περὶ τὰ ὄντα πᾶσιν ὡμολογημένης τοῖς νοῦν ἔχουσιν, πρὸς τὸ ζητούμενον ἐπιστραφησόμεθα νῦν μόνον, καὶ δείξομεν ὅπως αὐτῆς ὑποτεθειμένης βεβαίως καὶ ἡ τῶν εὐχῶν σῴζεται χρεία καλῶς. Ἔνιοι γὰρ τὸ μὲν εὔχεσθαι κοινῇ πᾶσιν ἀνθρώποις σπουδαζόμενον ἴσασιν, ὡς μηδὲ εἰκῇ τοῦτο γίνεσθαι, εἰκῇ δ' ἂν σπουδασθῆναι νομίζουσιν τῆς θείας προνοίας πάντα ἀγούσης καὶ πρὶν γενέσθαι καὶ εἶναι προοριζούσης. Οἵ, Θεὸν εἶναι φρονοῦντες, εἰς τὸν αὐτὸν τοῖς ἀθέοις ἐντεῦθεν

D f. 63v | **καταφερόμενοι κρημνὸν | ἀγνοοῦσιν ὡς τὸ μὴ τῶν οἰκείων ἔργων προνοεῖν τὸν Θεὸν εἰς ταὐτὸν ἦκον τῷ μηδὲ τὴν ἀρχὴν αὐτὰ ὑποστῆσαι, ἀφ' αὑτῶν δὲ ὑφεστηκότα καὶ ἀφ' αὑτῶν ἄγεσθαι ᾗ ἂν τύχοι ἕκαστα. Οὐδὲν δὲ ἁπλοῦν ὁρίσασθαι πρῶτον καὶ διελέσθαι τὴν πρόνοιαν δι' ὀλίγων καὶ ὅσον ἐς τὴν παροῦσαν χρείαν ἀρκεῖ, καὶ οὕτως ἰέναι πρὸς τὸ ζητούμενον.**

2.1. Εἰ τοίνυν ἔστι Θεός, καὶ ποιητής ἐστιν αὐτὸς πάντων τῶν ὄντων. Εἰ γὰρ Θεός ἐστιν, αὐτογενής ἐστι καὶ ἀναίτιος καὶ παρ' οὐδενὸς ἔχων τὸ εἶναι· καὶ εἰ μόνος ἐστὶ Θεός, εἷς ὤν, καὶ μόνος ἐστὶν αὐτογενὴς καὶ ἀναίτιος. Αὐτοῦ δὲ μόνου τοιούτου ὄντος τὰ ὄντα δεῖ πεποιῆσθαι ὑπ'

---

40 Ὅπως…**41** εὐχῶν] Cf. *Compendium SG* III, 95 (V 182, 24-25) (titulus) [= cf. *SG* III, 95 (*Taurin.* XXIII, 238v 24) (titulus)]. **1.,12** καὶ…**13** καλῶς] Cf. *Compendium SG* III, 96 (V 184, 21-23).

1.,4 μὲν] *supra lineam* Ακαὶ[2] *supra lineam* C **6** καὶ σοφὴν] *add.* D **10** λόγοις] βιβλίοις C **11** ὡμολογημένης] ὡμολογημένοις *primus scripsit, deinde superscr. et corr*. -ης C **12** ἔχουσιν] ἔχουσι C **15** νομίζουσιν] νομίζουσι C

αὐτοῦ· ἀνάγκη τε γὰρ ἄλλοθεν αὐτὰ τὸ εἶναι ἔχειν οὐκ ἀφ' αὑτῶν, ἑνὸς ὄντος τοῦ αὐτογενοῦς, καὶ παρὰ τοῦ Θεοῦ τοῦτ' ἔχειν, ἑνὸς ὄντος καὶ μόνου Θεοῦ τυγχάνοντος. Εἰ τοίνυν ποιητής ἐστι πάντων τῶν ὄντων, καὶ προμηθεὺς ἄρα ἐστὶν αὐτῶν καὶ προνοητής. Προνοεῖν μὲν γάρ ἐστι τὸ εἰς τἀγαθὸν τάττειν καὶ τὸ οἰκεῖον τῷ προνοουμένῳ τέλος, ὡς καὶ προνοεῖσθαι τὸ εἰς τἀγαθὸν τάττεσθαι. Εἰ δὲ μὴ εἰκῇ τὰ ὄντα γεγόνασι καὶ εἰσί, δεῖ πρὸς τὸ οἰκεῖον ἕκαστα τέλος τάττεσθαι καὶ ἑπομένως πρὸς τὸ κοινὸν ἅπασι καὶ ἔσχατον τέλος, ὅπερ ἐστὶ τὸ κοινότατον καὶ ἔσχατον ἀγαθόν. Ἀλλὰ περὶ μὲν τοῦ ἐσχάτου τέλους νῦν οὐ σκεπτέον, ἀλλ' ὅτι δεῖ πάντα πρὸς τὸ οἰκεῖον ἀγαθὸν τάττεσθαι, ὡς τοῦτο τέλος ὂν αὐτοῖς τοῦ γενέσθαι τε καὶ εἶναι. Ἀφ' αὑτῶν δὲ οὐ γινόμενα, οὐδ' ἂν ὑφ' αὑτῶν πρὸς τὸ οἰκεῖον ἄγοιντο τέλος. Τάττοιντο ἂν οὖν ὑπὸ τοῦ πεποιηκότος αὐτὰ Θεοῦ. Τάττονται δὲ οὐ τῷ πεποιῆσθαι μόνον τοιαῦτα καὶ δύναμιν αὐτοῖς ἐντεθεῖσθαι τοῦ καὶ πρὸς τὸ τέλος ἄγεσθαι τὸ οἰκεῖον τῇ τε αὑτῶν φύσει καὶ τῇ ἐν τῷ παντὶ τῷδε τάξει ἑκάστων, ἀλλὰ καὶ τῷ τὰς σφῶν ἐνεργείας ἰθύνεσθαι πρὸς τὸ τοῦ τέλους μᾶλλόν τε καὶ ῥᾷον τυγχάνειν· τοῦτο δὲ 'διοικεῖσθαί' τε καὶ 'κυβερνᾶσθαι' καλοῖτ' ἂν δικαίως. Πάντων ἄρα τῶν ὄντων οὐ δημιουργὸς μόνον ἐστὶν ὁ Θεός, ἀλλὰ καὶ προμηθεὺς καὶ διοικητὴς καὶ κυβερνήτης, καὶ πάντα ἡ θεία πρόνοια διατρέχει τὰ ὄντα, ἔργῳ μὲν καὶ τῇ ἐκβάσει ἐν αὐτοῖς οὖσα | D f. 64r **| καὶ θεωρουμένη ὑπὸ τῶν θεωρεῖν δυναμένων, τῷ δὲ λόγῳ τῆς τοιαύτης τῶν ἐπ' αὐτοῖς γινομένων τάξεως ἐν τῷ Θεῷ οὖσα ὡς λόγος τις τῆς πρὸς τὸ τέλος τάξεως. Ἡ δὲ τάξις προὔργου μὲν ἔστι πρὸς τὸ ἔσχατον ἀγαθὸν καὶ κοινότατον πάντων τέλος, ὅπερ ἐστὶν αὐτὸς ὁ Θεός, ἡ μία καὶ μόνη πάντων ἀρχή, ἑπομένως δέ γε καὶ πρὸς τὰ τέλη τῶν οἰκείων ἑκάστοις ἐνεργειῶν, δι' ὧν προσεχῶς τε πρὸς τὸ οἰκεῖον ἕκαστα τέλος ἄγοιντ' ἂν καὶ δι' αὐτῶν**

2.1.,8 Προνοεῖν…**10** τάττεσθαι] Cf. *Compendium ST* I, Q23 A1 (v 360, 29-30). | Προνοεῖν…**15** τέλος] Cf. *Compendium SG* III, 3 (V 117, 35-36); cf. *Compendium SG* III, 22 (v 126, 23-24) (titulus). **12** ἔσχατον τέλος] Cf. *Compendium SG* III, 17 (V 124, 36-37). **13** δεῖ…**21** δικαίως] Cf. *Compendium SG* III, 64 (V 155, 38-156, 9). **21** Πάντων…**26** τάξεως] cf. *Compendium ST* I, Q22 A1 (V 359, 9-13); cf. *Compendium SG* III, 97 (V 184-185, 35-38). **24** τῷ…**26** τάξεως] Cf. *Compendium ST* I, Q56 A.2 (V 396, 38-39). **26** Ἡ…**28** ἀρχή] Cf. *Compendium SG* III, 17 (V 124, 18) (titulus); cf. *Compendium SG* III, 17 (V 124, 25-26); cf. *Compendium SG* III, 64 (V 155, 29-32). | Ἡ…**30** τέλος] Cf. *Compendium ST* I, Q103 A1 (V 481, 1-4). | πρὸς…**27** Θεός] Cf. *Compendium SG* I, 40 (V 28, 11).

2.1.,10 τάττεσθαι] ἄγεσθαι C **16** Τάττοιντο] τάττοιντ' C **19** τέλους] τέλος *primus scripsit, deinde interp.* .o.ς. *et superscr.* -ους, m^2 C **25** τῶν ἐπ] † *symb. supra lineam inter* τῶν *et* ἐπ', *ref. in marg. sinis. quod rep. et scr.* † ἴσως ὑπ' αὐτῆς (*prop. pro* ἐπ' αυτῆς), m^2 C

πρὸς τὸ πᾶσι κοινότατον καὶ ἔσχατον τέλος. Ταυτὶ δὲ τοῖς μὴ λίαν ἄγεσθαι λόγῳ δυναμένοις ἐκ τῶν ἔργων τοῦ Θεοῦ γένοιτ' ἂν δῆλα προσέχειν ἐθέλουσι, καὶ μάλιστά γε ἐπ' ἀνθρώπων, ταὐτὸν δ' εἰπεῖν ἐφ' αὑτῶν.

2.2. Αὐτοὶ γὰρ ποιηταί εἰσι καὶ δημιουργοὶ κατὰ τὴν ἐν σφίσι θείαν εἰκόνα**, ἄλλοι ἄλλων τῇ τε τάξει διαφερόντων καὶ τοῖς οἰκείοις ἑκάστων τέλεσιν, καὶ ποιηταί εἰσιν οὐ μόνον ὑφειμένων ἔργων, ἀλλὰ καὶ οἰκείων τῇ φύσει, ὧν εἰσι πατέρες. Τούτων οὖν πάντων οὐ ποιηταί εἰσι μόνον, ἀλλὰ καὶ προνοηταί, ὅπως εἷέν τε καὶ εὖ εἶεν, ὡς ἑκάστοις τὸ εὖ εἶναι προσήκει καὶ ὡς αὐτοὶ προνοεῖν τούτου δύναιντ' ἂν καὶ εἰδεῖεν. Καὶ τόδε προηγουμένως μὲν ἀρετῆς ἐστιν ἔργον καὶ ἀγαθότητος, ἧς ἑαυτῶν χάριν φροντίζουσιν καὶ ἄλλων, καὶ μάλιστά γε τοῦ κοινῇ ὠφελίμου, ὁπόσοις τοῦτο ἁρμόττει, βασιλεῦσί τε καὶ ὅλως ἄρχουσιν, ἑπομένως δὲ καὶ τῆς ἀνθρωπίνης καὶ δυνατῆς αὐτοῖς σοφίας ἔργον ἐστίν, εἶτα καὶ τῆς τῇ σφῶν φύσει προσηκούσης δυνάμεως. Τούτων δὲ τῶν τριῶν αἰτίων τῆς εὐποιητικῆς προνοίας ὑπεροχή τε καὶ ὕφεσις ἐν ἀνθρώποις ἔστιν οὐκ ὀλίγη, καὶ ταῖς τούτων διαφοραῖς οἰκείως διάφορος ἡ περὶ τὰ ἔργα προθυμία τε καὶ σοφία καὶ ἰσχὺς συναντᾷ, ὡς τῇ τῶν αἰτίων τούτων διαφορᾷ καὶ τὴν ἐν τοῖς ἔργοις διάφορον πρὸς τὸ οἰκεῖον ἑκάστοις ἀγαθὸν τάξιν γίνεσθαι. Εἰ τοίνυν ἐκ Θεοῦ τούτοις κεκόσμηνται τοῖς πλεονεκτήμασιν, δι' ὧν αὐτοῖς καὶ ποιηταῖς εἶναι καὶ δημιουργοῖς καὶ προνοηταῖς ἔτι καὶ κυβερνήταις περίεστιν, ὡς δὴ μετὰ τοῦ εἶναι καὶ πάντων αὐτοῖς τῶν καλῶν ἐκεῖθεν ἡκόντων, πῶς οὐ πολλῷ μᾶλλον ὁ Θεὸς προμηθεὺς ἔσται τῶν ἔργων αὐτοῦ πάντων καὶ διοικητὴς καὶ κυβερνήτης,**

D f. 64^{v} **ὡς δὴ καὶ τῶν πρὸς ταῦτα φερόντων πλεο | νεκτημάτων, ἀγαθότητός τε δηλαδὴ καὶ σοφίας καὶ δυνάμεως, οὐσιωδῶς αὐτῷ προσηκόντων, οὐδὲ μᾶλλον ἑνὸς ἢ τῶν λοιπῶν, ἀλλ' ἐπίσης ἁπάντων καὶ ἀπείρως πάντων καὶ τῇ τῆς οὐσίας ἀπειρίᾳ οἰκείως; Τὸ δ' ὅπως καὶ αὐτοῖς τοῖς ποιήμασιν**

2.2.,2 εἰκόνα] *Gen*., 1:26.

2.2.,1 Αὐτοὶ…**4** πατέρες] Cf. *Compendium ST* I, 4 (V 342, 24-29); cf. *Compendium ST* I, Q22 A.2 (V 359, 19-20). **19** πῶς…**24** οἰκείως] Cf. *Compendium SG* II, 2 (V 61, 15-16); cf. *Compendium SG* III, 154 (V 228, 17-19); cf. *Compendium STI* I, Q88 A.3 (V 464, 14-16). **24** Τὸ…**26** διακονίας] Cf. *Compendium SG* III, 100 (V 189, 12-14).

2.2.,3 τέλεσιν] τέλεσι C **5** τε] *supra lineam* D **7** ἀγαθότητος ἧς] † *symb. supra lineam, inter* ἀγαθότητος *et* ἧς, *ref. in marg. dext., quod rep*. † *sine prop*., m^{2} C **8** φροντίζουσιν] φροντίζουσι C **17** πλεονεκτήμασιν] πλεονεκτήμασι C

ὀργάνοις τῆς κυβερνήσεως κέχρηται καὶ τὸ ποικίλον τῆς τοιαύτης ἐκ τῶν δούλων διακονίας, πλείστου λόγου τε καὶ θαύματος ἄξιον ὄν, παρείσθω νῦν, ἰτέον δὲ μόνον πρὸς τὸ ζητούμενον.

3. Ἡ θεία τοίνυν πρόνοια πάντα μὲν διαλαμβάνει τὰ τοῦ Θεοῦ ἔργα, ἧς ἄνευ οὐδὲν ἂν ὅλως εἴη καὶ σῴζοιτο· οὐδὲν γὰρ ἔστιν αὐτοῖς ἀφ' αὑτῶν ἀγαθόν, θεόθεν δὲ ἅπαντα. Ἀλλὰ νῦν ὅσον αὐτῆς περὶ ἀνθρώπους ἔστι μόνον προὔργου σκοπῶμεν. Αὕτη τοίνυν ἡ θεία πρόνοια πάντας διατρέχει τοὺς ἀνθρώπους, ἔργον αὐτοῦ ὄντας καὶ τῶν φαινομένων ἔργων τὸ κάλλιστον, διαφόρως μέντοι γε κατὰ τὴν ἑκάστων τάξιν τε καὶ ἀξίαν. **Τὸ μὲν γὰρ εἰς τὸν Θεὸν ἦκον μία ἂν ἦν ἡ περὶ πάντας ἀνθρώπους αὐτοῦ πρόνοια·** πάντας γὰρ ἀνθρώπους θέλει**, φησί,** σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν**.** Διὸ καὶ μίαν αὐτοῖς ἀρχῆθεν τάξιν τε καὶ ἀξίαν ἔνειμεν, ἐκ δὲ τῆς διαφόρου τῶν ἀνθρώπων προαιρέσεώς τε καὶ τάξεως καὶ ἡ τάξις τῆς περὶ αὐτοὺς προνοίας ποικίλλεται. **Τῶν μὲν γὰρ ἀπίστων, ὅσον εἰς τὴν παροῦσαν αὐτῶν ἥκει ζωήν, προνοεῖ μόνον, ὁμοίως δὲ καὶ τῶν πιστῶν μέν, ἁμαρτωλῶν δέ (**λάμπειν**, φησί,** τὸν ἥλιον ἐπὶ ἀγαθοὺς καὶ πονηροὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους**), καὶ ἐκ δυοῖν τούτων ἔργων τῆς περὶ τὸ κοινὸν τῶν ἀνθρώπων θείας προνοίας, κεφαλαιωδεστέρων τε ὄντων καὶ ἐκδήλων, καὶ τὰ ἄλλα τῆς θείας προνοίας ἔργα πρὸς πάντας διαβαίνειν ὁμοίως δηλοῦνται τὰ ἐς τὴν παροῦσαν ζωὴν τείνοντα. Τοῖς δὲ δικαίοις, μάλιστα μὲν ἂν καὶ πιστοὶ ὦσι, τὸ τῆς προνοίας ἀγαθὸν ἐπιλάμπει, ἧττον δὲ τοῖς ἀπίστοις. Διὸ καὶ εἴρηται·** δόξα παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, πρῶτον μὲν Ἰουδαίῳ **(τουτέστι πιστῷ),** εἶτα καὶ Ἕλληνι **(τουτέστιν ἀπίστῳ).** Δόξαν **δὲ δεῖ νοεῖν ἐνταῦθα οὐ τὴν ἀίδιον ἐκείνην καὶ μέλλουσαν, ἀλλὰ τὴν ἐν τοῖς προσκαίροις ἐπιφαινομένην αὐτοῖς ἐκ τῆς θείας ἀγαθότητος ἀμοιβὴν τῶν | τῆς δικαιοσύνης ἔργων. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἐναργῶς ὁ θεῖος Παῦλος** | D f. 65^{r} |

3.,7 πάντας^{2}…**8** ἐλθεῖν] I Tim. 2, 3-4; cf. Theoph. Nic., *de aet. mundi* 36 (33, 23-25). **13** λάμπειν…**14** ἀδίκους] Mat. 5, 44-45. **19** δόξα…**20** ἀπίστῳ] Rom. 2, 10.

3.,1 Ἡ…**3** ἅπαντα] Cf. *Compendium SG* III, 92 (V 178, 8-11). **4** Αὕτη…**6** ἀξίαν] Cf. *Compendium SG* III, 111 (V 195, 18-23); cf. *Compendium SG* III, 111 (V 195, 30-32). **7** πάντας^{2}…**8** ἐλθεῖν] Cf. *Compendium SG* III, §159 (V 236, 6-7); cf. *Compendium ST* I, Q19 A.6 (V 355, 4-17). **8** Διὸ…**11** ποικίλλεται] Cf. *Compendium SG* III, 113 (V 197, 15-21); cf. *Compendium ST* I, Q22 A.3 (V 360, 15-20).

3.,4 προὔργου] *add*. D

παρίστησι· προνοεῖ γάρ, φησίν, ὁ Θεὸς πάντων ἀνθρώπων, μάλιστα δὲ πιστῶν, **οὐκοῦν καὶ πάντων μὲν πιστῶν, μάλιστα δὲ τῶν κατὰ λόγον τε καὶ νόμον βιούντων καὶ τὰ πρὸς τὸ τέλος φέροντα πάσῃ μετιόντων σπουδῇ.**

4.1. Οὐκοῦν πάντων ἀνθρώπων τῆς θείας ἀπολαυόντων προνοίας ἐν τῇ ζωῇ ταύτῃ κατὰ τὴν κοινοτέραν ἐκδοχὴν τοῦ τῆς προνοίας ὀνόματος, οἱ πίστει καὶ βίῳ μεμορφωμένοι καλῶς προνοίας εἰδικωτάτης μόνοι τυγχάνουσιν. Αὐτοῖς τε γὰρ προὔργου περὶ τῆς αἰωνίου μέλει ζωῆς ὡς ὑπουργῷ καὶ συνέργῳ μόνον τῷ σώματι κεχρημένοις καὶ ὡς πάροδον διατρέχουσι τὴν ὧδε ζωήν, καὶ ὁ Θεὸς αὐτῶν προνοεῖ τῇ αὐτῶν προθέσει οἰκείως, πάντα αὐτοῖς πρὸς τἀγαθὸν συνεργῶν καὶ πρὸς τὸ τέλος συμπροβιβάζων μετὰ τοῦ μηδὲ τῆς ζωῆς αὐτῶν ἀμελεῖν, ἐς ὅσον αὐτοῖς φροντὶς ἔστι περὶ αὐτῆς ἔμφρων τε καὶ τῷ ζητουμένῳ τέλει οἰκεία. Οὗτοι δὲ μόνοι ‘προωρισμένοι’ εἰσὶ καὶ καλοῦνται, ὡς εἰς τὴν αἰώνιον προωδηγημένοι ζωήν. ‘Προωρίσθαι’ δὲ λέγονται οὐχ ὡς ἠναγκασμένοι, ἀλλ’ ὡς, καὶ πρὶν αὐτοὺς ὡρίσθαι ὑφ’ αὑτῶν ἤτοι τετάχθαι πρὸς τὸ οἰκεῖον τέλος, προεγνωσμένοι τῷ Θεῷ, ὅτι ὁρισθήσονταί τε καὶ τῆς αἰωνίου ζωῆς ἐφικέσθαι ἀξιωθήσονται εὐσεβείας αὐτῶν εἵνεκα καὶ ἀρετῆς. Καὶ τοῦτό ἐστι τὸ ‘προωρίσθαι’ αὐτούς, τὸ πόρρωθεν ἐγνῶσθαι τῷ Θεῷ ὡς ὡρισμένους πρὸς τὸ οἰκεῖον τέλος τοὺς τό γε ἐφ’ αὑτοῖς ὀψέ ποτε ὁρισθησομένους. Αὐτοὶ μὲν γὰρ οὐκ ἀεί εἰσιν, ἀλλὰ γεννώμενοι· εἶτα ζῶντες ἐνταῦθα κατὰ λόγον τε καὶ νόμον πάσῃ αὐτῶν σπουδῇ μετὰ τῆς ἐκ Θεοῦ βοηθείας πρὸς τὸ προϋποτεθειμένον αὐτοῖς ἐκ τοῦ δημιουργοῦ καὶ πατρὸς τέλος ὁρίζονται, καὶ πρὶν ὁρισθῆναι ἀφ’ αὑτῶν ὁριστέοι εἰσίν. Ὁριστέοι δὲ ὄντες καὶ ὁρίζονταί ποτε, καὶ ὡρισμένοι τότε εἰσί. Λέγονται μὲν γὰρ ‘ὁρίζεσθαι’ καὶ ἐντεῦθεν, ἅτε τὴν πρὸς τὸν ὅρον καὶ τὸ τέλος συντείνοντες ἐπιμελῶς τε καὶ ἀδιαλείπως ὁδόν. Ὁρίζονται δὲ κυριώτερον καὶ ὡρισμένοι εἰσίν, ἐπειδὰν ἀπηλλαγμένοι τῆς ἐνταῦθα διόδου | τοῦ ὅρου τε ἐφίκωνται καὶ τοῦ τέλους καὶ οὐκέτι τρέχοντες ὦσιν ἐπὶ τὸν ὅρον, ἀλλ’ ἤδη κατειληφότες. Αὐτοὶ μὲν οὖν καθ’ αὑτοὺς οὕτως ὁρίζονταί τε καί εἰσιν

D f. 65v

---

24 προνοεῖ…**26** σπουδῇ] I Tim. 4, 10. **4.1.,1** Οὐκοῦν…**4** τυγχάνουσιν] Cf. Dem. Cyd., *de contemn. morte,* XVI (31, 1–3); cf. Marc. Eug., *ad Reg.* 24 (379-380).

4.1.,26 Αὐτοὶ…**33** παρεῖναι] Cf. *Compendium ST* I, Q23 A1 (V 360, 34-361, 5).

4.1.,6 ὁ] *add.* D **13** Θεῷ] *add.* D

ὡρισμένοι. Ἐν δὲ τῇ ἀιδίῳ τοῦ Θεοῦ γνώσει καὶ ποιητικῇ καὶ προνοητικῇ πάντων, ᾗ καὶ τὰ μέλλοντα πάρεισι καὶ ὡς παρόντα πάντα γινώσκονται, 'προωρισμένοι' καί εἰσι καὶ καλοῦνται, τῆς ἐν τῇ λέξει ταύτῃ προθέσεως αὐτοῖς μὲν οὐδὲν προστιθείσης πλέον ἐν τῷ αὐτῶν ἔργῳ, τῇ δὲ θείᾳ προνοίᾳ τὸ οἰκεῖον φυλαττούσης ἀξίωμα, τὸ προϋφεστάναι δηλονότι τῶν ἐσομένων πάντων τοὺς λόγους ἐν τῇ τοῦ ποιητοῦ τε ἅμα καὶ προνοητοῦ διανοίᾳ καὶ ἀιδίους ἀιδίῳ παρεῖναι.

4.2. Ἐντεῦθεν οὖν δῆλον ὡς ὁ θεῖος προορισμὸς τῆς θείας προνοίας μέρος ἐστίν. Ἡ μὲν γὰρ πρὸς ἀνθρώπους ἅπαντας διατρέχει, διαφόρως μέντοι γε κατὰ τὴν ἑκάστων τάξιν τε καὶ ἀξίαν, ὁ δέ γε προορισμὸς μόνων ἐστὶ τῶν πρὸς τὴν αἰώνιον ζωήν, ἣ τὸ τέλος τῆς ἐνταῦθα ζωῆς ἐστίν, σπουδῇ τε οἰκείᾳ καὶ χορηγίᾳ θείᾳ ὁριζομένων. Καὶ ὥσπερ ἡ περὶ τοὺς ἀνθρώπους πρόνοια μέρος ἐστὶ τῆς περὶ τὰ ὄντα πάντα προνοίας, καθό εἰσιν αὐτοὶ μέρος τι τῆς τῶν ὄντων καὶ προνοουμένων πάντων ὁλότητος (ὁ γὰρ λόγος τῆς περὶ αὐτοὺς ἰδίας προνοίας ἐξοχικῶς τὴν περὶ τὰ ἄλλα περιέχει πρόνοιαν), οὕτω καὶ τῆς περὶ τοὺς ἀνθρώπους πάντας προνοίας μέρος ἐστὶν ἡ περὶ τοὺς προωρισμένους εἰς τὴν αἰώνιον ζωὴν πρόνοια. Ἀλλ' οὐδὲν ἧττον καὶ περιοχή ἐστιν αὕτη ἐκείνης, ὅτι σκοπός ἐστι καὶ τέλος τῆς ὅλης τοῦ Θεοῦ προνοίας. Τά τε γὰρ ἄλλα πάντα τῶν ἀνθρώπων χάριν γέγονε καὶ ἔστι, καὶ οἱ ἄνθρωποι τοῦ προωρίσθαι ἕνεκα καὶ σεσῶσθαι· ἀλλ' ἐκεῖνα μὲν καὶ ἄκοντα τῷ περὶ τοὺς ἀνθρώπους ὑπουργοῦσι θείῳ σκοπῷ ὡς φύσει πρὸς τὴν τοιαύτην ὑπουργίαν ἀφωρισμένα, τῶν δὲ ἀνθρώπων, ἅτε προαιρέσει τετιμημένων, τῷ μεγίστῳ τῶν εἰς αὐτοὺς θείων δώρων, τὸ μὲν πλεῖστον ἀφηνιάζον ἀποχωρεῖ τοῦ θείου σκοποῦ, ὅς ἐστι τὸ οἰκεῖον κατά τε φύσιν καὶ χάριν τέλος αὐτῶν. Ὀλίγον δέ ἐστιν ἐν τῇ τῶν ἀποδεδοκιμασμένων παραθέσει τὸ προωρισμένον τε καὶ σῳζόμενον, εἰ καὶ ἁπλῶς πλεῖστόν ἐστι καὶ πάντα νικῶν ἀριθμόν. | Ὅτι δὲ καὶ περὶ αὐτοὺς τοὺς προωρισμένους ποικίλη καὶ D f. 66r |

---

27 Ἐν…**28** γινώσκονται] Cf. Pleth., *fat.* 68. **31** τὸ[2]…**33** παρεῖναι] Cf. Nic. Meth., *vit. term.* I, 234. **4.2.,19** Ὀλίγον…ἐστιν] Bas., *mor.* 14 / *jud.* 32 (1300D).

---

30 τῇ…**33** παρεῖναι] Cf. *Compendium ST* I, Q14 A. 11 (V 350, 38-351, 1); cf. *Compendium ST* I, Q15 A.3 (V 352, 5-8); cf. *Compendium ST* I, Q22 A1 (V 359, 10-12); cf. *Compendium ST* I, Q56 A.2 (V 396, 38-39). **4.2.,21** Ὅτι…**23** Θεῷ] Cf. *Compendium ST* I, Q23 A.2 (V 362, 20-22). | Ὅτι…**28** συμμετρούμενον] Cf. *Compendium ST* I, Q23 A.8 (V 363, 37-364, 3).

4.2.,4 ἐστίν] ἐστι C

διάφορος ἡ τῆς θείας προνοίας διάταξις, τῷ λόγῳ μὲν ἀιδίως ἐν τῷ προορίζοντι καὶ προνοοῦντι Θεῷ, τῷ δὲ ἔργῳ χρονικῶς ἐν αὐτοῖς τοῖς ἐγχρόνως ὁριζομένοις (κατὰ γὰρ τὰς διαφόρους ὁδοὺς τῆς ἐν αὐτοῖς σπουδαίας ζωῆς καὶ θεοφιλοῦς ἐνταῦθά τε διαφόρως αὐτοῖς τὸ τῆς προνοίας βοήθημα συναντᾷ καὶ ὁδηγεῖ καὶ συνεπωθεῖ καὶ πάντα τρόπον ἀμύνει, κἀκεῖ διάφορον αὐτοὺς τὸ τῆς εὐδαιμονίας διαδέχεται κάλλος τοῖς διαφόροις τῶν ἐργασιῶν βαθμοῖς συμμετρούμενον), ταῦτα καὶ τὰ τοιαῦτα ἐν τοῖς περὶ τοῦ προορισμοῦ πλείστοις ἡμῶν συγγράμμασιν ἐξητασμένα παρίεμεν νῦν, ἐπὶ δὲ τὴν ἐνισταμένην χρείαν ἐρχόμεθα, τῶν εἰρημένων ἀρκούντων.

5. Οὗτοι τοίνυν οἱ προωρισμένοι πάντες, καὶ μὴ εὐχόμενοι περὶ τοῦ σῴζεσθαι σῴζοιντ' ἄν, καὶ ἀπαλλάττοιντ' ἂν πειρασμῶν οὐκ εὐχόμενοι ἀπαλλάττεσθαι· καὶ σιωπῶντος γάρ, **φησί**, Μωσέως ἐπακούει Θεός, **τῇ ἀξιότητι τοῦ ἀκουσθῆναι φιλαγάθως προσέχων, οὐ τὴν διὰ τῆς γλώττης λαλιὰν ἀναμένων· ἐγκαρδίως γὰρ ἔστι λαλεῖν γλώττῃ σιγῶντα. Ἐνίοτε δὲ ἅμα τε αἰσθάνονται τῶν πειρασμῶν καὶ αὐτῶν ἀπαλλάττονται, ὡς μηδὲ χρόνον εἶναι αὐτοῖς μεταξὺ τοῦ δεηθῆναι περὶ ἀπαλλαγῆς καὶ τοῦ ἀπαλλαγῆναι· τὸ δὲ ἔτι παραδοξότερον, ὅτι καὶ ἐγγύθεν ὄντος τοῦ πειρασμοῦ μὴ ᾐσθημένοι, μετὰ τὴν ἀπαλλαγὴν ἔγνωσαν ἐγγὺς ἐλθόντα καὶ ἀσθενήσαντα. Τηλικαύτη ἐστὶν ἡ τοῦ δημιουργοῦ πρόνοια περὶ τὰ προωρισμένα τῶν τέκνων. Συγχωρεῖ δὲ ἄλλοις πειρασμούς, καὶ αὐτοῖς δὲ οὓς ἄλλων πειρασμῶν πολλάκις ἀπήλλαξεν, ἐπὶ διορθώσει αὐτῶν ἢ δοκιμῇ πλείονι καὶ ἄλλων τε ὠφελείᾳ καὶ αὐτῶν αἰωνίῳ κέρδει, ὃ προὔργου τοῖς σπουδαίως βιοῦσιν ἐστί, καὶ οὗ ὥστε τυχεῖν οὐ μόνον χαίρουσιν ἔξωθεν πειραζόμενοι, ἀλλὰ καὶ ἑκουσίοις ὑποβάλλουσι σφᾶς αὐτοὺς πειρασμοῖς σὺν ἡδονῇ, καὶ τούτοις τὸ σῶμα ταλαιπωροῦντες τὸ πνεῦμα πρὸς τὸν θεῖον**

D f. 66^{v} | **μετεωρίζουσι καλῶς | ἔρωτα· καὶ καθόλου φάναι, ταῖς διαφόροις πρὸς τὸ προκείμενον τέλος ὁδοῖς καὶ ταῖς διαφόροις διαθέσεσι τῶν τὰς τοιαύτας ὁδευόντων ὁδούς, χρησταῖς μέντοι πάσαις καὶ συμφερούσαις, διάφορον καὶ τὴν πρόνοιαν ἑτοιμάζει Θεὸς καὶ δίδωσιν. Καὶ μὴ εὐξαμένοις ἂν οὖν**

5.,3 καὶ… Θεός] Cf. Hesych., *fr. Ps.* 103 (1031D).

5.,11 Συγχωρεῖ…**14** ἐστί] Cf. *Compendium SG* III, 96 (V 183, 27-28). **16** τὸ^{2}…**17** μετεωρίζουσι] Cf. *Compendium SG* Iv 54 (V 299, 19-21).

5.,4 τῆς] *om.* D **14** ἐστί] ἐστίν C **20** δίδωσιν] δίδωσι C

τοῖς τοιούτοις τήν τε παροῦσαν ζωὴν καὶ τὴν μέλλουσαν δι' αὐτῆς οἰκονομεῖ πανσόφως καὶ πατρικῶς, προτρέπεται μέντοι γε καὶ αἰτεῖν καὶ ἐπιμόνως τοῦτο ποιεῖν (Αἰτεῖτε γάρ**, φησί,** καὶ δοθήσεται ὑμῖν **καὶ τὰ ἑξῆς τοῦ λογίου), ἔμμισθον αὐτοῖς κατασκευάζων τὴν ἀρετήν, θέλων τε σῴζειν αὐτοὺς καὶ τῷ τοῦ δικαίου λόγῳ, μὴ μόνον τῷ τῆς ὑπεραγάθου καὶ πατρικῆς προνοίας. Εἰ γὰρ αἰτεῖν μέλλουσιν ἀνυσίμως, καὶ προὔργου ποιούμενοι τὸ λαβεῖν καὶ παρασκευάζειν μέλλουσι σφᾶς αὐτοὺς πρὸς τὸ καλῶς εὔχεσθαι·** Αἰτεῖτε γάρ**, φησί,** καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε**. Εὔχονται δὲ καλῶς καὶ ἐμπράκτως οἱ μετὰ τῆς εἰς Θεὸν πεποιθήσεως εὐχόμενοι, ἔχουσί τε τὴν τοιαύτην πεποίθησιν ἀληθῶς οἱ συνειδότες σφίσιν αὐτοῖς μήτε ἁμαρτιῶν οὖσιν ἐνόχοις ἀμετανοήτων καὶ τὴν θείαν ἐμποδιζουσῶν φιλανθρωπίαν καὶ τοὺς διατεταγμένους τῆς ἀγάπης καρποφοροῦσι καρποὺς μετὰ ταπεινώσεως. Δεῖ γὰρ ἀλλήλοις συντρέχειν τό τε προωρίσθαι εἰς τὴν αἰώνιον ζωὴν καὶ τὸ μηδενὸς τῶν εἰς αὐτὴν φερόντων ὀλιγωρεῖν, ὡς ὁ μακάριος Πέτρος ἐν τῇ τῶν Ἐπιστολῶν πρώτῃ φησί·** Σπουδάσατε δι' ἀγαθῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι**, ὡς εἶναι τῶν σπουδαίων ἑκάστῳ καθάπερ ἐχέγγυον ἢ σημεῖον τῆς ἀγνοουμένης μὲν αὐτῷ θεόθεν ἐκλογῆς ἐπ' αὐτῷ, Θεῷ δὲ μόνῳ γινωσκομένης, τὴν ἐν τοῖς ἀγαθοῖς ἔργοις σπουδήν. Ὅθεν οὐδὲ συναύξουσιν οἱ τοιοῦτοι τὸν θεῖον ἐπ' αὐτοῖς προορισμὸν τῇ περὶ ταῦτα σπουδῇ, συνῳδὸν μὲν οὖν τὸν οἰκεῖον βίον ἁπάσῃ δρῶσι σπουδῇ τῷ προωρίσθαι ἄν. Τοιοῦτοι δὲ ὄντες, καὶ προωρισμένοι δήπου εἰσί· καὶ προωρισμένοι ὄντες, οὕτω σπουδάζουσιν. Ὥστε ὁ θεῖος διὰ ταῦτα προορισμὸς οὐ μόνον οὐκ ἀναιρεῖ τὸ τῆς εὐχῆς δραστήριον, ἀλλὰ καὶ ἐπαναγκάζει καλῶς | τὴν εὐχὴν ὡς αὐτῷ δήπου συνάδουσαν τὴν ἀξίαν· οἵ** D f. 67r | **τε γὰρ προωρισμένοι καλῶς εὔχονται, καὶ καλῶς εὐχόμενοί εἰσιν οἱ**

---

23 Αἰτεῖτε…ὑμῖν] Mat. 7, 7. **28** Αἰτεῖτε…αἰτεῖσθε] Iac. 4, 3. **36** Σπουδάσατε…**37** ποιεῖσθαι] II Pet. 1, 10.

---

26 Εἰ…**28** εὔχεσθαι·] Cf. *Compendium SG* III, 95 (V,182, 29-32). | Εἰ…**28** αἰτεῖσθε] Cf. *Compendium SG* III, 96 (V 183, 9-12). **28** Αἰτεῖτε…αἰτεῖσθε] Cf. *Compendium SG* III, 96 (V 183, 30-32). **33** Δεῖ…**39** σπουδήν] Cf. *Compendium ST* I, Q23 A. 8 (V 363, 33-36). **43** Ὥστε…**45** ἀξίαν·] Cf. *Compendium SG* III, 95 (V 182, 9-12); cf. *Compendium SG* III, 96 (V 183-184, 33-3).

---

26 προνοίας] προμηθείας C **30** τε] *supra lineam* D

προωρισμένοι, καὶ ταὐτόν ἐστι τό τε προωρίσθαι εἰς τὴν αἰώνιον ζωὴν καὶ τὸ καλῶς καὶ ἐνεργῶς εὔχεσθαι.

6. Δεῖ μέντοι καὶ τόδε προσδιορίσασθαι, ὅτι οἱ εὐλαβῶς τε καὶ φιλοθέως τὴν εἰς Θεὸν πεποίθησιν ἔχοντες οὐ δέονται αὐτοῦ περὶ οὐδενὸς τῶν προσκαίρων, ἀλλὰ περὶ τῆς **ἐν αὐτῷ** βασιλείας**, ὥστε ταύτης τυχεῖν κατὰ τὸ θεῖον παράγγελμα, καὶ** βασιλεῦσαι **μὲν ἐν αὐτοῖς τὸν Θεὸν ἐνταῦθα, μετασχεῖν δὲ αὐτοὺς ὡς οἷόν τέ ἐστιν ὕστερον τῆς ἐν οὐρανοῖς βασιλείας· τοῦ γὰρ κεφαλαίου τῶν ἀγαθῶν αἰτοῦσί τε αὐτοῖς καὶ σπουδάζουσι συγκαταπραττομένου θεόθεν,** τὰ ἄλλα πάντα **καὶ μὴ ζητοῦσι μήτε εὐχομένοις προστίθενται. Ἔνιοι δὲ ὑψηλότερον φθάσαντες, οὐδὲ τοῦτο ταῖς εὐχαῖς ζητοῦσιν, ἀλλὰ τῇ περὶ τὴν ἀρετὴν ἐντρεχεῖ σπουδῇ καὶ τῇ ὁλοσχερεῖ τε καὶ εἰλικρινεῖ τῆς θείας ἀγάπης ἀποπληρώσει ἀρκούμενοι, ὅπερ ἐστὶ τὸ ἔργῳ τὴν** βασιλείαν αἰτεῖν**, οὐκ ἐνοχλοῦσι λοιπὸν τῇ περὶ ταύτης εὐχῇ, εὐχὴ δέ ἐστιν αὐτοῖς ἡ διηνεκὴς δοξολογία τε καὶ εὐχαριστία σὺν μετρίῳ φρονήματι καὶ τὸ** προορᾶν ἐνώπιον αὐτῶν τὸν Κύριον διὰ παντὸς ἐκ δεξιῶν ὄντα, ἵνα μὴ σαλευθῶσιν**. Οἱ τοιοῦτοι οὐδὲ τοὺς πειρασμοὺς καθάπαξ ἀπεύχονται, εἰδότες ὡς** ἄνευ μὲν θλίψεων ἀδύνατόν ἐστιν εἰς τὴν βασιλείαν ἐλθεῖν τοῦ Θεοῦ**, ἐκ δὲ τῶν πειρασμῶν αἱ θλίψεις ἀνίσχουσιν, ἀλλ' αἰτοῦσι μόνον κατὰ τὴν τοῦ Κυρίου διατύπωσιν** μὴ εἰσενεχθῆναι εἰς πειρασμὸν **τοῦτο δ' ἐστί, μὴ** πειρασμοῖς **τοῖς** ὑπὲρ δύναμιν **ἐμπεσεῖν παραχωρηθῆναι μηδ' ἐναποληφθῆναι τῷ βάθει τῶν πειρασμῶν. Ἐναπολαμβάνονται δὲ αὐτοῖς οἱ μικροψυχοῦντες, ὥσπερ οἱ γενναιόφρονες δι' ὑπομονῆς αὐτοὺς νικῶσι καὶ ἀπαλλάττονται· καὶ τὸ εὔχεσθαι μὴ ἐναποληφθῆναι αὐτοῖς, τὸ ζητεῖν ἐστιν ἐκ Θεοῦ τὴν ὑπομονήν· δῶρον γὰρ αὕτη σωτήριον καὶ γνώσει μὲν σπειρόμενον ἐν ἡμῖν οἰκείᾳ, Θεοῦ δὲ χάριτι τελειούμενον καὶ καρποφοροῦν, νικώσῃ τὴν ἐν ἡμῖν ἀσθένειαν**
D f. 67ᵛ **ἀντικαθισταμένη τῇ προθυμίᾳ τοῦ Πνεύματος. Ἡ δὲ χάρις τῇ** | δι' ἔργων ἀγαθῶν **πεποιθήσει ἡμῶν ἐπακολουθεῖ, καθά φησιν ὁ θεῖος ἀπόστολος·**

6.,7 τὰ…πάντα] Mat. 6, 33. **11** βασιλείαν αἰτεῖν] Mat. 6, 33. **13** προορᾶν…**14** σαλευθῶσιν] Ps. 15, 8. **15** ἄνευ…**16** Θεοῦ] Act. 14, 21-22. **17** μὴ…**18** πειρασμὸν] Mat. 6, 13; Luc. 11, 4. **18** πειρασμοῖς…δύναμιν] I Cor. 10, 13. **25** δι…**26** ἀγαθῶν] I Tim. 1, 12–14.

---

48 καὶ ἐνεργῶς] *add*. D **6.,1** τε] *supra lineam* D **13** σὺν…φρονήματι] *suppl. in marg. dext.* D **17** εἰσενεχθῆναι] εἰσενεγχθῆναι D C, εἰσενεχθῆναι *correx.* Œ **19** ἐναποληφθῆναι] ἐναπολειφθῆναι D : ἐναπολειφθῆναι *primus scr. deinde corr.* -η- *supra* -ει- C

Πιστός ἐστιν ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα**. Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.**

---

27 Πιστός… δυνάμεθα] I Cor. 10, 13.

ADNOTATIONES

ADNOTATIONES

α) *Apparatus fontium variorum*

Λόγος Α΄

1.1., 3–7 Εἰ γὰρ … ἐξομοιοῖ

Plot., *Enn.* II 5 (96,14–98,16): Ἓν δὲ ἐκ πάντων καὶ πρόνοια μία· εἱμαρμένη δὲ ἀπὸ τοῦ χείρονος ἀρξαμένη, τὸ δὲ ὑπεράνω πρόνοια μόνον.

Procl. Is., *Prov. et necess.* 6 (113,22–114,38): Δύο δὴ οὖν νοείσθω γένη, τὰ μὲν νοητά, τὰ δὲ αἰσθητά, καὶ δύο δυοῖν βασιλεῖαι, προνοίας μὲν ἄνω τε νοητῶν καὶ τῶν αἰσθητῶν, ἀνάγκης δὲ κάτω μόνων τῶν αἰσθητῶν. Βασιλεύει γὰρ ἡ μὲν τῶν νοητῶν καὶ τῶν αἰσθητῶν, ἡ δὲ μόνων τῶν αἰσθητῶν, τῆς προνοίας ἐξηρτημένη καὶ οὖσα οἷον ἐκείνης εἰκών· ὡς γὰρ ἡ πρὸ νοῦ ἐνέργεια τοῦ ἀγαθοῦ πρός τε τοὺς νοητοὺς τῶν ὄντων λόγους καὶ τὴν κατ᾽ αὐτοὺς φυσικὴν τῶν αἰσθητῶν ἀνάγκην, οὕτως οἱ νοητοὶ τῶν ὄντων λόγοι καὶ ἡ κατ᾽ αὐτοὺς φυσικὴ τῶν αἰσθητῶν ἀνάγκη πρὸς αὐτὰ τὰ αἰσθητά· πρώτως γὰρ ὄντα οἱ νοητοὶ τῶν ὄντων λόγοι χρονικῶς μὴ ἠργμένοι καὶ τούτων διὰ μέσης φυσικῆς ἀνάγκης ἐξήρτηται τὰ αἰσθητὰ χρονικῶς ἠργμένα.

Nic. Meth., *ref. Procli* 176 (154,15–17): Τὰ θεῖα νοήματα, ἃ προϋφέστηκεν ἐν τῷ Θεῷ ὡς εἴδη τῶν ὄντων, εἰ μὲν νοερὰ ἐβούλετο λέγειν οὗτος, καθὰ καὶ προεγνῶσθαι αὐτῷ πάντα καὶ προωρίσθαι λέγεται, καλῶς ἂν εἶχε τὸ πρόβλημα.

Nic. Meth., *Or. V*, 312: Ὅτι μὲν οὖν τὰ πάντα ἐστὶν ὁ Θεὸς ὑπερουσίως καὶ κατ᾽ αἰτίαν, ὡς τοὺς ἀφοριστικοὺς πάντων λόγους προέχων ἐν ἑαυτῷ (οὓς ὁ μύστης τῆς Παύλου θεολογίας, ὁ τὰ θεῖα πολὺς Διονύσιος, ‘προορισμοὺς τῶν ὄντων’ καλεῖ καὶ ‘ἀγαθὰ καὶ θεῖα θελήματα’, καθ᾽ οὓς καὶ τὴν ἀρχὴν ἐκ μὴ ὄντων ταῦτα παρήγαγε) κοινὸν τοῦτο πάντων τῶν θεολόγων ἐστὶν ὁμολόγημα, ὅτι δὲ καὶ ἐν πᾶσιν ἢ νῦν ἐστιν ἢ ἔσται ποτὲ τὰ πάντα, ζητήσειεν ἄν τις εὐλόγως.

7–8 ἀλλὰ … τοὔνομα

Theod., *Graec. aff. cur.* (*serm.* VI: *De provid. Dei*) 14 (258), 11-15: Καὶ Χρύσιππος δὲ ὁ Στωϊκὸς μηδὲν διαφέρειν εἶπε τοῦ εἱμαρμένου τὸ κατηναγκασμένον, εἶναι δὲ τὴν εἱμαρμένην κίνησιν ἀίδιον ξυνεχῆ καὶ τεταγμένην. Ζήνων δὲ ὁ Κιτιεὺς δύναμιν κέκληκε τὴν εἱμαρμένην κινητικὴν τῆς ὕλης, τὴν δὲ αὐτὴν καὶ Πρόνοιαν καὶ Φύσιν ὠνόμασεν. Οἱ δὲ τοῦτον διαδεξάμενοι τὴν εἱμαρμένην λόγον ἔφασαν εἶναι τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων, καὶ πάλιν ἐν ἑτέροις ξυγγράμμασιν εἱρμὸν αἰτιῶν τὴν εἱμαρμένην κεκλήκασιν.

10–11 Ἔπειτα … ὅλως

Anast. S., *inter. et resp.* 96 (89, 736C): Διὸ οἱ μὲν Ἕλληνες ἀποροῦνται, ἀπρονόητον εἶναι τὸν κόσμον ἐνόμισαν.

21–25 Προϋποτιθέμεθα … συμφωνεῖ

Germ., *vit. term.* 6, 26–28: …τὸν τοῦ Θεοῦ λόγον αἰτησαμένοις ἐκκαλύψαι ἡμῖν τῆς ἐν τούτοις ἀληθείας τὸ φρόνημα καὶ τῷ λόγῳ δοῦναι εὐκρινῆ τούτου ποιήσασθαι τὴν ἀνάπτυξιν.

Germ., *vit. term.* 50, 23–26: Οὐ γὰρ ἐν ἀγνοίᾳ τοῦ μέλλοντος τὰς πρὸς τὸν προφήτην προτάσεις ὁ Θεὸς ἐποιήσατο, ἀλλ᾽ οἰκονομῶν τῆς τε ἐκείνου φιλοθεΐας τὴν ἐπίδειξιν καὶ τῆς ἑαυτοῦ φιλανθρωπίας τὴν φανέρωσιν.

Nic. Meth., *vit. term.* I, 220: Ἐγὼ δὲ ἀσπασίως οὕτω καὶ ἡδέως δεξάμενος τὴν ἐρώτησιν, καὶ τότε μὲν ἐξ ὑπογυίου τὴν ἐμὴν γνώμην εὐθὺς ἐξεκάλυψα, ὑποσχόμενος δὲ καὶ

τελειότερόν σοι τὸν περὶ τοῦ ζητήματος λόγον διακριβώσασθαι, ταύτην νῦν ἥκω πληρῶν ὡς οἷός τέ εἰμι τὴν ὑπόσχεσιν, τῷ πάντα ὁρίζοντι καὶ περαίνοντι Λόγῳ τεθαρρηκώς.

25–26 *ἐκ ... θεωρεῖται*

Sap. 13,5: Ἐκ γὰρ μεγέθους καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται.

26–28 ἐκ τῶν … πρόνοια

Bas., *mor.* 22 / *prov*. 32, (1373A): Πολλάκις γοῦν καὶ ἐν τοῖς μικροτάτοις ἡ σοφία αὐτοῦ καὶ ἡ πρόνοια διαφαίνεται. Ὁ γὰρ οὐρανὸν διαπλώσας καὶ τὰ ἄπλετα μεγέθη τῶν πελάγων ἀναχέας, οὗτός ἐστιν ὁ καὶ τὸ λεπτότατον κέντρον τῆς μελίσσης κοιλάνας ὥσπερ αὐλόν, ὥστε τὸν ἰὸν δι’ αὐτοῦ ἐκχεῖσθαι. Εὔκαιρον οὖν εἰπεῖν μετὰ τοῦ προφήτου· “Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! Πάντα ἐν σοφίᾳ ἐποίησας”.

30–31 *Τίς ... ἐγένετο*

Rom. 11,34: Τίς γὰρ ἔγνω νοῦν Κυρίου; Ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;

Is. 40,13: Τίς γὰρ ἔγνω νοῦν Κυρίου**,** ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο, ὃς συμβιβᾷ αὐτόν;

Anast. S., *inter. et resp.* 96 (89, 737A): Εἰ γὰρ καὶ εἴρηται· “Τὶς ἔγνω νοῦν Κυρίου;”, ἀλλ’ οἱ κατὰ Παῦλον λέγουσιν ὅτι “Ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν”, καθὰ καὶ Ἱερεμίας φησίν, ὅτι οὐ μὴ ποιήσῃ Κύριος πρᾶγμα, ὅπερ οὐκ ἀποκαλύψει τοῖς δούλοις αὐτοῦ προφήταις.

31–33 Ὅθεν … μόνοις

Anast. S., *inter. et resp.* 96 (89, 736D): Οὐκοῦν ὁ τὸν Θεὸν ὁρῶν, δύναται παρ’ αὐτοῦ ἐλλαμπόμενος τῷ ἁγίῳ Πνεύματι μαθεῖν τινα τῶν κριμάτων καὶ μυστηρίων Χριστοῦ.

Germ., *vit. term.* 98, 124a: Οὐ γὰρ ἐν ἀγνοίᾳ τοῦ μέλλοντος τὰς πρὸς τὸν προφήτην προτάσεις ὁ Θεὸς ἐποιήσατο, ἀλλ’ οἰκονομῶν τῆς τε ἐκείνου φιλοθεΐας τὴν ἐπίδειξιν καὶ τῆς ἑαυτοῦ φιλανθρωπίας τὴν φανέρωσιν

Blemm., *vit. fin.* I (1, 24–2, 3): Τοίνυν οὐκ ἐπιχειρηματικῶς, οὐ κατὰ μέθοδον ἄλλην σοφιστικὴν τὴν μελέτην ποιήσομαι, μόνων δὲ προφητικῶν ῥητῶν ἀντιλήψομαι καὶ θεολέκτων λογίων τῶν ἱερῶν διδασκάλων ἡμῶν, ὡς ὄντων αὐτῶν πάσης συλλογιστικῆς περινοίας ἀποδεικτικωτέρων εἰς τοὐμφανές.

33–35 Διὰ … λέγομεν

Nic. Meth. *vit. term.* I, 223: Νῦν δὲ ὡς οἷόν τε πειρασόμεθα τὰ πρὸς τὸν ὅρον ἄπορα διαλύσασθαι, τὸν ὅρον τῆς ἀληθείας αὐτὸν ὁδηγὸν τοῦ λόγου, καθὰ δὴ καὶ τῆς ὅλης ἡμῖν ζωῆς, προστησάμενοι καὶ μὴ περιελεῖν ἐκ τοῦ στόματος ἡμῶν λόγον ἀληθείας εὐξάμενοί τε καὶ τῇ πίστει θαρρήσαντες.

4–10 Οὐ γὰρ … ἡγησάμενος

Procl. Is., *dec. prov.* 10, 64 (219, 9–65, 219, 7): …καὶ μετὰ πάντας ἀγγέλους αἱ λογικαὶ ψυχαί. Ἔγκειται γάρ τι καὶ ἐν αὐταῖς κρύφιον τοῦ ἑνὸς ἴχνος (δηλαδὴ ὁ προὼν ἐν τῷ Θεῷ τοῦ εἶναι ἡμῶν λόγος, θέλημα θεῖον ὑπάρχων, καθ’ ὃ καὶ γεγόναμεν) εἰς ὃ καὶ τελέσασα ψυχὴ καὶ ἱδρύσασα ἑαυτὴν ἔνθεός ἐστι καὶ ζῇ τὴν θείαν ζωήν, καθ’ ὅσον θέμις αὐτῇ. Καὶ ὁ μὲν Θεὸς δι’ οἰκείαν ἀγαθότητα προνοεῖ πάντων, ἄγγελοι δὲ καὶ ψυχαί, καθ’ ὅσον ἔχουσί τι σπέρμα τοῦ ἀγαθοῦ, καὶ αὐτοὶ προνοοῦσιν, οὐ καθ’ ὅσον ζῶντες ἢ νοοῦντές εἰσι (ψυχῆς γὰρ τὸ κινεῖν, νοῦ δὲ τὸ γινώσκειν ἴδιον), τὸ δὲ προνοεῖν τοῦ ἐν αὐτοῖς ἐστιν ἑνός. Καθὸ γὰρ εἰκονίζουσι τὸν θεόν, κατὰ τοῦτο δὴ συμπρονοοῦσιν αὐτῷ.

5 ἐποίησεν …Θεὸς

Gen. 1:1: Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.

12–13 ζῷά … φυτά

Arist., *EE* II, 1222b 15–18: Εἰσὶ δὴ πᾶσαι μὲν αἱ οὐσίαι κατὰ φύσιν τινὲς ἀρχαί, διὸ καὶ ἑκάστη πολλὰ δύναται τοιαῦτα γεννᾶν, οἷον ἄνθρωπος ἀνθρώπους καὶ ζῷον ὃν ὅλως ζῷα καὶ φυτὸν φυτά.

2.2.,1–5 Ταῦτα … εἶναι

Procl., *inst. theol.* 7 (64,17–19): Εἰ γὰρ αὐτὸ τὴν οὐσίαν τῷ παραγομένῳ δίδωσιν, αὐτὸ καὶ τὴν δύναμιν αὐτῷ χορηγεῖ κατὰ τὴν οὐσίαν.

5–6 ζῴου … φυτοῦ

Plot., *Enn.* III 1,6 (34,1–3): Ἀλλὰ γὰρ γίγνεται μὲν ἕκαστα κατὰ τὰς αὐτῶν φύσεις, ἵππος μὲν ὅτι ἐξ ἵππου, καὶ ἄνθρωπος, ὅτι ἐξ ἀνθρώπου, καὶ τοιόσδε, ὅτι ἐκ τοιοῦδε.

Nic. Meth., *vit. term.* III, 263: Ἐξ ἀνθρώπου γὰρ ἄνθρωπος γίνεται, καὶ ἵππος ἐξ ἵππου, καὶ ὁμοειδὲς ἐξ ἑκάστου κατὰ τὸν παρὰ τοῦ δημιουργοῦ πεπηγμένον ὅρον τῆς φύσεως

Id., *ref. Procli* 25 (34,33–33,4): Γεννᾷ μὲν γὰρ ἕκαστον ὅμοιον ἑαυτῷ καὶ ἴσον κατὰ φύσιν, ἄνθρωπος ἄνθρωπον καὶ ἵππος ἵππον, καὶ εἰ μὴ παραυτίκα τέλειον τὸ γεννώμενον, ἀλλὰ φυσικὴν ἔχον δύναμιν εἰς τὴν αὐτὴν φθάσαι τῷ γεννῶντι τελειότητα.

Op cit. 27 (337,1–5): Καὶ γεννᾷ μὲν οὐδὲν εἶδος ἕτερον εἶδος ἀλλ' ἢ τὸ ὁμοειδὲς ἕκαστον, παράγει δὲ οὐδὲν ὅλως πλὴν τοῦ πάντα παράγοντος καὶ "τὰ μὴ ὄντα καλοῦντος ὡς ὄντα" (Rom. 4:17) καὶ ὅλον τὸ εἶναι συλλήβδην ἔχοντος καὶ τοῖς πᾶσι παρέχοντος.

11 Κοινότατος … Θεός

Pleth., *fat.* 66–68: …καὶ ταῦτά τε ἅμα καὶ τἆλλα δι' αὐτὸν πάντα ὁρίζει· καὶ οὐδὲν οὐθ' οὕτω παμμέγεθες, οὔτ' αὖ πάνυ σμικρὸν οὕτως, ὥστ' ἂν αὐτὸν μὴ οἷόν τε εἶναι τῷ ἀφ' ἑαυτοῦ ὅρῳ ἐφικέσθαι· οὐδενὸς γὰρ ὅτου οὐκ αὐτὸν εἶναι τὸν αἰτιώτατον.

11–13 Ἔστι … ποιοῦσιν

Pleth., *fat.* 66: …καὶ τοῖς γε προσεχῶς προϊοῦσιν ἀπ' αὐτοῦ ταὐτὸ τοῦτο δευτέρως μεθ' ἑαυτὸν παρέχεται· οἰκεῖα γὰρ ἂν ἑαυτῷ τὰ ἀπ' αὐτοῦ παράγοι…

17–18 Οὐ γὰρ … βούλεσθαι

Theoph. Nic., *de aet. mund*i 36 (32,26–28): Ταύτῃ τοίνυν τῇ μετὰ τρόπου χρήσει τῆς θελήσεως τοῦ Θεοῦ πρὸς τὸ θελητὸν σύνδρομός ἐστι καὶ ἡ τῆς κτίσεως γένεσις, ἤγουν τοῦ θελητοῦ. Θέλει γὰρ ὁ Θεὸς γενέσθαι τὰ ὄντα.

22–26 Καὶ … δυνάμεως

Theod. Met., *misc.* 58 (352–353): Καὶ μὴν ἔτι ξυνορᾶν ἔστιν ὡς ἀτελευτήτου πως τῆς τοῦ εἶναι παρατάσεως, ὡς ἀγαθοῦ πάντως οἰκείου καὶ πρώτου τοῖς ζῶσιν ἡ φύσις ἐφιεμένη, μᾶλλον δ' ἡ πρώτη κινοῦσα τοῦ θείου πρόνοια μετουσίαν ἀιδιότητος τρόπον τινὰ διοικοῦσα καὶ πρυτανεύουσα, τὴν διαδοχὴν ἔοικε τῆς γενέσεως οἰκονομηθήσασθαι, καὶ τὴν ἀτελεύτητον ἐντεῦθεν τοῖς ζῶσιν, εἰς ὅσον οἷόν τέ ἐστιν, οὐσίωσιν καὶ μονὴν ἐν τῷ εἶναι, ὡς τοῦτ' ὂν σφίσι τἀγαθὸν τὸ εἶναι, καὶ οὐ τοὐναντίον πάντως.

Dem. Cyd*., de cont. morte* III (5,14–6,5): Αἱ μὲν γὰρ [sc. ἡδοναὶ] φύσεως τέ εἰσιν ἔργον καὶ παρὰ Θεοῦ συγκεχώρηνται, ἢ τὰ κατὰ μέρος δι' αὐτῶν συντηροῦντος ἢ τοῖς κοινοῖς εἴδεσι μηχανωμένου τὸ διαρκές τε καὶ μόνιμον καὶ τῇ διαδοχῇ τοῖς ἐν γενέσει καὶ φθορᾷ ἐπισκευαστὴν ἀθανασίαν ἐπινοήσαντος, ὡς μέχρι πολλοῦ τοῦ συνθέτου μένειν οὐ δυναμένου. Αὖται δέ εἰσιν ὅσαι τῇ γενέσει λυσιτελοῦσιν ἐπὶ τὴν διαδοχὴν τὰ ζῶα ταῖς ἡδοναῖς προκαλούμεναι, καὶ ὅσαι τὴν ὄρεξιν θήγουσαι πρὸς τὴν τροφὴν κινεῖ τὰ δυνάμενα

τρέφεσθαι καὶ ταύτῃ τὸ καθ' ἡμέραν ἀπορρέον τῆς οὐσίας ἀναπληροῦσι καὶ βοηθοῦσι πρὸς τὸ ζῆν, ἕως ἔξεστιν.

26–29 Ὧν … παραγωγήν

Procl. Is., *dec. prov.* 7, 47 (200,4–10): Τοῖς μὲν γὰρ ἀλόγοις ζῴοις ἡ ψυχή, ὡς κατὰ μόνην τὴν ἐκ τῶν τεττάρων στοιχείων κρᾶσιν δεσποτικῷ προστάγματι τὴν ὕπαρξιν ἔχουσιν, ἀπό τε τῆς τοῦ παντὸς κινήσεως καὶ αὐτῆς τῆς αὐτῶν ἰδιοσυγκρασίας ἐνδίδοται, οὐδὲν ἄλλο οὖσα ἢ τὸ ἀερῶδες τῶν στοιχείων καὶ τῶν χυμῶν, τὸ ψυχικὸν δηλαδὴ πνεῦμα καὶ τὸ ζωτικὸν αἷμα.

Anast. S., *quaest. et resp.* 28, 5 (60, 86–61, 94): Δέδωκεν οὖν ὁ Θεὸς τούτοις τοῖς τέσσαρσι στοιχείοις, ὥσπερ τισὶ στρατηγοῖς καὶ ἡνιόχοις, καθὼς αὐτὸς βούλεται, διοικεῖν καὶ ἄγειν καὶ κυβερνᾶν τὴν ἐξ αὐτῶν, ὡς ἐκ πατέρων τινῶν γεννηθεῖσαν καὶ κατασκευασθεῖσαν, τῶν σωμάτων φύσιν. Ὅθεν καὶ ἔστιν ἰδέσθαι ἀεὶ πάντα τὰ ἐπίγεια σώματα καὶ φυτὰ καὶ ζῷα καὶ πᾶν ἔμψυχόν τε καὶ ἄψυχον πρὸς τὴν τῶν ἀέρων καὶ στοιχείων κρᾶσιν ἀγόμενα καὶ ποιούμενα καὶ μεταποιούμενα καὶ ἀπαλυνόμενα, ἢ ψυχούμενα καὶ ζωογονούμενα ἢ φθειρόμενα.

Mich. Glyc., *In S. Scr.* 37 (419, 20–23): Δέδωκε γὰρ ἀπ' ἀρχῆς ὁ Θεὸς ἐξουσίαν τοῖς τοιούτοις στοιχείοις, καθάπερ τισὶν ἡνιόχοις, ὡς ὁ Σιναΐτης φησὶ θεῖος Ἀναστάσιος, τοῦ διοικεῖν τε καὶ κυβερνᾶν τὴν ἐξ αὐτῶν συμπηχθεῖσαν φύσιν τῶν σωμάτων ἡμῶν.

2.3.,1–7 Εἰ καὶ … οὐσιῶν

Procl. Is., *dec. prov.* 4, 22 (178,1–4): Ὀργάνων δὲ ὄντων πάντων καὶ χρωμένης πᾶσι τῆς προνοίας, ἕκαστον ἀνάγκη συντελεῖν εἰς τὸ οἰκεῖον ἔργον τῇ χρωμένῃ δυνάμει.

13–17 Ταύτῃ … πηγῆς

Dion. Ar. (Ps.-), *div. nom.* VIII, 5 (202, 6–23): Πρόεισι δὲ τά τῆς ἀνεκλείπτου δυνάμεως καί εἰς ἀνθρώπους καὶ ζῷα καὶ φυτὰ καὶ τὴν ὅλην τοῦ παντὸς φύσιν καί δυναμοῖ τὰ ἡνωμένα πρὸς τὴν ἀλλήλων φιλίαν καὶ κοινωνίαν καὶ τὰ διακεκριμένα πρὸς τὸ εἶναι κατὰ τὸν οἰκεῖον ἕκαστα λόγον καὶ ὅρον ἀσύγχυτα καὶ ἀσύμφυρτα καὶ τὰς τοῦ παντὸς τάξεις καὶ εὐθημοσύνας εἰς τὸ οἰκεῖον ἀγαθόν διασώζει καὶ τὰς ἀθανάτους τῶν ἀγγελικῶν ἑνάδων ζωὰς ἀλωβήτους διαφυλάττει καὶ τὰς οὐρανίας καὶ φωστηρικὰς καὶ ἀστρώους οὐσίας καὶ τάξεις ἀναλλοιώτους καὶ τὸν αἰῶνα δύνασθαι εἶναι ποιεῖ καὶ τὰς τοῦ χρόνου περιελίξεις διακρίνει μὲν ταῖς προόδοις, συνάγει δὲ ταῖς ἀποκαταστάσεσι καὶ τὰς τοῦ πυρὸς δυνάμεις ἀσβέστους ποιεῖ καὶ τὰς τοῦ ὕδατος ἐπιῤῥοὰς ἀνεκλείπτους καὶ τὴν ἀερίαν χύσιν ὁρίζει καὶ τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύει καὶ τὰς ζωογόνους αὐτῆς ὠδῖνας ἀδιαφθόρους φυλάττει καὶ τὴν ἐν ἀλλήλοις τῶν στοιχείων ἁρμονίαν καὶ κρᾶσιν ἀσύγχυτον καὶ ἀδιαίρετον ἀποσώζει καὶ τὴν ψυχῆς καὶ σώματος σύνδεσιν συνέχει καὶ τὰς τῶν φυτῶν θρεπτικὰς καὶ αὐξητικὰς δυνάμεις ἀνακινεῖ καὶ διακρατεῖ τάς οὐσιώδεις τῶν ὅλων δυνάμεις καὶ τὴν τοῦ παντὸς ἀδιάλυτον μονὴν ἀσφαλίζεται καὶ τὴν θέωσιν αὐτὴν δωρεῖται δύναμιν εἰς τοῦτο τοῖς ἐκθεουμένοις παρέχουσα.

Nic. Meth., *vit. term.* I (228): Καὶ ἔστι γε τοῦτο, φησὶν ὁ ἱερὸς Διονύσιος, "τῆς πάντων αἰτίας καὶ ὑπὲρ πάντα ἀγαθότητος ἴδιον, τὸ πρὸς κοινωνίαν ἑαυτῆς τὰ ὄντα καλεῖν ὡς ἑκάστῳ τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας".

Theoph. Nic., *de aet. mundi* 36 (34, 26–35, 2): Πάντα γὰρ τὰ ὄντα κατὰ τοὺς θείους πατέρας ὁμοιότητά τινα ἀποσώζει Θεοῦ ἀναλόγως, διὰ τοῦτο καὶ καθ' ὅσον ἄν τις ἐξομοιοῖτο τῷ θείῳ, κατὰ τοσοῦτον καὶ ἀγαπᾶσθαι μᾶλλον τῶν ἄλλων λέγεται, ὥσπερ οἱ ἅγιοι.

19–22 πάντα … πρέποι

Procl. Is., *dec. prov.* 3, 12 (167, 15–168, 3): Καὶ ὡς ἔχει τὰ πρωτουργὰ τούτων αἴτια κατὰ τὴν πρὸς ἄλληλα τάξιν, οὕτω καὶ αὐτά (sc. τὰ δευτέραν ἔχοντα τάξιν), τὴν ἀνάλογον ἐκείνοις καταδεξάμενα σχέσιν, συμπληροῖ τὸν κόσμον, ἠρτημένων τῶν χειρόνων ἀπὸ τῶν κρειττόνων.

26 ἀπειράκις ἀπείρως ἐξήρηται

Max., *cap. theol.* I (90, 1085B): Θεός δέ καθόλου πάσης σχέσεως ὑπάρχων ἀπειράκις ἀπείρως ἀνώτερος, οὔτε ἀρχὴ οὔτε μεσότης οὔτε τέλος εἰκότως ἐστίν.

Op. cit. (1101A): Πάντων τῶν ὄντων καί μετεχόντων καί μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεός ὑπεξήρηται.

28–29 τἀγαθὸν … ἐφίεται

Arist., *Eth. Nic*. I, 1094a, 2–3: Διὸ καλῶς ἀπεφήναντο τἀγαθόν, οὗ πάντ᾽ ἐφίεται.

3.1., 1–2 Τῇ αὐτῇ … φύσεις

Joh. Damasc., *Exp. fid*. 43, II 29 (100, 6–12): Ἀνάγκη γὰρ τὸν αὐτὸν εἶναι ποιητὴν τῶν ὄντων καὶ προνοητήν· οὔτε γὰρ πρέπον οὔτε ἀκόλουθον ἄλλον μὲν ποιητὴν εἶναι τῶν ὄντων, ἄλλον δὲ προνοητήν· οὕτω γὰρ ἐν ἀσθενείᾳ πάντως εἰσὶν ἀμφότεροι, ὁ μὲν τοῦ ποιεῖν, ὁ δὲ τοῦ προνοεῖν. Ὁ Θεὸς τοίνυν ἐστὶν ὅ τε ποιητὴς καὶ προνοητής, καὶ ἡ ποιητικὴ δὲ αὐτοῦ δύναμις καὶ ἡ συνεκτικὴ καὶ ἡ προνοητικὴ ἡ ἀγαθὴ αὐτοῦ θέλησίς ἐστι.

Theod. Met., *Misc.* 58, 353: Βούλησις γὰρ ἀγαθότητος καὶ σκοπὸς εὐεργέτης τὴν οὐσιοποιὸν τῶν ὄντων πάντων κεκίνηκε θείαν ἐνέργειαν εἰς τὴν αὐτῶν δημιουργίαν καὶ πρόοδον· καὶ ἡ αὐτὴ δ᾽ αἰτία τοῦ ἀγαθοῦ καὶ πρόνοια θεία τοῦ δημιουργήσαντος ταῦτ᾽ ἔχει καὶ συντηρεῖ τῇ μονῇ τοῦ εἶναι, καὶ ἵστησιν εἰς δεύτερον τῷ εἶναι, ὧν δι᾽ ἀγαθότητος αἴτιον, καὶ αὐτὰ πάντως ἀγαθότητος εἰσὶν ἔκγονα καὶ αἴτια τά, πῶς οὐ πᾶσα ἀνάγκη;

3.1., 1–4 Τῇ αὐτῇ … ἐποίησε

Theod., *prov.* II, 83 (581D–584A): Ἀλλ᾽ ὅτι μὲν δύναται, μάρτυς ἡ κτίσις· ὅτι δὲ καὶ βούλεται, πάλιν αὐτὴ μαρτυρεῖ. Οὐ γὰρ ἄλλου τινὸς ἀναγκάζοντος ἐπὶ τὴν δημιουργίαν ἐλήλυθεν, οὔτε μὴν ὡς δεόμενος τὴν κτίσιν παρήγαγεν, ἀλλὰ ἀγαθὸς ὢν καὶ ἀγαθότητα ἔχων μέτρου παντὸς μείζονα, ἠθέλησε καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δωρήσασθαι. Ὁ δὲ τοσαύτῃ περὶ τὰ μὴ ὄντα χρησάμενος ἀγαθότητι, πῶς ἂν γεγονότων ἀμελήσειεν;

Procl. Is., *dec. prov.* 10, 64 (219,1–8): Τῆς γὰρ ἀγαθοτάτης τοῦ Θεοῦ ἐπὶ πάντα τὰ ὄντα προνοίας διηκούσης ἀπὸ τῶν ὑπερουρανίων οὐσιῶν ἄχρι τῶν ἐσχάτων τῆς γῆς, πρώτως μὲν ἀπολαύουσιν αὐτῆς αἱ ὡς ἐν προθύροις ταύτης ἱδρυμέναι πρεσβύταται δυνάμεις, παρ᾽ αὐτῆς καὶ ἐν αὐτῇ καὶ τὸ εἶναι καὶ τὸ θεοειδῶς εἶναι ἔχουσαι· καὶ μετ᾽ ἐκείνας αἱ ὑφειμέναι ὑφειμένως· καὶ αἱ ἔσχαται ἐσχάτως (ὡς πρὸς ἀγγέλους· ὡς πρὸς ἡμᾶς δὲ ὑπερκοσμίως).

Nic. Meth., *ref. Procli* 122 (117,29–118,3): …ὁ Θεὸς καὶ προνοεῖ πάντων τῶν ὄντων καὶ ἐξήρηται τῶν προνοουμένων, μήτε τῆς προνοίας χαλώσης τὴν ἄμικτον αὐτοῦ καὶ θείαν ὑπεροχὴν μήτε τῆς χωριστῆς ὑπερουσιότητος τὴν πρόνοιαν ἀφανιζούσης· μένων γὰρ ἐν τῇ οἰκείᾳ ὑπεροχῇ τὰ πάντα πληροῖ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐνεργείας, καὶ πάντα, καθόσον ἕκαστον δύναται μεταλαγχάνειν, ἀπολαύει τῶν ἀγαθῶν, ὧν δέχεσθαι δύναται κατὰ τὰ μέτρα τῆς οἰκείας ὑποστάσεως.

Theoph. Nic., *de aet. mundi* 11 (5, 20–22): Πρῶτον μὲν γὰρ ὁ Θεὸς φύσει ἐστὶν ἀγαθὸς καὶ πηγὴ ἀγαθότητος, ἧς ἕνεκεν καὶ δι᾽ ἧς τὰ πάντα παρήγαγεν ὡς ποιητικῆς τε καὶ τελικῆς τούτων αἰτίας, ἵνα δηλαδὴ ταύτης μὴ ἀμοιρῇ.

3.1., 1 ἐξ … πεποίηκε

II Mac. 7,28: …ἀξιῶ σε, τέκνον, ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ Θεὸς, καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτω γίνεται.

Ath., *inc*. 25 (101A-B): Ὁ Θεὸς γὰρ ἀγαθός ἐστι, μᾶλλον δὲ πηγὴ τῆς ἀγαθότητος ὑπάρχει· ἀγαθῷ δὲ περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν οὐδενὶ τοῦ εἶναι φθονήσας, ἐξ οὐκ ὄντων τὰ πάντα πεποίηκε διὰ τοῦ ἰδίου Λόγου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

4–6 Τάττει … δυνάμενος

Dem. Cyd., *de contemn. morte* III (24, 1–19): …οὐ μὴν αὐτὰ τὸν τῶν γινομένων λόγον ἐν ἑαυτοῖς ἔχοντα ἑαυτὰ κατ' ἐκεῖνον καὶ τὸ δοκοῦν ἄγειν φημί, τὸν δὲ δημιουργὸν κατὰ τὸν ἐν αὐτῷ λόγον ἕκαστον πρὸς τὸ προσῆκον αὐτῷ τέλος ἐπείγειν, αὐτὰ δ' ἀσύνετα πάντα τῆς τῶν γινομένων αἰτίας ὑπάρχειν.

6 πάντα δυνάμενος

Joh. Chrys., *exp. in Ps.* 139 (423): Οὐ γὰρ παρασκευῆς ἢ παρακλήσεως δεῖται ὁ Θεός, πάντα εἰδώς, τά τε παρόντα, τά τε μέλλοντα, τά τε γεγονότα, καὶ πάντα δυνάμενος, καὶ ἀεὶ παρεστὼς ἕτοιμος εἰς βοήθειαν.

9–17 Ἡ γὰρ … εὐαρμοστίας

Plot., *Enn.* III 1,5 (30, 1–5): Ἀλλ' ἴσως μὲν οὐχ οὕτως ἕκαστα περαίνεται, ἡ δὲ φορὰ διοικοῦσα πάντα καὶ ἡ τῶν ἄστρων κίνησις οὕτως ἕκαστα τίθησιν, ὡς ἂν πρὸς ἄλληλα στάσεως ἔχῃ μαρτυρίαις καὶ ἀνατολαῖς, δύσεσί τε καὶ παραβολαῖς.

Procl. Is., *dec. prov.* 7, 47 (200, 4–10): Τοῖς μὲν γὰρ ἀλόγοις ζῴοις ἡ ψυχή, ὡς κατὰ μόνην τὴν ἐκ τῶν τεττάρων στοιχείων κρᾶσιν δεσποτικῷ προστάγματι τὴν ὕπαρξιν ἔχουσιν, ἀπό τε τῆς τοῦ παντὸς κινήσεως καὶ αὐτῆς τῆς αὐτῶν ἰδιοσυγκρασίας ἐνδίδοται, οὐδὲν ἄλλο οὖσα ἢ τὸ ἀερῶδες τῶν στοιχείων καὶ τῶν χυμῶν (τὸ ψυχικὸν δηλαδὴ πνεῦμα καὶ τὸ ζωτικὸν αἷμα).

Id., *prov. et necess.* 7 (115,25–31): Καὶ πᾶν μὲν τοῦ κοσμικοῦ συστήματος τούτου καὶ δράματος μέρος τέλος ἔχει τὸ ἀγαθόν (οὐδὲν γὰρ ἄτακτον ἀφεῖται τῶν μερῶν, ἀλλὰ συνυφαίνεται πρὸς τὸ εὖ τοῦ παντός), οὐκ ἀνάπαλιν δὲ πᾶν τὸ τοῦ ἀγαθοῦ τυγχάνον μετὰ κοσμικῆς συντέτακται πολιτείας.

Germ., *vit. term.* 32, 5–15: Τί δὲ τὸ σταγόνας ὑετοῦ μηδὲ αὐτὰς ἔξω τῆς αὐτοῦ ἀριθμήσεως εἶναι κατὰ τὸν Ἰώβ; Οὐχὶ τὸ παντέφορον καὶ ἀκάματον καὶ ἀδιάδραστον τῆς συνεκτικῆς τῶν ὅλων θείας δυνάμεως; Καὶ γὰρ δίκαιον, ὧν τὴν δημιουργίαν οὐκ ἀπηξίωσεν, τούτων μηδὲ τὴν ἐποπτικὴν τὸν Θεὸν ἀρνήσασθαι πρόνοιαν, οὐ τῇ εὐτελείᾳ τῶν προνοουμένων τῆς ἀφράστου αὐτοῦ μεγαλειότητος ὕφεσιν δόξης κομιζομένης, ἀλλ' ἐν τῷ συνέχειν τὰ ὄντα ἕκαστον ἐν τῷ ἰδίῳ λόγῳ ὡς γέγονεν τῆς παντουργοῦ αὐτοῦ ἐξουσίας τε καὶ προνοίας μειζόνως θαυμαζομένης. Τοῦτο δὲ οὐκ ἄλλως ἢ διὰ τὸ ἐπιβλέπειν αὐτὸν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ πιστευθήσεται

Op. cit. 56, 23–58, 2: Εἰ οὖν οὕτως εὐτελῆ καὶ ὡς οὐδὲν πρὸς τὸ θεῖόν τε καὶ ἀκατάληπτον μέγεθος ἅπαντα τὰ ἀνθρώπινα, τίς μόχθος αὐτῷ σταγόνος μιᾶς ποιήσασθαι κατανόησιν, ἤγουν τὰς ὁδοὺς ὁμοῦ καὶ τὰς κινήσεις, τάς τε κατὰ ψυχὴν καὶ ὅσαι διὰ σώματος πάντων ἀνθρώπων ἀθρόως καὶ οὐκ ἀνὰ μέρος προορᾶν τε καὶ κρίνειν, τὸ ἑκάστῳ πρόσφορον τέλος ὁρίζοντος αὐτοῦ τοῦ τὰ πάντα συνέχοντος καὶ πρὸς τὸ εὔτακτον διακυβερνῶντος τὴν σύμπασαν κτίσιν, οὐχ ὅση ἐν ὁρατοῖς μόνον ὑπάρχει, ἀλλ' ἤδη πολλῷ πλέον τὴν ἀόρατόν τε καὶ ὑπερκόσμιον;

15–17 ὅς … εὐαρμοστίας

Nic. Meth., *vit. term.* II (235–236): Ἤδη μὲν οὖν ὁ τὰ θεῖα πολὺς Διονύσιος διὰ τῆς προπαραχθείσης αὐτοῦ μαρτυρίας ἀναμφιλέκτως τὸν ὅρον ἐστήριξεν, ἑκάστῳ τῶν ὄντων ὡρίσθαι φήσας τὴν τῆς ὑπὲρ πάντα καὶ πάντων αἰτίας ἀγαθότητος μετοχήν, εἰς ἣν ὑπ' ἐκείνης καλοῦνται πρὸς τῆς οἰκείας ἀναλογίας. Τοῦ δ' αὐτοῦ κἀκείνην εὐκαίρως τὴν μαρτυρίαν δοκῶ μοι παραγαγεῖν, ἀπὸ τοῦ περὶ τοῦ ὄντος καὶ περὶ παραδειγμάτων ἀναλεξάμενος λόγου, ἔχουσαν οὕτως. "Παραδείγματα δέ φαμεν τοὺς ἐν Θεῷ τῶν ὄντων οὐσιοποιοὺς καὶ ἐνιαίους προϋφεστῶτας λόγους, οὓς ἡ θεολογία προορισμοὺς καλεῖ, καὶ θεῖα καὶ ἀγαθὰ θελήματα τῶν ὄντων ἀφοριστικὰ καὶ ποιητικά, καθ' οὓς ὁ ὑπερούσιος τὰ ὄντα καὶ προώρισε καὶ παρήγαγεν".

Nic. Meth., *ref. Procli* 24 (32,33–33,4): Τὸ γὰρ ὅτι τὸ πάντων ὂν καὶ ὑπὸ πάντων μετέχεται, σὺ πάντως δώσεις ὁ τό τινος ὂν καὶ ὑπὸ τοῦ τινος ἐκείνου, οὗ ἐστι, μετέχεσθαι λέγων, ὡς ταὐτὸν ὂν τό τέ τινος εἶναι καὶ τὸ ὑπὸ τοῦ τινος ἐκείνου μετέχεσθαι καὶ ἐξ ἀναλόγου τὸ πάντων εἶναι καὶ τὸ ὑπὸ πάντων μετέχεσθαι.

20–21 χωρὶς … ἐμπίπτειν

Mat. 10,29: οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; Καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν.

Marc. Eug., *vit. term.* 352: "χωρὶς γὰρ αὐτοῦ", φησίν, "οὐδὲ στρουθίον ἐπὶ τὴν γῆν πεσεῖται".

21 μηδὲν … μέλειν

I Cor. 9,9: Ἐν γὰρ τῷ Μωϋσέως νόμῳ γέγραπται, "Οὐ κημώσεις βοῦν ἀλοῶντα". Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ;

31–32 Καὶ ἔτι …ὁρᾶν

Plot., *Enn.* III 1,5 (30, 7–9): Ὁρᾶν δὲ καὶ τὰ ἄλλα ζῷά τε καὶ φυτὰ ἀπὸ τῆς τούτων συμπαθείας αὐξόμενά τε καὶ μειούμενα καὶ τὰ ἄλλα παρ' αὐτῶν πάσχοντα.

32–33 ὧν …ὑπηρετῇ

Dem. Cyd., *de contemn. mort*e X (18, 24–27): Ὃ δὲ μάλιστα τὸ τῆς ἀνθρωπίνης φύσεως πρὸς τἄλλα κράτος ἐνδείκνυται, ἡ τῶν ὑποδεεστέρων ἐστὶ πρόνοια καὶ τὸ τῆς τῶν ὁμογενῶν ὠφελείας λόγον ποιεῖσθαι.

4., 1–7 Τὸ …εἶναι

Dem. Cyd*., de contemn. morte* XV (27, 20–28, 8): Εἰ τοίνυν ἡ τελείωσις ἐκ τοῦ τὸ σῶμα καταλιμπάνειν τῇ ψυχῇ περιγίνεται, τίς νοῦν ἔχων συγχωρήσειεν ἂν αὐτὴν θνητὴν εἶναι καὶ τῷ σώματι συναπόλλυσθαι τὴν καὶ πρὸ τοῦ θανάτῳ λυθῆναι εἰς ἑαυτὴν ἀπ' ἐκείνου συναγομένην καὶ ἑαυτὴν πειρωμένην τούτου χωρίζειν, ὡς οὕτω μάλιστ' ἐνὸν ἑαυτῆς ἀπολαύειν; Καὶ μὴν εἰ μετὰ τοῦ σώματος ταύτῃ τὸ εἶναι καὶ τούτου χωρὶς φθορὰν καὶ σκεδασμὸν ὑπομένει, πῶς ὑπερβαίνουσα πᾶν σῶμα τῶν ἀσωμάτων ἐφίεται καὶ τῇ τούτων ἐνευπαθεῖ θεωρίᾳ, κἄν τις ἐκεῖθεν ἀφέλκῃ, ἄχθεται καὶ ἀλγεῖ, ὥσπερ προσηκόντων καὶ οἰκειοτάτων ἀποσπωμένη; Τὸ γὰρ ἥδεσθαι τοῖς ἀφθάρτοις συναπτομένην καὶ πάλιν λυπεῖσθαι διισταμένην συγγένειαν αὐτῇ καὶ ὁμοιότητα πρὸς τὸ ἀθάνατον μαρτυρεῖ· εἰ δ' ἐκεῖνο κρεῖττον μεταβολῆς, οὐδὲ ταύτην εἰκὸς ἐνέχεσθαι τῇ φθορᾷ.

Op. cit. XVI (29, 14–30, 1): Οὐ μόνον γὰρ σώζεται φθειρομένου, ἀλλὰ καὶ τὰ ἑαυτῆς πράττειν καθαρῶς οὐχ οἵα τε, ἂν μὴ τῶν παρὰ τοῦ σώματος κωλυμάτων ἀπαλλαγῇ. Τὸ γὰρ φρονεῖν καὶ νοεῖν καὶ τοῖς θείοις καὶ ἀσωμάτοις συνάπτεσθαι, ὃ δὴ κατὰ φύσιν πάσῃ ψυχῇ καὶ πρὸς ὃ πάνθ' ἃ λέγομεν καὶ διανοούμεθα τείνει, ὡς ἂν τῶν ἐν ἡμῖν ἄριστον ὂν καὶ θειότατον, τοῦτο παντελῶς φεύγει τὴν τοῦ σώματος κοινωνίαν καὶ μόνης ψυχῆς ἔργον ἐστὶ καθαρῶς αὐτὴν ἀπὸ τοῦ σώματος πρὸς ἑαυτὴν καὶ τὰ νοητὰ συναγούσης.

Op. cit. XVIII (33, 19–25): Ὅμως, εἰ τούτου τοῦ μικροῦ φθειρομένου θνητὸν ἀξιοῖ τις δι' ἐκεῖνο καλεῖσθαι τὸν ἄνθρωπον, πόσῳ δικαιότερον τοῦ μείζονος καὶ τοσοῦτον ὑπερέχοντος τὴν φθορὰν νικῶντος καὶ μένοντος ἄφθαρτον αὐτὸν καὶ ἀπαθῆ διὰ τοῦτο καλεῖσθαι, ὃ μόνον καθαρῶς ἄνθρωπος καὶ ἐν ᾧ μόνῳ τὸ φρονεῖν καὶ λογίζεσθαι, οἷς τῶν λοιπῶν ζώων ἄνθρωπος διακρίνεται;

Pleth., *ad Joh. Pal.* 94–95 (357): Ἐκεῖνος δ' ἂν ἀμείνων ἀνθρώπου εἴη ὅρος, τὸν ἄνθρωπον εἶναι ζῷον ἀθάνατον θνητῇ κοινωνεῖν φύσει πεφυκός.

Op. cit. 28–32 (359): Εἰ δ' οὖν ἐκ δυοῖν εἰδοῖν, τοῦ μὲν θείου τοῦ δὲ θηριώδους, σύνθετόν τι χρῆμα ὁ ἄνθρωπός ἐστιν, ὑπὲρ τῆς τοῦ παντὸς ἁρμονίας καὶ ἀθανάτου τε καὶ θνητῆς ἐν

ἡμῖν μίξεως τῷ Θεῷ μεμηχανημένον, κἂν τὸ κυριώτατον αὐτοῦ τῆς οὐσίας ἐν τῷ θείῳ τούτῳ αὐτοῦ εἴη, ἀλλ' οὐ κατὰ τοὺς περὶ Ἀλέξανδρον ἐν τῷ θηριώδει καὶ θνητῷ.

4., 1–12 Τὸ …γίνεται

Nic. Meth., *vit. term.* II (255): Ἦ μὲν οὖν τῆς κοινῆς καὶ ἀλόγοις ζώοις κοινωνοῦμεν ζωῆς, ὑπό τε φύσεως διοικούμεθα, οὕτως ὁρισθὲν παρὰ τῆς προνοίας, καὶ τῇ γενέσει τὴν ὀφειλομένην ἴσα καὶ κτήνεσι λειτουργοῦμεν τοῦ βίου κατάλυσιν· ᾗ δὲ καὶ ἰδίᾳ τῆς ἀθανάτου φύσεως καὶ τοῦ ὄντος αὐτοῦ μετειλήχαμεν, ὑπό τε τῆς προνοίας ἀμέσως αὐτῆς διακυβερνώμεθα καὶ πρὸς τὴν ἄνω λῆξιν φερόμεθα.

9–20 Διὰ … ἀκολουθοίη

Dem. Cyd*., de contemn. morte* XIV (25,15–22): Λογικὴν τοίνυν καὶ νοερὰν φύσιν παρὰ τοῦ δημιουργοῦ λαβοῦσα ἡ ἀνθρωπίνη ψυχὴ σῶμα μὲν οὐκ ἂν εἴη. Οὔτε γὰρ ἂν αὐτὴ τὸ σῶμα πρώτως ἐκίνει οὔτ' ἂν ἐχώρει δι' ὅλου τούτου, ἀλλ' ἦν ἂν κατὰ τοὺς εἰς ἀλλήλους ἐμβαλλομένους κάδους ἐνοῦσα τῷ σώματι καὶ τῷ μὴ διὰ παντὸς διικνεῖσθαι πολλὰ τῶν τοῦ σώματος καὶ μάλιστα τὸ ἔξω πᾶν ἐξ ἀνάγκης ἄψυχον καταλείπουσα.

Op. cit. XIV (26, 5–8): Τοιαῦτα γὰρ τὰ ἐν ὕλῃ καὶ σώμασιν. ὥστ' οὐδὲν ἂν ᾔδει καθόλου, ἀλλ' εἶχεν ἂν μόνον αἴσθησιν, ὧν νῦν ἐπιστήμην. Οὕτως ὁ τὴν ψυχὴν σῶμα τιθεὶς λόγος πολλοῖς ἀτόποις ἐνέχεται.

14 πλάττειν… καρδίας

Ps. 32,15: ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν.

14–15 τὸ ἕως… ἐργάζεσθαι

Ioh. 5,17: Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, "Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι".

8–10 οὐρανοῦ… ὠδί

Theoph. Nic., *de aet. mundi* 43 (48,11–13): Τὰ δὲ ἀθάνατα κινεῖται ἀεί, ὡς εἴρηται, ἐν τῇ τοῦ ἀπείρου ἀπειρίᾳ μηδέποτε τῆς κινήσεως ταύτης παυσόμενα. Τοῦτο γάρ ἐστιν αὐτοῖς ἡ μακαριότης, τὸ ἀεικίνητον.

10–14 Ἐκείνων… προαιρούμενα

Dem. Cyd*., de contemn. morte* XIII (24, 22–27): Οὕτω κατὰ λόγον μὲν ποιεῖ καὶ τὰ ζῶα· ὧν μέντοι ποιεῖ, αὐτὰ μὲν τὴν αἰτίαν οὐκ οἶδε, κινεῖται δὲ καὶ δὴ τυγχάνει παρὰ τοῦ τὰ πάντα εἰδότος ἀγόμενα. Καὶ τούτου τεκμήριον τὸ μόνοις ἐκείνοις ἐπιχειρεῖν, ἃ πρὸς τὴν ἀνάγκην τοῦ εἶναι συμβάλλεται, περαιτέρω δέ τινος μηδ' ἅπτεσθαι τὴν ἀρχήν.

17–23 Ἄνθρωπος…ἄγχειν

Procl. Is., *dec. prov.* 7, 46 (199, 28–200, 2): Συγγενὲς δὲ προνοίᾳ μὲν ὁ ἐν ἡμῖν νοῦς, φυσικῇ δὲ ἀνάγκῃ τὸ ἡμέτερον σῶμα. Ζῶμεν δὲ ἢ κατὰ τὸν ἐν ἡμῖν πάντως νοῦν ἢ κατὰ τὴν ἡμετέραν σωματικὴν φύσιν.

17–30 Ἄνθρωπος… τυγχάνων

Pleth., *fat.* 76–78: Τοὺς δὲ θεοὺς κολάζειν ἄν, οὐκ αὐτὸ τοῦτο τέλος δήπου τό γε κολάζειν ποιουμένους οὐδ' ἐπ' αὐτοῦ καταστρέφοντας, ἀλλὰ τὰ ἁμαρτήματα ἐπανορθοῦντας. Ἐπεὶ γὰρ οὐχ οἷόν τ' ἦν μὴ ἁμαρτάνειν πάντως τὸν ἄνθρωπον, τοιοῦτόν τινα γεγονότα, ἔκ τε θείας καὶ ἐπικήρου φύσεως σύνθετον, ἀλλ' ἔδει τοτὲ μὲν ἂν κατὰ τὸ θεῖον τὸ ἐν αὐτῷ ἐπὶ τὴν τοῦ συγγενοῦς ἀφομοίωσιν ἀγόμενον εὖ τε πράττειν καὶ μακαρίως ζῆν, τοτὲ δ' αὖ ὑπὸ τοῦ θνητοῦ τοῦ ἐν αὐτῷ κατασπώμενον ὡς ἑτέρως αὖ πράττειν, βοήθειάν τινα αὐτῷ καὶ τὴν διὰ

τῶν κολάσεων ταύτην ἐπανόρθωσιν τοὺς θεοὺς μεμηχανῆσθαι, ὥς ποτε τῷ κολασθῆναί τε καὶ δίκην δεδωκέναι ἀπαλλαγέντι τῆς κακίας, οἷόν περ νόσου σώματος δηκτικοῖς τε καὶ ἀνιαροῖς τισι φαρμάκοις, ἄμεινόν τε πρᾶξαι γένοιτο καὶ ἐλευθερίας ἀντὶ δουλείας μεταλαβεῖν, ὅτου μὴ ἠπιωτέρα τις ἐπανόρθωσις διὰ μοχθηροτέραν τινὰ ἕξιν δύναιτο καθικέσθαι.

6., 2 λειτουργὰ πνεύματα

Hebr. 1, 13–14: Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε "Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου"; Οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

5–11 Προνοεῖ… προθυμουμένας χειραγωγεῖ

Procl. Is., *dec. prov.* 7, 46 (199, 1–5): Τὰ μὲν οὖν πρῶτα καὶ ἡγεμονοῦντα τοῦ παντὸς πολλὴν ἐνάργειαν ἔχει τῶν τῆς προνοίας δώρων, ἐν τάξει ἀεὶ κινούμενα καὶ θεὸν μιμούμενα καὶ ἀγαθοειδῆ πάντα καὶ εὖ ποιητικὰ τῶν ἄλλων ὄντα μερῶν καὶ πᾶσαν ἀρετὴν ἔχοντα πρόχειρον, ὡς οἱ ἅγιοι ἄγγελοι.

17–20 Μηδὲ… ζωῇ

Jos. Br., *Cruc. IV* 317: Καὶ ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ ἡμῶν αὐτεξούσιον· καὶ γὰρ οὐχ ὅτι προγινώσκει πράττομεν, ἀλλ' ὅτι πράξομεν προγινώσκει.

Op. cit. 317–318: …καὶ διὰ τοῦτο οὐ συγγινώσκομεν ἁμαρτάνουσιν..., ἀλλὰ παρὰ τῶν τολμηθέντων ἐξετασταὶ καὶ τιμωροὶ γινόμεθα, ἐπειδὴ πάντες ἴσμεν ὅτι οὐκ ἐσμὲν δοῦλοι ἀνάγκης, ἀλλὰ προαιρέσως κύριοι.

20–26 Οὔτ… σκοποῦ

Nic. Meth., *vit. term.* I (233): Οὐ γὰρ ἀκουσίως τις οὐδὲ βίᾳ κατεργάζεται, ἀλλ' ὑπ' αὐτεξουσίου ὁρμῆς κινούμενος, καθ' ἣν καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν ἀρετήν τε φημὶ καὶ κακίαν ἐπίσης δύναται. Εἰ μὲν οὖν τὴν ἀρετὴν ἕλοιτο, συνεργὸν αὐτίκα λαμβάνει καὶ τὸν Θεόν· εἰ δὲ τὴν κακίαν, τὸν πρῶτον τῆς κακίας ἐφευρετὴν εὑρίσκει συμπράττοντα.

Jos. Br., *Cruc. IV* 317: Καὶ οὔτε ἡ παρ' ἡμῶν τελουμένη κακία ἐκ τοῦ παρ' αὐτοῦ προορᾶσθαι τὸ αἴτιον ἔχει, οὔτε ἡ ἐν ἡμῖν ἀρετὴ ἐντεῦθεν τὴν ἀρχὴν τοῦ γίνεσθαι κέκτηται· ἐπεὶ οὔτε τὴν κακίαν αὐτὸς ὁπωσοῦν θέλει, οὐδὲ τὴν ἡμῶν ἀρετὴν ὅλως βιάζεται. Οὐ γὰρ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλ' ἐλευθερίᾳ ἐπίσης πάντες ἄνθρωποι τετιμήμεθα.

26–31 Εἰ… ἄγειν

Dem. Cyd., *De contemn. morte* XIII (24, 19–22): ἐπεὶ καὶ τὸ βέλος οὐκ οἶδε μὲν τὸν σκοπόν, παρὰ δὲ τοῦ τοξότου ἐφ' ὅπερ ἐνεχθῆναι προσῆκον ἰθύνεται καὶ οὐκ ἂν εἴποι τίς τινος τὸ βέλος στοχάζεσθαι οὐδὲ γνῶσιν ἢ βούλησιν ἔχειν τοῦ τέλους.

48 ἀκάθαρτος…πύλης

Par. II 23,19: Καὶ ἔστησαν οἱ πυλωροὶ ἐπὶ τὰς πύλας οἴκου κυρίου, καὶ οὐκ εἰσελεύσεται ἀκάθαρτος εἰς πᾶν πρᾶγμα.

Is. 52, 1–2: Ἐξεγείρου ἐξεγείρου, Σιών, ἔνδυσαι τὴν ἰσχύν σου, Σιών, καὶ ἔνδυσαι τὴν δόξαν σου, Ἰερουσαλὴμ πόλις ἡ ἁγία· οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος καὶ ἀκάθαρτος. Ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι κάθισον, Ἰερουσαλήμ· ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμάλωτος θυγάτηρ Σιών.

Sap. 7, 14: Ἀτμὶς γάρ ἐστιν τῆς τοῦ θεοῦ δυνάμεως καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής· διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει.

8., 1–7 Ὅτι… προαιρούμενα

Dem. Cyd., *De contemn. morte* XIII (24, 2–22): Τούτου γε μὴν οὐδὲ τὴν τῶν ἄλλων ζώων φύσιν ἄμοιρον εἶναι· κἀκεῖνα γὰρ τὰ προσήκονθ' ἑαυτοῖς κατὰ λόγον ὁρᾶται ποιοῦντα καὶ τέλος αὐτοῖς ἐστιν ἑκάστη τῶν πράξεων. Οὐκ ἂν δ' οὕτως ἐποίει μὴ λόγῳ πρὸς τὸ τέλος ἀγόμενα· ἄλλως γὰρ τύχην ἀναγκαῖον ἂν ἦν, ὧν πράττουσιν, αἰτιᾶσθαι, καὶ οὕτως οὐδὲν ἂν ἦν ἐν οἷς πράττουσιν ὡρισμένον, ἀλλ' ὅπερ ἂν ἔτυχε τούτοις συνέβαινεν. Οὗ τὸ ἐναντίον τὰ περὶ αὐτὰ φαινόμενα μαρτυρεῖ, ἀεὶ ἢ τὸ πλεῖστον πάντων, ὧν ἐπιτηδεύουσιν, ὁμοίων ἀποβαινόντων. Ἐγὼ δὲ καὶ κατὰ λόγον μὲν γίνεσθαι τὰ ὑπὸ τῶν ζώων γενόμενα τίθεμαι· οὐκ ἐπὶ τούτων γὰρ μόνων, ἀλλὰ κἀπὶ τῶν ἀψύχων τὸ κατὰ λόγον ἴδοι τις ἂν τάξει τινὶ καὶ τούτων γινομένων καὶ ἐνεργούντων. Οὐ μὴν αὐτὰ τὸν τῶν γινομένων λόγον ἐν ἑαυτοῖς ἔχοντα ἑαυτὰ κατ' ἐκεῖνον καὶ τὸ δοκοῦν ἄγειν φημί, τὸν δὲ δημιουργὸν κατὰ τὸν ἐν αὐτῷ λόγον ἕκαστον πρὸς τὸ προσῆκον αὐτῷ τέλος ἐπείγειν, αὐτὰ δ' ἀσύνετα πάντα τῆς τῶν γινομένων αἰτίας ὑπάρχειν· ἐπεὶ καὶ τὸ βέλος οὐκ οἶδε μὲν τὸν σκοπόν, παρὰ δὲ τοῦ τοξότου ἐφ' ὅπερ ἐνεχθῆναι προσῆκον ἰθύνεται καὶ οὐκ ἂν εἴποι τίς τινος τὸ βέλος στοχάζεσθαι οὐδὲ γνῶσιν ἢ βούλησιν ἔχειν τοῦ τέλους.

9.1., 5–8 Νοῦς… φαμέν

Greg. Naz., *or. VII*, 46 (21, 1–2): Πείθομαι σοφῶν λόγοις ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος, ἢ οὐκ οἶδ' ὅ τι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται καὶ ἴλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα.

Anast. S., *inter. et resp.* 21 (89, 533B–C): Τοῦ Θεολόγου, ἐκ τοῦ *Εἰς Καισάριον τὸν ἀδελφόν*. "Πείθομαι σοφῶν λόγοις ὅτι πᾶσα ψυχὴ καλή τε καὶ θεοφιλής, ἐπειδὰν τοῦ συνδεδεμένου σώματος λυθεῖσα ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ οὐκ οἶδ' ὅ τι καὶ λέγειν χρή, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται, καὶ ἡδέως χωρεῖ πρὸς τὸν ἑαυτῆς Δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα".

Dem. Cyd., *De contemn. morte* XIV (25, 9–10): Ὃ δ' αὐτὸν καθαρῶς ἄνθρωπον δείκνυσι καὶ τῶν λοιπῶν διαιρεῖ, ὁ λόγος ἐστὶ καὶ ὁ νοῦς…

Dem. Cyd., *De contemn. morte* XIV (26,14–27,10): …τεκμήριον ἐναργὲς εἶναί τινα καθ' αὐτὴν τῆς ψυχῆς οὐσίαν ἐνδεᾶ μὲν σώματος, δυναμένην δὲ ἐφ' ἑαυτῆς καὶ εἶναι καὶ μένειν καὶ προσέτι πράττειν τὰ ἑαυτῆς τοσοῦτον τελεώτερόν τε καὶ καθαρώτερον, ὅσον καὶ μᾶλλον ἀποδιδράσκει τὸ σῶμα καὶ ἑαυτῇ πειρᾶται συνεῖναι. Ὅταν γὰρ τοῦ σώματος καὶ τῶν περὶ τούτου φροντίδων ἑαυτὴν ἀπολύσασα ἢ καὶ τὴν περὶ τὸν ὁρατὸν κόσμον πλάνην ἀφεῖσα τοὺς ἀφανεῖς τῶν ὄντων λόγους σκοπῇ καὶ τὴν ἀλήθειαν ἐφ' ἑαυτῆς δοκιμάζῃ, τότε, καθαρῶς ἑαυτῆς γινομένη καὶ τῶν ἀΰλων παραδειγμάτων ἀσώματος ἀσωμάτων ἐφαπτομένη καὶ ὥσπερ ἔνδον ἱερῶν γινομένη, καταλιμπάνει μὲν ἔξω τὸ σῶμα, ὡς οὐ θεμιτὸν ἐκείνου παρεπομένου καὶ τὴν ἰδίαν ἀφροσύνην ὥσπερ τι σκότος αὐτῆς καταχέοντος τῆς ἀληθείας λαβέσθαι, ἀλλ' ὥσπερ τινὸς ἄχθους ἀπαλλαγεῖσα κούφη πρός τε τὴν οὐσίαν καὶ τὸ ἀληθὲς διαβαίνει. καὶ τότε τὸν ἄνθρωπον τελεώτατον καὶ σοφώτατον καὶ ἀνδρῶν ἄριστον καὶ πάντα τὰ τῆς ἀρετῆς ὀνόματα προσειπεῖν ἔξεστιν.

10–11 ἀλλ' … λόγια

II Petr. 2,4-7: …ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σιροῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τηρουμένους...

11–16 Ὥρισται… οὖσα

Theoph. Nic., *de aet. mundi* 36 (33,23–25): Οἷον θέλει ὁ Θεὸς πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πλὴν συνεργούσης καὶ τῆς ἡμετέρας θελήσεως.

14–15 οὐ… αἰωνίως

Ez. 33, 11: εἰπὸν αὐτοῖς "Ζῶ ἐγώ, τάδε λέγει Κύριος. Οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν. Ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καί ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;"

Joh. Damasc., *exp. fid*. 43, II 29 (102, 67–70): Χρὴ εἰδέναι ὡς ὁ Θεὸς προηγουμένως θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς, ἀλλὰ πρὸς τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ ὡς ἀγαθός. Ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι δικαίως.

Blemm., *vit. fin.* I (2, 26–29): Ἐπεὶ τοίνυν ἀληθής ἐστιν ὁ Θεὸς καὶ τὰ λόγια αὐτοῦ ἀληθινὰ κατὰ τὸν ἐν προφήταις μέγαν Δαυίδ, φησὶν οὖν ἀληθῶς ὁ Θεός· "Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν"…

16–20 θέλει… ἐφικέσθαι

Joh. Damasc., *Exp. fid*. 43, II 29 (102, 67–70): Χρὴ εἰδέναι ὡς ὁ Θεὸς προηγουμένως θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς, ἀλλὰ πρὸς τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ ὡς ἀγαθός. Ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι δικαίως.

Marc. Eug., *ad Reg.* 23 (339–341): Τοῦτο γάρ ἐστιν ὁ τοῦ δικαίου λόγος, οὐ τοῖς φαύλοις μόνον τὰ γέρα καὶ τὰς τιμάς, ἀλλὰ καὶ τοῖς φαύλοις ἀποδιδόναι τὴν πρέπουσαν δίκην.

9.2., 9–13 καὶ[2]… ἔργου

Theod., *prov.* VI, 83 (645C): Οὐκοῦν ἀρετὴν μὲν ὁριζόμεθα φρόνησιν, σωφροσύνην, ἀνδρίαν, δικαιοσύνην καὶ τὰ ἀπὸ τούτων γεννώμενα, ἢ ἐν τούτοις περιεχόμενα τῆς φιλοσοφίας μόρια.

10–13 ἔχοντα…ἔργου

Plot., *Enn.* III, 2, 5 (96, 12–14): Καὶ γὰρ καὶ τὰ μόρια διάφορα ὄντα καὶ διάφορον τὴν ἐνέργειαν ἔχοντα· ἄλλο γὰρ ποιοῦσι πόδες, ὀφθαλμοὶ δ' ἄλλο, διάνοια δὲ ἄλλο καὶ νοῦς ἄλλο.

Pleth., *De virt.* A. 2 (4, 4–5): Εἶναί τε τέτταρα μὲν τὰ μέγιστα μόρια ἀρετῆς, σωφροσύνην, ἀνδρείαν, δικαιοσύνην, φρόνησιν.

Op. cit. B. 14 (17–18): Τῶν ἀρετῶν γενικαὶ μὲν φρόνησις, δικαιοσύνη, ἀνδρεία, σωφροσύνη […].

21–22 ἐκ… αὐτούς

Mat. 7,20: …ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

26–29 οὔτε… τἀγαθόν

Plot., *Enn.* III 2, 5 (54, 25–26): Ὅλως δὲ τὸ κακὸν ἔλλειψιν ἀγαθοῦ θετέον.

Procl. Is., *mal. subs.* 14 (143,22–24): Τὸ δὲ κατὰ πάντα τρόπον τοῦ ἀγαθοῦ ἐστερημένον, ὃ αὐτόκακον λέγεται, οὐδαμῇ οὐδαμῶς οὔτε ἦν οὔτε ἔστιν οὔτε ἔσται οὔτε εἶναι δύναται.

Procl. Is., *mal. subs.* 64 (182, 21–22): Ἀλλ' ὅτι μὲν τὸ πάντῃ κακὸν στέρησις τοῦ ἀγαθοῦ καὶ ἔλλειψις εἴρηται.

Joh. Phil., *In Phys.* 16, (122, 5–12): Αἱ γὰρ κακίαι ἀόριστοι ὥσπερ καὶ αἱ στερήσεις, τὰ δὲ ἐναντία ὥρισται διότι καὶ εἰδοπεποίηται, ἥ τε ἀνεπιστημοσύνη σαφῶς στέρησις μόνον τῆς ἐπιστήμης. Εἰλήφθωσαν γὰρ μὴ ἁπλῶς οἱ διαστρόφους δόξας ἔχοντες, εἶτα εἰς ἐπιστήμην ἀγόμενοι· μάλιστα μὲν γὰρ καὶ οὗτοι κατὰ στέρησιν ἀντίκεινται τοῖς ἐπιστήμοσιν, εἴ γε καὶ ἡ κακία καθόλου στέρησις ἀρετῆς, ἀλλὰ διὰ τὸ τῆς στερήσεως ἀόριστον οὐκ ἔστι μοναχῶς ἡ τῆς κακίας πρὸς τὴν ἀρετὴν ἀντίθεσις.

Joh. Damasc., *exp. fid*. 93, IV 20 (220, 22–221, 28): Ἀλλ' εἰ τοῦτο, φασί, πόθεν τό κακόν; Ἀμήχανον γὰρ ἐκ τοῦ ἀγαθοῦ τὸ κακὸν ἔχειν τὴν γένεσιν. Φαμὲν οὖν ὅτι τό κακόν οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ τοῦ ἀγαθοῦ στέρησις καὶ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπή· οὐδὲν γὰρ κακὸν κατὰ φύσιν. "Πάντα" γὰρ "ὅσα ἐποίησεν ὁ Θεὸς" "καλὰ λίαν", καθὸ γέγονεν. Οὕτω τοίνυν μένοντα, καθώς ἔκτισται, καλὰ λίαν εἰσίν, ἑκουσίως δὲ ἀποφοιτῶντα ἐκ τοῦ κατὰ φύσιν καὶ εἰς τὸ παρὰ φύσιν ἐρχόμενα, ἐν τῷ κακῷ γίνονται.

Theoph. Nic., *de aet. mundi* 11 (6, 5–6): Πονηρία γάρ ἐστιν ἡ ἑκούσιος τοῦ ἀγαθοῦ στέρησις.

31–32 οὔτε… εἰσίν

Dem. Cyd., *De contemn. morte* XVI (31, 1–3): …ᾗ τὰς σωματικὰς ἡδονάς, εἴ τις παραβάλλειν ἐθέλοι, εἴδωλα μᾶλλον ἡδονῶν, ἢ τοῦθ' ὃ καλοῦνται μετ' ἀληθείας ἐρεῖ.

Marc. Eug., *ad Reg.* 24 (379–380): Τοῖς τοίνυν ἐνταῦθα μὴ διαπλάσασιν ἑαυτοὺς κατὰ τὴν ἀρετὴν προαιρετικῶς μηδὲ πρὸς ἐκεῖνον μορφωθεῖσι τὸν βίον ἀδύνατον ἐκεῖ τὸ τέλειον ἀπολαβεῖν.

32–35 Ὡσαύτως… συμβήσεται

Mat. 26,24: Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

Joh. Damasc., *Exp. fid*. 94, IV 21 (222, 10–14): Ἕκαστος δὲ ἐξ οἰκείας προαιρέσεως καλός τε καὶ κακὸς γίνεται. Εἰ καὶ τοίνυν ἔφη ὁ Κύριος· «Συνέφερε τῷ ἀνθρώπῳ ἐκείνῳ, εἰ οὐκ ἐγεννήθη», οὐ τὴν οἰκείαν κτίσιν κακίζων ἔλεγεν, ἀλλὰ τὴν ἐξ οἰκείας προαιρέσεως καὶ ῥαθυμίας ἐπιγενομένην τῷ κτίσματι αὐτοῦ κακίαν.

Theod. Met., *misc.* 28 (339–340): Οὐκ οἶδ' ὁπότερον ἂν ἀνθρώπῳ τὸ βέλτιστον εἴη, ἢ τὸ γενέσθαι καὶ προελθεῖν εἰς βίον, ὅτι δὴ καθάπαξ ἄμεινον τοῦ μὴ εἶναι, καὶ πάντως τὸ γενέσθαι τοῦ μὴ γενέσθαι, καὶ δι' ἕτερα πλεῖστα, ἅ, κἂν εἰ μὴ πάντα, τινὰ δ' ὅμως εἰρήσεται, ἢ τὸ μὴ γενέσθαι, μηδὲ ξυλλαχεῖν ὅλως ζωῇ τε καὶ βίῳ τοσούτοις συναντῆσαι μέλλοντι τοῖς δυσχερέσι καὶ βαρυτάτοις τῇ ζωῇ πράγμασι διὰ πάσης, ὡς εἰπεῖν, τῆς ζωῆς.

Man. Palaeol., *disp. de. Jud.* I (123): Οὔκουν γε διέλαθε τὸν Σωτῆρα τὰ παρ' ἡμῖν φιλοσοφούμενα ταῦτα. Εἰρήκει δ' ὅμως τὸν λόγον ὥσπερ εἰρήκει, κἀκεῖνό γε τὸ ἀληθὲς ἀπεφήνατο, ὡς ἦν ἂν τῷ Ἰούδα συμφέρον, εἰ οὐδὲ τὴν ἀρχὴν ἐγεννήθη. Ταλανίζει δὲ σαφῶς ὁ Σωτὴρ οὐχ ἣν ἐδημιούργησε φύσιν —πῶς γὰρ ἂν ἦν τι κακὸν ἐκείνου δημιούργημα καὶ τῆς αὐτοῦ χειρὸς ἀπολαῦσαν;—, ἀλλὰ τὴν ἐπὶ τὰ χείρω ῥοπὴν ἐκείνου καὶ τὴν προαίρεσιν, ἐκτραπεῖσαν εἰς ὅ τι κάκιστον καὶ τοσοῦτον προσδεδραμηκυῖαν τοῖς φαυλοτέροις, ὅσῳ καὶ καλὸν αὐτῷ εἶναι, εἰ οὐκ ἐγένετο πώποτε. Προσέχειν δὲ οἶμαι δεῖν ἀκριβέστερον τῷ ῥητῷ. Τὸ γὰρ "καλὸν ἦν αὐτῷ" τοῦτο ἐπιλέγοντος. αὐτῷ γε τούτῳ μόνῳ τῷ δυστυχεῖ τῶν πώποτε γεγενημένων ἀνθρώπων ἐλυσιτέλει μηδὲ γενέσθαι, ἐπειδὴ καὶ μόνῳ γε τῶν πάντων ἀνθρώπων πᾶς ὁ τῶν χειρίστων ἐσμὸς συνεπέρρευσε, μεθ' ὅσης ἄν τις εἰπεῖν οὐκ ἔχει περιουσίας, καὶ τοσοῦτον ὑπερήλασε τοὺς βεβοημένους ἐπὶ κακίας πάντας ὁμοῦ, αὐτόκλητος εἰς τοῦτο παραγενόμενος, ὅσον οὐκ ἔνι λογίσασθαι οὐδ' ἐνθυμηθῆναι.

Op. cit. II (130–131): Οὔκουν διέλαθε τὸν Σωτῆρα τὰ παρ' ἡμῖν φιλοσοφούμενα ταῦτα. Εἰρήκει δ' ὅμως ἐκεῖνο τὸ φοβερὸν καὶ ἀκοῦσαι· "καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη"· ὅπερ εἴ τις ἐκλήψεται κατὰ τοὺς ἁγίους, ὡς ἤδη φθάσαντες ἔφημεν, εὖ γε ποιήσει, τὰς ἔρεις προρρίζους ἐξανασπῶν. Ἂν δὲ καὶ τὸ "οὐκ ἐγεννήθη" ἀντὶ τοῦ 'οὐκ ἐγένετο' λάβῃ, καλῶς καὶ οὕτω διανοήσεται, εἴπερ ὑγιῶς ἡμῖν ἔχει —ἔχει δὲ πάντως— τὰ εἰρημένα. Ταλανίζει δὲ σαφῶς ὁ Σωτὴρ οὐχ ἣν ἐδημιούργησε φύσιν —πῶς γὰρ ἂν ἦν τι δίκαιον σχετλιάζεσθαι τῶν αὐτοῦ δημιουργημάτων;—, ἀλλὰ τὴν ἐπὶ τὰ χείρω ῥοπὴν ἐκείνου καὶ τὴν προαίρεσιν, ἐκτραπεῖσαν εἰς ὅ τι κάκιστον καὶ τοσοῦτον προσδεδραμηκυῖαν τοῖς φαυλοτέροις, ὅσον καὶ καλὸν αὐτῷ εἶναι, εἰ οὐκ ἐγεννήθη, ἵνα μὴ τοιοῦτον κακὸν ἑαυτὸν ἀποφήνῃ, οἷον οὐκ ἔνι λόγῳ δεικνύναι. Καὶ παρίστησιν αὐτὸ τὸ ῥητόν, εἴ τις θεωρητικώτερον αὐτῷ προσέξει τὸν νοῦν. Τὸ γὰρ "καλὸν ἦν αὐτῷ" τοῦτό ἐστιν ἐμφαίνοντος ὡς ἄρα δυστυχέστατος οὗτος τῶν πώποτε γεγενημένων ἀνθρώπων, καὶ διὰ τοῦτο ἐλυσιτέλει τῷ ταλαιπώρῳ μηδὲ εὐμοιρῆσαι τοῦ εἶναι, εἴπερ καὶ μηδ' ὁτῳοῦν ἑτέρῳ τῶν κτισμάτων ἐλυσιτέλει. Ὁ γὰρ τῶν χειρίστων ἐσμὸς αὐτῷ συνεπέρρευσε, μεθ' ὅσης ἄν τις εἰπεῖν οὐκ ἔχοι περιουσίας, καὶ τοσοῦτον ὑπερήλασε τοὺς βεβοημένους ἐπὶ κακίᾳ πάντας ὁμοῦ, ἅτε τῶν ἑλκόντων πραγμάτων πρός τ' ἀγαθὸν ἐξ ἐναντίας ὁδεύσας καὶ τοῖς χειρίστοις σαφῶς προσδεδραμηκώς —τοῦτο δὲ διὰ πλειόνων ἐδείχθη—, ὅσον οὐκ ἔνι λογίσασθαι οὐδ' ἐνθυμηθῆναι.

37–42 Εἰ…σπεύδειν

Dem. Cyd., *de contemn. morte* X (19, 4–16): Καὶ παρὰ μὲν τῶν ἀρχομένων τιμαὶ καὶ φόροι τοῖς ἄρχουσιν ἀρετῆς ἆθλα ταῦτα καὶ τῆς εἰς τοὺς ἐλάττους προνοίας, παρὰ δὲ τῶν ἀρχόντων διηνεκὴς τῶν ὑπὸ χεῖρα φροντὶς καὶ πρόνοια συνεχής, ἣν τοσαύτην δείκνυνται, ὥσθ' ὅ γε καλὸς καὶ δίκαιος ἄρχων ἰδίοις κινδύνοις σωτηρίαν τοῖς ἄλλοις πορίζει καὶ πολλοὶ ταῖς πατρίσιν ἀμύνοντες ἔπεσον, ὃ τῆς τῶν ἀλόγων φύσεως πορρωτάτω. Ὑπὲρ γὰρ αὐτῶν μόνον ἢ καὶ τέκνων μόλις ἴδοι τις ἂν ἀμυνόμενα, ἀνθρώπων δὲ μόνων ἡ τῶν ἐλαττόνων πρόνοια παρώνυμός τις οὖσα λόγου καὶ νοῦ. Καίτοι τί τις ἂν εἴποι τούτου καθαρώτερον δεῖγμα τῆς τε ἀνθρωπίνης τελειότητος καὶ τῆς τῶν ἀλόγων ἐνδείας;

9.3., 6–8 καὶ[2]… ἀμείνονι

Marc. Eug., *ad Reg.* 25 (415–416): Ἀλλ' ἀνέχεται καὶ μακροθυμεῖ τήν τε μετάνοιαν ἑκάστου τῶν βουλομένων καὶ τὴν ἐπιστροφὴν ἀναμένων·

13–16 Καὶ… νικᾶν

Sym. Theol., *exhort.* 97–102 (318): Καὶ οὐκ ἀφίησι μόνους ἡμᾶς (οἶδε γὰρ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν), ἀλλὰ καὶ αὐτὸς ἐκεῖνος συμπάρεστιν ἡμῖν καὶ μέντοι γε πολεμεῖν προαιρουμένοις συμμαχεῖ καὶ ἰσχὺν μυστικῶς ἐμπαρέχει ἡμῖν καὶ τὴν κατὰ τοῦ ἐχθροῦ νίκην αὐτὸς μᾶλλον ἢ ἡμεῖς ἐργαζόμεθα.

25-26 της θείας…εξάπτωσιν

Joh. Damasc., *Const.* 95 (313B): Καὶ γὰρ ὅσον ἀναγινώσκονται αἱ θεῖαι Γραφαί, τοσοῦτον καὶ ἐπιγινώσκονται, καὶ πλέον ἐξάπτουσιν ἡμᾶς πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ.

36–38 Οὐδὲν… ἀποβησόμενον

Psel., *phil. min.* 46 (159, 6–7): Εἰ τὸ ἐσόμενον, φῄς, οἶδε Θεός, ὅρος ἐστὶν ἀκριβὴς τῆς τούτου ἐκβάσεως ἡ ἐκείνου πρόγνωσις.

36–52 Οὐδὲν…συμβεβηκός

Germ., *vit. term.* 56, 4–21: Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ συνηρτημένον ἀληθῶς λίαν καὶ ἀπρόσκοπον δείκνυσιν τὴν διὰ τῶν ἱερῶν γραμμάτων

φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον, καὶ οὐ τὸ οἴεσθαι ὡς ἐκ ταὐτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον, τοῖς ὡς ἔτυχεν συμπτώμασιν ἐπισυμβαίνοντα, κἀντεῦθεν τῶν δύο τὸ ἕτερον περὶ τὴν κρείττονα φύσιν συνάγεσθαι ἄτοπον, ἢ τὸ περὶ τὸν ἄνθρωπον ἀπρονόητον καὶ τὴν περὶ τὸ τιμιώτατον τῆς ὁρατῆς κτίσεως καταφρόνησιν, δι' ὃν λόγος, νόμος, προφῆται, αὐτὰ τὰ Χριστοῦ πάθη, Πνεύματος ἁγίου διανομαί, αἰωνίων ἀγαθῶν ἐπαγγελίαι, καὶ ὅσα ἕτερα τῆς τοῦ Θεοῦ ἀγαθότητος περὶ τὸ ἡμετέρον γένος δωρήματα, ἢ ἀσθένειαν αὐτῆς καταγορεύειν, ὡς μὴ ἀρκούσης τῇ ἐποπτικῇ τε καὶ προνοητικῇ δυνάμει πάσης τῆς καθ' ἡμᾶς περιδράσσεσθαι φύσεως μήτε μὴν δυναμένης συνάγειν τὰ ἔργα ἡμῶν καὶ τοὺς λογισμούς, ὥς φησιν ὁ προφήτης, μηδὲ ἰσχύειν "ἐπιβλέπειν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν", πρὸς ὃν πάντα τὰ ἔθνη κατὰ τὸν Ἡσαΐαν "ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ῥοπὴ ζυγοῦ καὶ ὡς σίελος ἐλογίσθησαν".

10., 3–5 Καὶ… ἄγεται

Nic. Meth., *vit. term.* I (230–231): ἀλλ' ὅσα γε κατὰ λόγον ζῇ καὶ προαίρεσιν, ταῦτα τῶν αὐτεξουσίων ζωῶν οἰκείους ἐφ' ἑαυτὰ τοὺς ὅρους ἐφέλκεται.

4–9 Ἐρχόμενος… ἀναχώρησις

Nic. Meth., *vit. term.* I (231): Ἐγὼ δὲ παρὰ τῆς θείας σοφίας οἶδα μαθών, ὅτι τοῖς μὲν ἀγαπῶσι τὸν Θεὸν "πάντα συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν", οἷς δὴ καὶ τὴν τῶν οὐρανῶν βασιλείαν καὶ τὰ ἐπηγγελμένα προητοίμασεν ἀγαθά, "ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ νοῦς ἀνθρώπων οὐκ ἐξιχνίασεν"· οὔτε δὲ συμπράττει τοῖς κακῶς πράττουσιν, ἀλλὰ μόνος ἐκ τῆς παρ' αὐτῷ κειμένης τοῦ αὐτεξουσίου πηγῆς ὁ κατὰ προαίρεσιν κακὸς ἀντλεῖ τὰ κακά.

23 τὰς…θέλει

Prov. 21,1: Ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χειρὶ Θεοῦ· οὗ ἐὰν θέλων νεύσῃ, ἐκεῖ ἔκλινεν αὐτήν.

Bas., *Deus non auct. mal.* 31 (340C–341A): Διόπερ, ἐπειδὴ ἔδει συντριβῆναι αὐτόν, ὁ φρόνιμος καὶ σοφὸς τῶν ψυχῶν οἰκονόμος διῳκήσατο αὐτὸν περιφανῆ γενέσθαι καὶ πᾶσιν ἐξάκουστον, ἵνα ἄλλοις γοῦν ὠφέλιμος διὰ τοῦ πάθους γένηται, ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν. "Ἐσκλήρυνε" δὲ αὐτὸν τῇ μακροθυμίᾳ καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτοῦ τὴν κακίαν, ἵνα εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτοῦ τῆς πονηρίας τὸ δίκαιον ἐπ' αὐτῷ τῆς θείας κρίσεως διαφανῇ.

28–40 Καὶ… κακουμένοις

Nic. Meth., *vit. term.* II (241): Πάντα ταῦτα καὶ τὰ τοιαῦτα καὶ αἱ μυριάκις ἐπὶ μυρίοις τοῖς ἑκάστοτε ἐκβαίνουσι καὶ ἐκβησομένοις ἐκφωνηθεῖσαι θεῖαι προρρήσεις συμπείθουσί με μὴ μόνον τὸ πέρας τῆς καθ' ἡμᾶς ζωῆς, ἀλλὰ δὴ καὶ τὸ ὅλον εἶδος αὐτῆς, καὶ τὰς τῶν διαφόρων βίων ἐξαλλαγάς, καὶ τὰς κοινὰς ἐθνῶν ἢ πόλεων ἢ χωρῶν ἢ γενῶν ἢ ἡλικιῶν, οὐ πολὺ δὲ εἰπεῖν καὶ ἰδίας ἑκάστου καὶ περὶ ἕκαστον δοκούσας ἀτυχίας ἢ εὐτυχίας, καὶ νόσους καὶ ὑγείας, εἰ καὶ μὴ πάσας (ἔστι γὰρ ἃ καὶ ἡ φύσις ἐν ἡμῖν δρᾷ, καίτοι ἔξεστι καὶ ταύτην ὅρον ἐκ Θεοῦ δεδομένον εἰπεῖν) καὶ πάντα ἁπλῶς τὰ περὶ τὴν ἡμετέραν ζωὴν πολυτρόπως οἰκονομούμενα κατὰ θείαν συντίθεσθαι πρόγνωσιν καὶ πρόρρησιν γίνεσθαι.

Op. cit. II (252): Ἄθρει δή μοι καὶ τὰς κοινὰς καὶ πολυανθρώπους ἐπαγωγὰς καὶ δοκούσας ἀώρους πανωλεθρίας ἀπό τε πολέμων, ἀπό τε λοιμῶν ἢ λιμῶν ἢ σεισμῶν ἢ χασμάτων γῆς αἰφνιδίων ἢ ναυαγίων ἢ ἐκπυρώσεων ἢ ἄλλων ὠντινωνοῦν συμπτωμάτων πολλῶν πολυτρόπως τῷ καθ' ἡμᾶς συγκυρούντων βίῳ, ὡς, εἰ καὶ μὴ πάντες ὅσοι τὸν κοινὸν οὕτως ὑπέστησαν κίνδυνον τῆς αὐτῆς ἡλικίας ἢ τοῦ ὁμοίου βίου τυγχάνουσιν ὄντες, ὅμως κατὰ τοὺς ἀῤῥήτους λόγους τῆς θείας προνοίας καὶ τὰ ἀνεξερεύνητα κρίματα ἄλλα περὶ ἄλλους, καὶ πάντα σοφῶς ἄγαν καὶ ὡς [lac.] καταλάβοιμεν, προνοεῖται καὶ διεξάγεται, καὶ οὐδὲν τὴν

θείαν διαφεύγει βουλήν τε καὶ πρόγνωσιν καὶ προόρισιν, ἀλλὰ καὶ ἡ σωτηρία τῶν σωζομένων καὶ πᾶσα μεταβολὴ καὶ φθορὰ καὶ κίνησις καὶ ἀλλοίωσις ἐκεῖθεν ἤρτηται.

34-35 τῷ δὲ ….πνεύματι
I Cor. 2.10: Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

55–59 Καὶ… τρόπον
Nic. Meth., *vit. term.* II (253): "Ἐπιβλέπει" γοῦν "ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν", καὶ εἰς μίαν ἁπλῆν καὶ ἀδιεξόδευτον πρόγνωσιν συνάγει πάντα τὰ ἔργα καὶ "τοὺς διαλογισμοὺς τῶν καρδιῶν ἡμῶν", καὶ κατὰ μίαν ὑπερπληρωμένην καὶ ὑπερεξῃρημένην ἐπιβολὴν ὁρᾷ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων "ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν".
Op. cit. III (264–265): Καὶ αὐτὸς γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων καὶ τῆς καρδίας τὰ κρύφια, καὶ τὸ ἀκατέργαστον ἡμῶν τοῖς ὀφθαλμοῖς αὐτοῦ προεώραται.

68 εὐμήχανος…ἐξανύει
Germ., *vit. term.* 56, 23–58, 2: Εἰ οὖν οὕτως εὐτελῆ καὶ ὡς οὐδὲν πρὸς τὸ θεῖόν τε καὶ ἀκατάληπτον μέγεθος ἅπαντα τὰ ἀνθρώπινα, τίς μόχθος αὐτῷ σταγόνος μιᾶς ποιήσασθαι κατανόησιν, ἤγουν τὰς ὁδοὺς ὁμοῦ καὶ τὰς κινήσεις, τάς τε κατὰ ψυχὴν καὶ ὅσαι διὰ σώματος πάντων ἀνθρώπων ἀθρόως καὶ οὐκ ἀνὰ μέρος προορᾶν τε καὶ κρίνειν, τὸ ἑκάστῳ πρόσφορον τέλος ὁρίζοντος αὐτοῦ τοῦ τὰ πάντα συνέχοντος καὶ πρὸς τὸ εὔτακτον διακυβερνῶντος τὴν σύμπασαν κτίσιν, οὐχ ὅση ἐν ὁρατοῖς μόνον ὑπάρχει, ἀλλ' ἤδη πολλῷ πλέον τὴν ἀόρατόν τε καὶ ὑπερκόσμιον;

11.1., 1–2 Ταῦτα…2 συμπληροῖ
Germ., *vit. term.* 54, 16–17: Τῇ γὰρ τοῦ κτίσαντος προγνώσει ταῦτα δὴ πάντα καὶ προεώραται καὶ πρὸς τὸ ἁρμόδιον τέλος διώρισται…

2–5 Οὐκ…μένει
Mich. Glyc., *In S. Scr.* 36 (388,5–6): Προγινώσκει μὲν γὰρ ὁ Θεὸς τὴν ἑκάστου προαίρεσιν, τὸ δέ γε αὐτεξούσιον, καθάπερ εἴπομεν, οὐκ ἀναιρεῖ.
Pleth., *fat.* 70: Ἀλλ' 'εἰ πάντα ὥρισται', φαίη ἄν τις, 'καὶ οὐδὲν ὅ τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ' ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ ἅττ' ἂν πράττοιεν πραττόντων καὶ οὐκέτι οὔτ' ἂν κυρίων ἑαυτῶν ὄντων οὔτ' ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακοὺς ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί'.

6 ἵνα ἐφ…παραδείγματος
Nic. Meth., *vit. term.* II (257–258): Ἐπειδὴ γὰρ ἐν τῇ καθ' ἡμᾶς οἰκονομίᾳ τέλειος ἄνθρωπος ἐχρημάτισε καὶ κατὰ πάντα γέγονε καθ' ἡμᾶς χωρὶς ἁμαρτίας, ἀκολούθως καὶ τῷ καθ' ἡμᾶς ὑπέπεσε τῆς ζωῆς ὅρῳ· καὶ πρὸ τῆς τούτου μὲν ἀποπερατώσεως αὐτός τε "Οὔπω ἥκει ἡ ὥρα μου" ἔλεγε, καὶ οἱ εὐαγγελισταὶ τοῦ τὰς χεῖρας τῶν διωκόντων ἀποδιδράσκειν αὐτὸν αἰτίαν ἐπῆγον τὸ "μήπω ἐλθεῖν τὴν ὥραν αὐτοῦ"· ὅτε δὲ ὁ τοῦ πάθους ἐπέστη καιρός, αὐτοῦ λόγος ἐστὶ τό, ἤγγικεν ἡ ὥρα· καταιτιώμενος δὲ τοῦ προδότου καὶ ἅμα ὑπὲρ αὐτοῦ εὐσυμπαθήτως ἀποκλαιόμενος ἔφησε. Πλὴν ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· "οὐαὶ δὲ τῷ ἀνθρώπῳ δι' οὗ παραδίδοται". Ὁρᾷς ὅπως οὐ μόνον οὐκ ἐπαινεῖται ὁ Ἰούδας, ἀλλὰ καὶ ταλανίζεται καὶ κακίζεται, καίτοι τῷ "πρὸ καταβολῆς κόσμου" προεγνωσμένῳ, καθά φησι Πέτρος, καὶ "πρὸ τῶν αἰώνων" προωρισμένῳ, καθά φησι Παῦλος, οἱ μεγάλοι πρόβολοι τῆς ἐκκλησίας, ἐπ' ἐσχάτων δὲ φανερωθέντι δι' ἡμᾶς αἵματι Χριστοῦ δόξας ὑπηρετήσασθαι. Διατί; Ὅτι μὴ πρὸς τοῦτον ἦν ἀπιδὼν τὸν σκοπόν, μηδ' ὡς τοῦ θείου

ὅρου διάκονος, ἀλλ᾽ ὡς ὑπὸ τοῦ τῆς φιλαργυρίας πάθους κινούμενος εἰς τὴν προδοσίαν ἐλήλυθεν· οὐχ ἡ ἔκβασις τοῦ πράγματος κρίνεται, ἀλλ᾽ ἡ διάθεσις καθ᾽ ἣν πράττεται.

31–35 Οὔτε… ἐνδεχόμενον

Psel., *phil. min.* 44 (157, 27–32): Καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαίαν ἔξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα διὰ τὸ ὑπὸ Θεοῦ γινώσκεσθαι αὐτὰ ὡρισμένως· οὐ γὰρ διότι γινώσκει αὐτὰ ὁ Θεός, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ᾽ ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον ἔξει πέρας, διὰ τοῦτο καὶ τὸν Θεὸν εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. Καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τοῦ Θεοῦ ὡρισμένον.

45–46 οὐκέτι… ἁμαρτία

Rom. 7,17: Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

47–48 τὸ … παρασχόμενος

Eph. 3,8: Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ. *Ibid*. 4,7: Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

50–89 Τοῖς…αὕτη

Anast. S., *qu. et resp*. 16, 3 (24, 17-25, 3): Ὅμως καὶ ἕτερον δόγμα πονηρὸν καὶ Μανιχαϊκὸν ἐντεῦθεν ἡμῖν τίκτεται. Ποῖον τοῦτο; Ὅτι προγνώστης ὢν ὁ Θεός, "προγινώσκων" τὰ πάντα "πρὶν γενέσεως αὐτῶν", εἰ ἄρα θέλει πάντας ἀνθρώπους σωθῆναι καὶ μηδένα ἀπολέσθαι, διὰ τί προγινώσκων τὴν ἀποστασίαν Ἰουλιανοῦ τοῦ παραβάτου καὶ τὴν ἄρνησιν Ἰούδα τοῦ Ἰσκαριώτου, μὴ μᾶλλον κολοβωτέραν αὐτοῖς προώρισε καὶ προέπηξεν ζωήν, ἵνα πρὸ τῆς ἑαυτῶν ἀπωλείας ἀποθανόντες ἐσώθησαν; Καὶ ἐφ᾽ ἑκάστου δὲ μοναχοῦ, ἢ καὶ ἀνθρώπου καλῶς ἔχοντος, ὕστερον δὲ ἐκπεσόντος καὶ ἀπολωλότος, πρὸς Θεὸν ἡ αἰτία ἀνατρέχει. Καὶ ἀνάγκη λοιπὸν ἓν ἐκ τῶν ὁποτέρων εἰπεῖν, ἢ ὅτι οὐ προέγνω ὁ Θεός, ἤ, ἐὰν προέγνω, εὔδηλον ὅτι οὐκ ἠβουλήθη αὐτοὺς σωθῆναι, ἀλλὰ ἀπολέσθαι. Εἰ γὰρ σωθῆναι ἠβούλετο, ἐχρῆν αὐτὸν πρὸ τῶν ἐκπτώσεων τοὺς ὅρους τῆς ζωῆς προορίσασθαι.

57–60 Καὶ… ἀναγκαίως

Eus., *p.e*. VI,11 (352, 15–21): Εἰ ἐνδέχεται Ἰούδαν προδότην γενέσθαι, ἐνδέχεται τὸν Θεὸν φρονῆσαι περὶ αὐτοῦ ὅτι προδότης ἔσται. Εἰ δὲ προδότης ἔσται Ἰούδας, ὁ Θεὸς τῇ προγνώσει αὐτοῦ τῶν προειρημένων ἐνδεχομένων δύο, ἐνδεχομένου τοῦ εἶναι ἑνὶ αὐτῶν, τὸ ἀληθὲς προγινώσκων προγνώσεται τὸν Ἰούδαν προδότην γενέσθαι. Τὸ δὲ περὶ οὗ ἡ γνῶσις ἐνδέχεται καὶ ἑτέρως γενέσθαι· καὶ λέγοι ἂν ἡ γνῶσις τοῦ Θεοῦ ὅτι ἐνδέχεται μὲν τόνδε τόδε ποιῆσαι, ἀλλὰ καὶ τὸ ἐναντίον· ἐνδεχομένων δὲ ἀμφοτέρων οἶδα ὅτι τάδε ποιήσει.

Procl., *inst. theol.* 124 (166, 10–13): Πᾶς θεὸς ἀμερίστως μὲν τὰ μεριστὰ γινώσκει, ἀχρόνως δὲ τὰ ἔγχρονα, τὰ δὲ μὴ ἀναγκαῖα ἀναγκαίως, καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως, καὶ ὅλως πάντα κρειττόνως ἢ κατὰ τὴν αὐτῶν τάξιν.

Procl. Is., *dec. prov.* 2, 6 (159,18–160,3): Ἡμῖν δὲ τὸ ἀληθὲς ἐξ ἑκατέρων παρίσταται, ἐκ μὲν τῶν τὸ εἶναι τὰ ἐνδεχόμενα, ἐκ δὲ τῶν τὸ διήκουσαν εἰς πάντα τὴν πρόνοιαν πάντα γινώσκειν, ἐξ ἀμφοτέρων δ᾽ ὁμοῦ τὸ ἀναγκαίως γινώσκειν τὴν πρόνοιαν πάντα ὧν προνοεῖ, συναγομένου ἀκολούθως τοῦ καὶ τῶν ἐνδεχομένων προνοοῦσαν τὴν πρόνοιαν ἀναγκαίως γινώσκειν αὐτά, κἂν ᾖ ἐνδεχόμενα. Αὕτη μὲν γὰρ ὡρισμένως οἶδε τὰ ἐσόμενα· ταῦτα δὲ κατὰ τὴν ἑαυτῶν γίνονται φύσιν, τὰ μὲν ὡρισμένως, τὰ δὲ ἀορίστως.

57–64 Καὶ… αἰτίᾳ

Psel., *phil. min.* 44 (157, 27–32): Καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαῖον ἔξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα, διὰ τὸ ὑπὸ Θεοῦ γινώσκεσθαι αὐτὰ ὡρισμένως· οὐ γὰρ διότι γινώσκει

αὐτὰ ὁ Θεός, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ' ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον ἕξει πέρας, διὰ τοῦτο καὶ τὸν Θεὸν εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. Καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τοῦ Θεοῦ ὡρισμένον.

59–60 καὶ… ἀναγκαίως

Nic. Meth., *vit. term.* I (234): Οὐχ οἱ ὅροι δὲ ὑφιστάνουσι τὰ γινόμενα, ἀλλ' αὐτοὶ διὰ ταῦτα μᾶλλον τὴν ὑπόστασιν ἔχουσι.

70–75 Καὶ… δογμάτων

Mat. 10,28: Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβεῖσθε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Ath., *pass*. 28 (200C–201D): …ὁ Κύριος ὑπέμεινε πάντα, ἵνα ἐν μὲν τῇ δειλίᾳ τὴν ἀνδρείαν, τῇ δὲ ὕβρει τὴν ἀνεξικακίαν, τῷ δὲ θυμῷ τὴν πραότητα, καὶ ἐπὶ πᾶσιν ἀρετὴν κατὰ τῆς κακίας ἀντικεῖσθαι διδάξῃ. […] καί· «Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα».

78–79 χωρὶς… ὁτιοῦν

Io. 15, 5: Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

11.2., 7–14 Γινωσκόμενα… προωρίσθαι

Nic. Meth., *vit. term.* I (232): Ὅπερ ἡ γνῶσις ἐπὶ τῶν ὄντων, τοῦτο ἐπὶ τῶν ἐσομένων ἡ πρόγνωσις· καὶ ὅπερ ἐπ' ἐκείνων ὁ λόγος, τοῦτο ἐπὶ τούτων ἡ πρόρρησις· οὐκοῦν ὅτι τόδε τι ἔσται, διὰ τοῦτο καὶ προέγνωσται καὶ προείρηται, ἀκολούθως δὲ καὶ προώρισται.

Op. cit. III (263): Εἰ ἃ προέγνωσται καὶ προώρισται, ἃ μὴ προώρισται, οὐδὲ προέγνωσται. Ἀλλὰ μὴν πάντα Θεῷ προέγνωσται· οὐκοῦν καὶ προώρισται. Εἰ τὸ ὂν ὥρισται, τὸ μὴ ὡρισμένον οὐκ ἔστιν· ὥρισται δὲ πάντα τὰ ὄντα· οὐκ ἄρα ἐστὶ τὸ ἀόριστον. Εἰ τὸ γινόμενον ὥρισται, τὸ ἀόριστον οὐδὲ γίνεται. Ἀλλὰ μὴν ὥρισται τὸ γινόμενον […]. Οὐκ ἄρα γίνεται ὃ μὴ ὥρισται. Εἰ μὴ ὥρισται τὸ μέλλον, οὐδὲ γενήσεται, οὐδὲ μὴν ἔσται, ἵνα καὶ γινόμενον καὶ ὂν ποτε ᾖ· πᾶν γὰρ τό τε ὂν τό τε γινόμενον ὥρισται· γενήσεται δε, εἴ περ μέλλει· οὐκοῦν καὶ ὥρισται.

8–9 προωρισμένα… προώριστο

Nic. Meth., *vit. term.* I (234): Οὐχ οἱ ὅροι δὲ ὑφιστάνουσι τὰ γινόμενα, ἀλλ' αὐτοὶ διὰ ταῦτα μᾶλλον τὴν ὑπόστασιν ἔχουσι·

31–32 Καὶ… προαιρετοῖς

Nic. Meth., *vit. term.* I (230–231): …οὐδὲ τὸν θεῖον ὅρον αἰτιατέον τῶν γινομένων κατὰ προαίρεσιν.

Op. cit. I (231): Εἰ δ' ἐγὼ παραβαίνω τὸν νόμον καὶ τοῦ ἀπηγορευμένου ξύλου μεταλαμβάνω καὶ πρὸς ἐμαυτὸν τὸν ἐπὶ τῇ παραβάσει κείμενον ὅρον ἐφέλκομαι, ἡ "αἰτία" τοῦ "ἑλομένου", φησί τις σοφός, "ὁ Θεὸς ἀναίτιος" (Plat., *Resp.* 617E: Αἰτία ἑλομένου· θεὸς ἀναίτιος).

Op. cit. I (232): …ὥστε τῶν μὲν ἀγαθῶν ἁπάντων τὴν αἰτίαν ἀνενεκτέον ἐπὶ Θεόν, κακοῦ δὲ οὐδενὸς οὔτε τὸν Θεὸν οὔτε τὸν θεῖον ὅρον αἰτιατέον, ἀλλὰ τὴν ἀρχὴν τῶν κακῶν τῇ προαιρέσει δοτέον, τῇ παρεγκλίσει τῶν ἀγαθῶν παρυφισταμένην.

37–39 Εἰ… λέγειν

Joh. Damasc., *exp. fid*. 44, II 30 (103, 1-2): Χρὴ γινώσκειν ὡς πάντα μὲν προγινώσκει ὁ Θεός, οὐ πάντα δὲ προορίζει· προγινώσκει γὰρ καὶ τὰ ἐφ' ἡμῖν, οὐ προορίζει δὲ αὐτά.

Eus., *p. e.* VI, 11, 30 (350,15–16): Πῶς, προγνώστου ὄντος ἐξ αἰῶνος τοῦ Θεοῦ περὶ τῶν ὑφ' ἑκάστου πράττεσθαι νομιζομένων, τὸ ἐφ' ἡμῖν σῴζεται.

Mich. Glyc., *In S. Scr.* 36 (387,6–9): Ἡ γὰρ θεία πρόγνωσις οὐ φύσεις ποιεῖ, ἀλλὰ προαιρέσεις ὁρᾷ. Καὶ τοῦτό ἐστιν ὅπερ ὁ Δαμασκηνὸς Ἰωάννης ἔλεγεν, ὅτι «προγινώσκει μὲν ὁ Θεὸς τὰ ἐφ' ἡμῖν, οὐ προορίζει δέ».

Op. cit. 37 (420,5–7): Ὅθεν «ὁ δοξάζων ἐπὶ τούτοις προορισμόν», ὡς ὁ θειότατός φησιν Ἀναστάσιος, «φανερῶς προσκρούει τῷ Θεῷ».

Blemm., *vit. fin.* II (26,22–25): Εἰ δέ τις ἐρεῖ τῇ θείᾳ προγνώσει ἀναγκαίως ἀκολουθεῖν τὸν προορισμόν, ἐπιστομισθήσεται τῷ σοφῷ Ἰωάννῃ τῷ ἐκ τῆς Δαμασκοῦ, "Χρὴ γινώσκειν" λέγοντι "ὅτι πάντα μὲν προγινώσκει ὁ Θεός, οὐ πάντα δὲ προορίζει".

Marc. Eug., *vit. term.* 355: Ἅπερ ἅπαντα προεγνωκέναι μὲν καὶ συνεγνωκέναι τὸν Θεὸν λέγομεν, ἔτι δὲ συγκεχωρηκέναι καθ' οὓς αὐτὸς ἐπίσταται λόγους· προορίζειν δὲ ἢ αἴτιον αὐτὸν εἶναι μὴ οὕτω μανείημεν ὥστ' εἰπεῖν. [...] Λανθάνουσι δὲ καὶ ἑαυτοὺς εἱμαρμένην τινὰ θανάτου καὶ ἀπαράβατον ἀνάγκην εὐπροσώπῳ ῥήματι τοῦ 'προορισμοῦ' λέγοντες.

Jos. Br., *cruc. IV* 317: Πάλιν, εἰ καὶ προγινώσκει ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς Κύριος, ἀλλ' οὐδὲν προορίζει τῶν ἐφ' ἡμῖν.

39–42 τοῦτο…αὐτῶν

Eus., *p. e.* VI, 11, 36 (351,17–21): Καὶ εἰ χρὴ λέγειν, οὐ τὴν πρόγνωσιν αἰτίαν τῶν γινομένων (οὐ γὰρ ἐφάπτεται τοῦ προεγνωσμένου ἁμαρτησομένου ὁ Θεός, ὅταν ἁμαρτάνῃ), ἀλλὰ παραδοξότερον μέν, ἀληθὲς δὲ ἐροῦμεν, τὸ ἐσόμενον αἴτιον τοῦ τοιάνδε εἶναι τὴν περὶ αὐτοῦ πρόγνωσιν. Οὐ γὰρ ἐπεὶ ἔγνωσται γίνεται, ἀλλ' ἐπεὶ γίνεσθαι ἔμελλεν ἔγνωσται.

Jos. Br., *cruc. IV* 317: Καὶ ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ ἡμῶν αὐτεξούσιον· καὶ γὰρ οὐχ ὅτι προγινώσκει πράττομεν, ἀλλ' ὅτι πράξομεν προγινώσκει.

Op. cit. 317: Οὐ γὰρ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλ' ἐλευθερίᾳ ἐπίσης πάντες ἄνθρωποι τετιμήμεθα.

42–51 Τὸ… ἐσχάτου

Nic. Meth., *vit. term.* III 263: Εἰ ἃ προέγνωσται καὶ προώρισται, ἃ μὴ προώρισται οὐδὲ προέγνωσται· ἀλλὰ μὴν πάντα Θεῷ προέγνωσται· οὐκοῦν καὶ προώρισται. Εἰ τὸ ὂν ὥρισται, τὸ μὴ ὡρισμένον οὐκ ἔστιν· ὥρισται δὲ πάντα τὰ ὄντα· οὐκ ἄρα ἐστὶ τὸ ἀόριστον. Εἰ τὸ γινόμενον ὥρισται, τὸ ἀόριστον οὐδὲ γίνεται· ἀλλὰ μὴν ὥρισται τὸ γινόμενον· […] οὐκ ἄρα γίνεται, ὃ μὴ ὥρισται. Εἰ μὴ ὥρισται τὸ μέλλον, οὐδὲ γενήσεται, οὐδὲ μὴν ἔσται, ἵνα καὶ γινόμενον καὶ ὂν ποτε ᾖ· πᾶν γὰρ τό τε ὂν τό τε γινόμενον ὥρισται· γενήσεται δὲ εἴ περ μέλλει· οὐκοῦν καὶ ὥρισται.

45–47 Οὔκουν…προωρίσθαι

Procl. Is., *dec. prov.* 2, 7 (161, 39–42): Οὐ καθὸ οὖν ἡ πρόνοια γινώσκει τὸ ἐσόμενον, ἐξ ἀνάγκης ἐπάγεται τούτῳ ἡ ἔκβασις, ἀλλὰ τῷ μὲν ἀορίστῳ ἐκ τοῦ ὡρισμένου ἡ γένεσις, τῇ δὲ προνοίᾳ ὡρισμένη τοῦ ἀορίστου ἡ πρόγνωσις.

45–54 Οὔκουν…τάττεσθαι

Nic. Meth. *vit. term.* I, 231: ὅπερ ἡ γνῶσις ἐπὶ τῶν ὄντων, τοῦτο ἐπὶ τῶν ἐσομένων ἡ πρόγνωσις· καὶ ὅπερ ἐπ' ἐκείνων ὁ λόγος, τοῦτο ἐπὶ τούτων ἡ πρόρρησις· οὐκοῦν ὅτι τόδε τι ἔσται, διὰ τοῦτο καὶ προέγνωσται καὶ προείρηται, ἀκολούθως δὲ καὶ προώρισται.

Marc. Eug., *vit. term.* 357–358: Ἔστι γὰρ οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως· οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει. [...] Καὶ κατὰ μὲν τοῦ ὅρου τὴν πρόγνωσιν ἀληθῶς που κατηγορήσομεν, κατὰ δὲ τῆς προγνώσεως τὸν ὅρον οὐκ ἀληθῶς.

47–48 Συντελεῖ… πρέπουσα

Procl. Is., *dec. prov.* 2, 7 (160, 21–23): Τοῦ οὖν γνωστοῦ ὄντος ἀορίστου, τοῦ δὲ γινώσκοντος ὡρισμένου, οὐ διὰ τὸ γνωστὸν ἀορισταίνει καὶ ἡ γνῶσις, ἀλλὰ διὰ τὸ γινῶσκον ὁρίζεται.

Psel., *phil. min.* 44 (156,27–29): Εἰ δὲ γινώσκει ὁ Θεὸς τὰ ἐνδεχόμενα, ὡρισμένως ταῦτα γινώσκει, ἵνα μὴ ἀόριστον αὑτοῦ ποιῶμεν τὴν γνῶσιν, καὶ οὐχ οἷόν τε ταῦτα μὴ ἐκβαίνειν.

Op. cit. 47, 160, 9–10: Εἰ γὰρ δὴ τὸ θεῖον ὅρος ἐστὶ τοῦ παντός, πῶς δή τι τῶν πάντων ἐκείνῳ ἀοριστήσειε;

Nic. Meth., *vit. term.* III, 264: Κεφάλαιον τῶν εἰρημένων ἁπάντων. Εἰ μὴ ἔστιν ὅρος, οὐδὲ πρόγνωσις· οὐ γὰρ προέγνωσται τὸ ἀόριστον· εἰ μὴ πρόγνωσις, οὐδὲ πρόνοια· πῶς γὰρ μὴ προγινώσκουσα προνοήσεται; Εἰ μὴ πρόνοια, οὐδὲ δημιουργία· εἰ μὴ δημιουργία (ἀλλὰ τὸ δύσφημον ἐπὶ τὸν αἴτιον ἀνήχθω τῆς ὑποθέσεως), οὐδὲ Θεός. Εἰ δὲ ἔστι Θεός, ὥσπερ δὴ καὶ ἔστι καὶ πιστεύομεν, καὶ δημιουργὸς πάντων, καὶ προνοίᾳ τὰ πάντα περικρατῶν, καὶ "προειδὼς τὰ πάντα" κατὰ τὸ λόγιον "πρὶν γενέσεως αὐτῶν", ἔστι καὶ ὅρος ἐν οἷς θάτερον καὶ θάτερον. Εἰ τοίνυν διὰ πάντων διήκει ἡ θεία πρόνοια καὶ ἡ πρόγνωσις, διὰ πάντων καὶ ὁ ὅρος χωρεῖ.

Pleth., *fat.* 68: Ἔτι δ', εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ' ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ' ἀνθρώπων, ἀλλ' οὐδ' ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· οὐ γὰρ οὐδ' ὁπότερον ἀληθὲς εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὔθ' ὡς ἔσοιτο, οὔτ' αὖ ὡς οὐκ ἔσοιτο.

48–54 Οὐκοῦν… τάττεσθαι

Pleth., *fat.* 66: Ἀλλὰ τούτοιν γε ἑκάτερα πολλαχῇ ἀδύνατα, καὶ τὰ μέλλοντα ἅπαντα εἵμαρταί τε ἐξ αἰῶνος καὶ τέτακται, ὡς δυνατὸν αὐτοῖς, ὑφ' ἑνὶ τῶν πάντων βασιλεῖ Διΐ ταττόμενά τε καὶ ὁριζόμενα.

51– 52 ἐξ… πάντα

I Cor. 8,6: Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ.

54–59 Οὔκουν… πράξαντες

Marc. Eug., *vit. term.* 358: Ταῦτα δέ που καὶ ὁ Ἀπόστολος διαστέλλειν οἶδεν ἐν οἷς φησίν· «οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ». Οὐκ ἄρα οὐδὲ παρ' ἐκείνοις τοῖς διδακάλοις ἀντί τῆς προγνώσεως ὁ ὅρος εἴρηται.

54–63 Οὔκουν… εἶναι

Diod. Tars., *fr. in Rom.* 95,11–19: Οὐδὲ ἐν τούτοις τὸ αὐτεξούσιον ὁ λόγος ἀναιρεῖ. Πρῶτον γὰρ ἔφη «προγινώσκειν» τὸν Θεόν, εἶτα «προορίζειν»· ἡ δὲ πρόγνωσις δῆλον ὡς οὐκ ἔστιν ἀναγκαστικὴ τῆς τῶν πολιτευομένων ὁρμῆς τε καὶ προθέσεως. Σαφέστερον δὲ ἂν εἴη τὸ ῥηθέν, εἰ τῶν εἰρημένων ἐνταῦθα ἀπὸ τῶν τελευταίων ἀρξάμενοι ἐπὶ τὰ πρῶτα ἀνίοιμεν. Τίνας τοίνυν ἐνταῦθα «ἐδόξασεν» ὁ Θεός; Οὓς «ἐδικαίωσεν». Τίνας δὲ «προώρισεν»; «Οὓς προέγνω», τοὺς κατὰ πρόθεσιν «κλητοὺς ὄντας», τουτέστι τοὺς διὰ τὴν ἰδίαν πρόθεσιν ἀξίους ὄντας «κληθῆναι» καὶ «συμμορφωθῆναι» Χριστῷ.

57–59 ἤκουον… πράξαντες

Rom. 8, 29–30: …οὓς προέγνω, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισεν, τούτους καὶ

ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Anast. S., *qu. et resp*. 99, 3 (157, 27–35): Ὅμως, εἰπὼν ὁ θεῖος Ἀπόστολος ὅτι «Οὓς προέγνω ὁ Θεός, τούτους καὶ προώρισε», λέλυκε πάντα τὰ προκείμενα ζητήματα· οἷον προέγνω τὸ ἀμετανόητον τοῦ Φαραώ, καὶ «ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ», ὅπως καταδιώξῃ τὸν Ἰσραὴλ καὶ ποντισθῇ· προέγνω τὸ εὐθὲς τοῦ Ἱερεμίου, καὶ προώρισεν αὐτὸν ἐκ μήτρας ἁγιάσας εἰς προφήτην· προέγνω τὴν ἀσέβειαν Σοδόμων, καὶ ἐποίησεν αὐτοὺς «σκεύη ἀτιμίας» ἐμπρησμοῦ· προέγνω τὴν μετάνοιαν Παύλου, καὶ προώρισεν αὐτὸν εἰς «σκεῦος ἐκλογῆς»,

Nic. Meth., *vit. term.* II, 250: Δηλοῖ δὲ αὖθις ὁ Παῦλος, «Οὓς προέγνω τούτους καὶ προώρισε» λέγων.

59–63 Ἀλλὰ… εἶναι

Eus., *p. e.* VI, 11 (354, 22–24): Μετρίως μὲν οὖν ὡς ἐν ἐπιτομῇ οἶμαι ἀποδεδεῖχθαι τὸ τὴν πρόγνωσιν τοῦ Θεοῦ μὴ εἶναι καταναγκαστικὴν τῶν προεγνωσμένων πάντως.

Pleth., *fat.* 70: Ἀλλ' 'εἰ πάντα ὥρισται', φαίη ἄν τις, 'καὶ οὐδὲν ὅ,τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ' ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ' ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι οὐτ' ἂν κυρίων ἑαυτῶν ὄντων, οὐτ' ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακοὺς, ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί'.

Marc. Eug., *vit. term.* 357: Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ' ἐπιπολῆς αὐτῶν ἅψασθαι.

11.3. 13–14 τὸ… ἐπακούειν

Ps. 144,19: …θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν ἐπακούσεται καὶ σώσει αὐτούς.

14 διηνεκῶς… ζητεῖν

I Thes. 5,17: ἀδιαλείπτως προσεύχεσθε.

Luc. 11,9–10: Κἀγὼ ὑμῖν λέγω, αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοίγεται (cf. Mat. 7,7–8: Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται).

14–20 Ἀπολέλυται… ἐστίν

Marc. Eug., *vit. term.* 354: Οὕτω δὴ καὶ εἴ τις ἕτερος ἐξήρπασται τοῦ θανάτου θαυματουρίᾳ τινὶ θείᾳ καὶ πρεσβείαις ἁγίων, οὐ τὸ μὴ εἶναι ζωῆς ὅρους, ἀλλὰ τὸ εἶναι μᾶλλον ἐνδείκνυται, τοῦ Θεοῦ δυναμένου τοὺς πεπηγότας ὅρους ὑπερθέσθαι τε μεταβαλλομένων ἀπὶ τὸ κρεῖττον ἡμῶν, καὶ αὖθις ἐπιτεμεῖν πρὸς τὸ χεῖρον ὑπαγομένων.

20 ἥλιον στῆσαι

Ios. 10.12: Στήτω ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών.

54–56 Ταῦτα… βούλεσθαι

Theodor., *prov.* II 83 (581D–584A): Ἀλλ' ὅτι μὲν δύναται, μάρτυς ἡ κτίσις· ὅτι δὲ καὶ βούλεται, πάλιν αὐτὴ μαρτυρεῖ. Οὐ γὰρ ἄλλου τινὸς ἀναγκάζοντος ἐπὶ τὴν δημιουργίαν ἐλήλυθεν, οὔτε μὴν ὡς δεόμενος τὴν κτίσιν παρήγαγεν, ἀλλὰ ἀγαθὸς ὢν καὶ ἀγαθότητα ἔχων

μέτρου παντὸς μείζονα, ἠθέλησε καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δωρήσασθαι. Ὁ δὲ τοσαύτῃ περὶ τὰ μὴ ὄντα χρησάμενος ἀγαθότητι, πῶς ἂν γεγονότων ἀμελήσειεν;

Theoph. Nic., *de aet. mundi* 36 (32,26–28): Ταύτῃ τοίνυν τῇ μετὰ τρόπου χρήσει τῆς θελήσεως τοῦ Θεοῦ πρὸς τὸ θελητὸν σύνδρομός ἐστι καὶ ἡ τῆς κτίσεως γένεσις, ἤγουν τοῦ θελητοῦ. Θέλει γὰρ ὁ Θεὸς γενέσθαι τὰ ὄντα.

12., 1–13 Εἰ… παρασκευαζομένου

Marc. Eug., *vit. term.* 355: Τὶς γὰρ καὶ χρεία προορισμοῦ διὰ παρακλήσεως λυομένου, καὶ τοῦτό γε οὐκ ἐφ ἑνὸς ἢ δυοῖν, ἀλλ’ ἐπὶ πλειόνων; Εἰ δὲ μὴ λύεται, τὶ καὶ παρακαλοῦμεν ἑκάστοτε;

14–18 Ἐν… κινουμένας

Marc. Eug., *vit. term.* 354: Οὕτω δὴ καὶ εἴ τις ἕτερος ἐξήρπασται τοῦ θανάτου θαυματουρίᾳ τινὶ θείᾳ καὶ πρεσβείαις ἁγίων, οὐ τὸ μὴ εἶναι ζωῆς ὅρους, ἀλλὰ τὸ εἶναι μᾶλλον ἐνδείκνυται, τοῦ Θεοῦ δυναμένου τοὺς πεπηγότας ὅρους ὑπερθέσθαι τε μεταβαλλομένων ἀπὶ τὸ κρεῖττον ἡμῶν, καὶ αὖθις ἐπιτεμεῖν πρὸς τὸ χεῖρον ὑπαγομένων.

28–30 ἰχθῦν… εἴη

Luc. 11, 11–13: Τίνα δὲ ἐξ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ; Ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν, μὴ ἐπιδώσει αὐτῷ σκορπίον; Εἰ οὖν ὑμεῖς, ὑπάρχοντες πονηροί, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἀγαθὸν τοῖς αἰτοῦσιν αὐτόν; (cf. Mat. 7, 9–11: Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν αἰτήσει ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;)

35–36 Οὐδεὶς… Θεὸς καθάρσεως

Nic. Meth., *vit. term.* I 234: Θεὸς δὲ ὁ καὶ ταύτης ἡμῖν τῆς ἐπὶ τὸ καλὸν αὐθαιρέτου κινήσεως αἴτιος αὐτὸς καὶ τὰς πρώτας ἀφορμὰς δίδωσιν.

13., 1–7 καὶ… ἀνάγκῃ

Pleth., *fat.* 64–66: Κινδυνεύουσι γὰρ οἱ τὴν περὶ τῶν ἐσομένων ἀνάγκην τε καὶ εἱμαρμένην ἀναιροῦντες ἢ καὶ τῆς προνοίας ὅλως τῶν τῇδε ἐκβάλλειν τοὺς θεοὺς ἢ καὶ τὴν τῶν χειρόνων αὐτοῖς αἰτίαν ἀντὶ τῶν ἐκ τῶν δυνατῶν βελτίστων περιάπτειν, ἀμήχανον ὂν μὴ οὐ θάτερα ἀεί, ἤτοι τὰ πρότερον ἢ ὕστερον αὐτοῖς ἐγνωσμένα χείρω τῶν ἑτέρων εἶναι· ὥστε τοῖν δυοῖν ἂν τούτοιν ἀσεβημάτοιν θατέρῳ πάντως τοὺς τὴν εἱμαρμένην ἀναιροῦντας περιπίπτειν.

3-8 τοιούτων…ἀξιοῦντες

Theodor., *Graec. aff. cur.* (*serm*. VI, *De provid. Dei*) 14 (258), 11-15: Καὶ Χρύσιππος δὲ ὁ Στωϊκὸς μηδὲν διαφέρειν εἶπε τοῦ εἱμαρμένου τὸ κατηναγκασμένον, εἶναι δὲ τὴν εἱμαρμένην κίνησιν ἀίδιον ξυνεχῆ καὶ τεταγμένην. Ζήνων δὲ ὁ Κιτιεὺς δύναμιν κέκληκε τὴν εἱμαρμένην κινητικὴν τῆς ὕλης, τὴν δὲ αὐτὴν καὶ Πρόνοιαν καὶ Φύσιν ὠνόμασεν. Οἱ δὲ τοῦτον διαδεξάμενοι τὴν εἱμαρμένην λόγον ἔφασαν εἶναι τῶν ἐν τῷ κόσμῳ προνοίᾳ διοικουμένων, καὶ πάλιν ἐν ἑτέροις ξυγγράμμασιν εἱρμὸν αἰτιῶν τὴν εἱμαρμένην κεκλήκασιν.

Anast. S., *inter. et resp*. 96 (89, 736C): Διὸ οἱ μὲν Ἕλληνες ἀποροῦνται, ἀπρονόητον εἶναι τὸν κόσμον ἐνόμισαν.

8–14 Ἐν… ἦν

Pleth., *fat* 64: Πολὺ δ' ἔτι μᾶλλον ἀδύνατον, εἰ τοὺς θεούς τις λέγοι μεταβάλλεσθαί τε περὶ τὰ σφίσιν ὑπὲρ τῶν μελλόντων ἐγνωσμένα, καὶ ἕτερ' ἄττα παρ' ἃ ἐμέλλησαν ἀποτελεῖν, εἴτε ὑπ' ἀνθρώπων λιταῖς ἤ τισι δώροις παραπειθομένους, εἴτε δὴ καὶ ἄλλως γέ πως αὐτὸ πάσχοντας.

15–16 Καὶ… αἴτιον

Germ., *vit. term.* 24,10–11: Πρόδηλον ὡς Ἐζεκίας μὲν δι' εὐσέβειαν ἐτῶν πεντεκαίδεκα προσθήκην ζωῆς ἐκομίσατο…

15–32 Καὶ… προωρισμένως

Anast. S., *qu. et resp*. App., 23a (titulus) (213,1–214,13): Τὸ μέγα καὶ πολυθρύλλητον καὶ σχεδὸν παρὰ πάντων ζητούμενον· ὅρον θέλομεν λέγειν ἔχειν τὴν τοῦ ἀνθρώπου ζωὴν ἢ οὔ; Εἰ μὲν γὰρ ὅρος, πῶς φησιν ὁ Δαυὶδ τῷ Θεῷ· «Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου», καὶ πάλιν, «Ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσουσιν τὰς ἡμέρας αὐτῶν»; Εἰ δὲ οὐκ ἔστιν ὅρος, πῶς πάλιν ὁ αὐτὸς λέγει· «Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου»; Εἰ δὲ πάλιν ὅρος ἐστί, πῶς ὁ Σολομὼν εἶπεν· «Μὴ γίνου σκληρὸς μηδὲ ἀσεβὴς ἐπιπολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου»; Εἰ οὖν ἔστιν ἐν οὐ καιρῷ ἀποθανεῖν, πῶς τισιν ἔδοξε λέγειν ὅτι «θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων»; Πῶς δὲ καὶ τῷ Ἐζεκίᾳ καὶ τοῖς Νινευΐταις ζωὴν αἰτησαμένοις ὁ Θεὸς ἐπροσέθηκεν; [= Ps.-Ath., *qu. Ant.* 113 (titulus), 28, 668A].

15–16 Ἐζεκίας… αἴτιον

IV Regn. 20, 1–6: Ἐν ταῖς ἡμέραις ἐκείναις ἠρρώστησεν Εζεκίας εἰς θάνατον. Καὶ εἰσῆλθεν πρὸς αὐτὸν Ησαιας υἱὸς Αμως ὁ προφήτης καὶ εἶπεν πρὸς αὐτόν τάδε λέγει κύριος· Ἔντειλαι τῷ οἴκῳ σου, ὅτι ἀποθνῄσκεις σὺ καὶ οὐ ζήσῃ. Καὶ ἀπέστρεψεν Εζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον καὶ ηὔξατο πρὸς κύριον λέγων Ὦ δή, κύριε, μνήσθητι δὴ ὅσα περιεπάτησα ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν καρδίᾳ πλήρει καὶ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ἐποίησα. καὶ ἔκλαυσεν Εζεκίας κλαυθμῷ μεγάλῳ. καὶ ἦν Ησαιας ἐν τῇ αὐλῇ τῇ μέσῃ, καὶ ρῆμα κυρίου ἐγένετο πρὸς αὐτὸν λέγων Ἐπίστρεψον καὶ ἐρεῖς πρὸς Εζεκίαν τὸν ἡγούμενον τοῦ λαοῦ μου Τάδε λέγει κύριος ὁ Θεὸς Δαυιδ τοῦ πατρός σου Ἤκουσα τῆς προσευχῆς σου, εἶδον τὰ δάκρυά σου· ἰδοὺ ἐγὼ ἰάσομαί σε, τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον κυρίου, καὶ προσθήσω ἐπὶ τὰς ἡμέρας σου πέντε καί δέκα ἔτη καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων σώσω σε καὶ τὴν πόλιν ταύτην καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι᾽ ἐμὲ καὶ διὰ Δαυιδ τὸν δοῦλόν μου.

Anast. S., *qu. et resp*. (App.) 23b, 9 (220, 81-86): Ὁμοίως δὲ καὶ ζωὰς εἶναι δύο· μίαν μὲν τὴν θεοδώρητον, οἵα Ἐζεκίου χρόνων ιε΄, καὶ ἡ Λαζάρου καὶ τῶν ὁμοίων, ὡσαύτως δὲ καὶ ἡ θεία συμπάθεια τῶν Νινευϊτῶν διὰ τῆς μετανοίας, δευτέραν δὲ τὴν κατὰ κοινοῦ φυσικῶς προνοίᾳ Θεοῦ διὰ τῆς τῶν στοιχείων εὐτάκτου διοικήσεως καὶ ἀέρος εὐκράτου συνισταμένην.

Nic. Meth., *vit. term.* II 250: Πάντα τοίνυν προειδὼς ὁ Θεὸς καὶ τοῦ Ἐζεκίου τὴν μετάνοιαν, καὶ τὴν διὰ προσευχῆς τῶν ἐτῶν προσθήκην.

Blemm., *vit. fin.* I (11,24–33): «Ἀλλὰ πῶς δέ», φησίν, «εἴ γε μὴ ὅρος τῆς τῶν ἀνθρώπων ζωῆς, προστέθεινται τῷ Ἐζεκίᾳ ιε΄ ἔτη πρὸς τὸν χρόνον αὐτοῦ; Οὕτω γὰρ ἡ Γραφὴ μαρτυρεῖ». «Προστέθεινται» εἰπὼν αὐτὸς σαυτῷ τὴν ἀπορίαν ἐπέλυσας· εἰ γὰρ τὸ μέτρον ὥριστο τῶν ἐτῶν τῆς τούτου ζωῆς, οὐκ ἂν ἦν οὐδεμίαν ἡμέραν ἐπιζῆσαι αὐτόν, εἴ γε ἀσφαλῶς ὁ ὅρος ἐσφράγισται καὶ ὑπερθέσεων ὡσπερεὶ καὶ ἐλλείψεων ἠλλοτρίωται, καθὼς ἄνωθεν ἡ θεία Γραφὴ προηγόρευσεν. Εἰ δὲ τὴν αἰτίαν ἐθέλοις μαθεῖν, δι' ἣν ἤργησε πρὸς αὐτὸν ὁ ἐκ φύσεως θάνατος, ἴσθι μὲν φιλόθεον εἶναι τὸν βασιλέα καὶ δίκαιον, ὡς ἡ Γραφὴ περὶ αὐτοῦ μαρτυρεῖ.

Marc. Eug., *vit. term.* 353: Μαρτυρεῖ δὲ Ἐζεκίας, ᾧ τῆς ζωῆς εἰς ὡρισμένον πέρας ἐλθούσης ἐτῶν ἀριθμὸς πεντεκαίδεκα προσετέθη.

Λόγος Β΄

10–12 Θάνατοι … προβλεπομένου

Bas., *Deus non auct. mal.* 31 (333B): Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου.

Bas., *mor.* 11 / *mort.* 32 (1268C): Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῖν συμφέρον προβλεπομένου.

Germ., *vit. term.* 12, 24–30: Οὐκοῦν τὰ μὲν ἄλλα ποικίλως τε καὶ πολυτρόπως κατὰ διαφόρους αἰτίας καὶ λόγους συμπίπτειν ἡμῖν λογιζόμεθα, θανάτους δὲ ἀνθρώποις ἐπάγεσθαι μὴ ἄλλως ἡμῖν νομιστέον ἢ κατὰ τὸν Βασιλείου λόγον τοῦ σοφωτάτου «τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ θεοῦ κρίσις ἔπηξεν, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου».

Op. cit. 18, 9–12: Ἡ δὲ τοῦ διδασκάλου φωνὴ οὐ μόνον περὶ ἕκαστον ζωῆς ὅρους ἔφη πεπῆχθαι, ἀλλὰ καὶ τὸ περὶ ἕκαστον συμφέρον ἐκ τούτου προσκοπεῖσθαι ἐδίδαξε.

Op. cit. 56, 4–9: Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ συνηρτημένον ἀληθῶς λείαν καὶ ἀπρόσκοπον δείκνυσιν τὴν διὰ τῶν ἱερῶν γραμμάτων φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον, καὶ οὐ τὸ οἴεσθαι ὡς ἐκ ταὐτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον, τοῖς ὡς ἔτυχεν συμπτώμασιν ἐπισυμβαίνοντα [...].

Nic. Meth., *Vit. term.* II (238–239): Ἄγε δὴ ἐς μέσον παρίτω καὶ ὁ μέγας Βασίλειος καὶ τὴν οἰκείαν περὶ τοῦ ὅρου δόξαν κατατιθέτω. "Θάνατοι δέ", φησίν, "ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ Θεοῦ κρίσις ἔπηξε, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου». Ἐκ τοῦ λόγου ταῦτα τοῦ *Ὅτι οὐκ ἔστι τῶν κακῶν αἴτιος ὁ Θεός*. Ἐκ δὲ τοῦ *Περὶ εὐχαριστίας* πάλιν ταυτί· «Ἐννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου ἐξαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀρρήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους». Ταῦτα μὲν οὖν οὐκ ἔστιν ὅτῳ οὐ δῆλα καθέστηκε τὴν ἀοριστίαν τῆς ὅλης ἡμῶν ζωῆς ἐξορίζοντα, τὸν ὅρον δὲ φανερῶς εἰσάγοντα καὶ τό γε πέρας αὐτὸ τῆς ζωῆς ὑπὸ τὸν ὅρον κεῖσθαι ἀποφαινόμενα.

Blemm., *vit. fin.* I (6, 26–29): "Ἀλλ' εἴ γε", φησί, "μὴ ἐπὶ μέρους ὥριστο τοῖς ἀνθρώποις ἡ βιοτή, πῶς ὁ μέγας Βασίλειος διδάσκων βοᾷ· «Θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς ἡμῶν πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ θεοῦ κρίσις πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένη";

Op. cit. II (24, 1–4): "Ἀλλ' εἴ γε", φασί, "μὴ τοῖς καθέκαστον ὥρισται ἡ ζωή, πῶς ὁ μέγας Βασίλειος διδάσκων βοᾷ· «Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ θεοῦ κρίσις πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένη»;".

12–15 Σὺ … ἀκουόντων

Marc. Eug., *vit. term.* 351: Ἀλλὰ τὸ τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου, δοκοῦν ἀντιπίπτειν τοῖς εἰρημένοις, οὔτε ἔλυσεν ἱκανῶς, οὔτε ἐπεξειργάσατο πρὸς ἀκρίβειαν, ἐπὶ τὰ κατεπείγοντα προχωρῶν. Λέγει δὲ ἐκείνο διαρρήδην οὕτω καὶ φανερῶς, "θανάτους ἐπάγεσθαι τοῖς ἀνθρώποις τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον συμφέρον προβλεπομένου". Ἐκ τούτου μὲν οἶμαι τὴν ζήτησιν οὐ λελύσθαι μᾶλλον ἢ τετονῶσθαι, καὶ δοκεῖν ἐπ' ἀμφότερα τὸ

ἰσχυρὸν ἔχειν, ἅτε δὴ πατέρων ἐπιφανῶν καὶ μεγάλων (i.e. του Αναστάσιου Σιναΐτη και του Βασίλειου) ἑκατέρῳ τῆς ἀντιφάσεως συνεστώτων, καὶ τὸ καθ' αὐτὸν ἑκατέρου κρατύνοντος.

Op. cit. 358, 14–16: Ἐπεὶ δὲ ἐκ τοῦ παρήκοντος εἶπον τὰ εἰρημένα, μήποτε τὸ ἐπὶ μέρους ὑπάρχον ὡς καθόλου, διὰ τὴν τῶν ἀκοούντων ὠφέλειαν, ἀπεφήναντο.

Op. cit. 359, 4–11: Τοιοῦτον, οἶμαι, καὶ τὸ παρὰ τῷ μεγάλῳ Βασιλείῳ περὶ τῶν τῆς ζωῆς ὅρων εἶναι· "Θάνατοι γάρ", φησίν, "ἐπάγονται τοῖς ἀνθρώποις τῶν ὅρων τῆς ζωῆς πληρωθέντων"· οὐ πᾶσι φησὶ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πιστοῖς καὶ πρὸς οὓς ἐκεῖνος ἐποιεῖτο τὸν λόγον, καὶ τούτοις δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις· τούτων γὰρ ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ κατὰ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει.

Nic. Meth., *vit. term.* II, 244: Πρὸς δὴ ταῦτά φαμεν ὅτι ψεῦδος μὲν ἅπαν τὸ κατ' ἔκπτωσιν ἀληθείας λεγόμενον ἐκ τοῦ διαβόλου ἐστί, καὶ οὔτε ἁγίοις προσῆκον, οὔτε πολλῷ πρότερον τῷ Θεῷ. Εἴ τι δὲ οἰκονομικῶς ἐπὶ προτροπῇ εὐσεβείας τε καὶ τῆς ἄλλης ἀρετῆς καὶ ἀποτροπῇ τῶν ἐναντίων εἴρηταί τε καὶ γέγραπται, τοῦτο δίκαιον ἂν εἴη τῆς τοῦ ψεύδους ἀπολύειν γραφῆς· ἐντεῦθεν δὲ μᾶλλον ὥσπερ διά τινος ἀγκύρας λεπτῆς μέν, ἀλλ' οὖν ὅσης ἐνὸν ἡμῖν ἐφικνεῖσθαι πρὸς τὴν θείαν ἀνατρέχειν τῆς ἀληθείας ὑπεροχήν.

Nic. Meth., *vit. term.* II, 244: Ἐπεὶ δὲ τῷ λόγῳ δέδεικται τὸ οἰκονομικὸν εἶδος τοῦ λόγου κρεῖττον ὂν οὐ μόνον παντὸς ἐγκλήματος, ἀλλ' ἔστιν ὅπη καὶ ἀληθείας αὐτῆς, καὶ Θεῷ μάλιστα πρέπον καὶ τοῖς κατὰ Θεὸν ζῆν ἐθέλουσι, φέρε καὶ ἀπὸ τῆς θεοπνεύστου Γραφῆς αὐτὸ δὴ τοῦτο καταδησώμεθα, ὥστε τέλεον τὸ ἀντιλογικὸν ἐμφραγῆναι στόμα.

Blemm., *vit. fin.* II (22, 29–23, 4): Εἰ δὲ κατὰ τὸν ἀληθῆ λόγον ὁμοφρονοῦσιν ἐπὶ πᾶσιν οἱ πατέρες ἡμῶν καὶ τὰ ὅμοια πάντες κρατύνουσι, πῶς ὑμεῖς τὸν θεῖον Βασίλειον φάσκετε δογματίζειν προωρισμένον τὸν χρόνον τῆς ἑκάστου τῶν ἀνθρώπων ζωῆς; Τῶν ἄλλων ἱερῶν πατέρων ἡμῶν ἀπροόριστον εἶναι λεγόντων, καθὼς καὶ πρότερον ἀποδέδεικται, πάντως ἀναγκαῖον καὶ τοῦτον ὁμοφρονεῖν καὶ ὁμολογεῖν τοῖς λοιποῖς· εἰ δὲ μή, τῆς ἐκκλησίας πολέμιον βλασφημεῖτε τὸν ἅγιον ἢ τοὺς ἑτέρους μὲν τῶν θεολόγων ἀνδρῶν περιγράφεσθε, μόνον δὲ τὸν πατέρα τίθεσθε τῆς εὐσεβείας διδάσκαλον.

13–15 ὅθεν … ἀκουόντων

Mich. Glyc., *In S. Scr.* 37 (452, 3–10): Εἰ δὲ καὶ παράγουσί τινες ἐνταῦθα τὸν μέγαν Βασίλειον οὕτω λέγοντα· «θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἔπηξε περὶ ἑκάστου ἡ δικαία κρίσις τοῦ Θεοῦ, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου», μὴ θαύμαζε τούτου ἕνεκεν μηδὲ προορισμόν τινα καὶ πῆξιν ἡγοῦ τὸν μέγαν ὑπεμφαίνειν ἐκ τούτου Βασίλειον· τὴν γὰρ τοιαύτην ὑπόνοιαν, ὡς ὁ Σιναΐτης φησὶ θεῖος Ἀναστάσιος, ἐκ μέσου πεποίηκεν ἐν οἷς ἐκεῖνος οὕτω διείληφε.

Op. cit. 37 (453, 10–14): Μὴ περιεργάζου τὰς λέξεις λοιπόν· ἵνα γὰρ μὴ ἐάσῃ λογισμοῖς ἀλλοκότοις κυμαίνεσθαι τοὺς οἱαδήτινι συμφορᾷ περιπίπτοντας, μὴ εἶναι Θεὸν ἐφορῶντα τὰ τῇδε λέγοντας, τοιαῖσδε λέξεσιν οἰκονομικῶς ὁ μέγας ἐχρήσατο.

2.1.,2 τὰ … ὑψηλὰ

Sir. 3, 21–23: Χαλεπώτερά σου μὴ ζήτει καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε.

1-2 τὰ … διαπέφευγεν

Nic. Meth., *vit. term.* I, 223: Τοῦτο δὲ πρότερον τὴν σὴν ἀγχίνοιαν ὑπομνήσαντες, ὅτι μὴ πάντα δεῖ τὰ τοῦ Θεοῦ ἐρευνᾶν, ὅτι μηδὲ πάντα ἔστι καταλαβεῖν μὴ ὅτι τῶν καθ' ἡμᾶς τινα ταπεινόν τε καὶ κάτω κείμενον, ἀλλ' οὐδὲ τὸν ἄγαν θεωρητικὸν καὶ ὑψηλὸν τῆς διανοίας.

5–6 Ἔστω … θεολόγων

Anast. S., *qu. et resp*. 99, 5 (158, 46-58): Εἰδέναι τοίνυν προσήκει ὅτι ἐν Ῥώμῃ, πρὸς οὓς καὶ τὰ τοιαῦτα ῥήματα γεγράφηκεν ὁ Παῦλος, ὑπῆρχόν τινες καὶ ἐξ Ἑλλήνων καὶ ἐξ Ἑβραίων πεπιστευκότες. Διόπερ πρὸς τὰ ἀμφότερα μέρη γράφων, ποτὲ μὲν ἀντιλαμβάνεται

τῶν ἐξ ἐθνῶν, ἴσως ὀνειδιζομένων ὑπὸ τῶν Ἰουδαίων διὰ τὴν πάλαι εἰδωλολατρίαν, καὶ τούτου χάριν τὰ τοιαῦτα ῥήματα γεγράφηκεν ἐπιστομίζων Ἰουδαίους καὶ λέγων, «Σὺ τίς εἶ ὁ ἀνταίρων τῷ Θεῷ; Μὴ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ ποιῆσαι σκεύη, τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν; καί, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω». Ταῦτα καὶ τὰ τοιαῦτα ὑπὲρ τῶν ἐξ ἐθνῶν, δι' οὓς κἀκεῖνο εἶπε τὸ φάσκον, «Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι».

5–21 Ἔστω … μᾶλλον

Marc. Eug., *vit. term.* 358: Πόθεν οὖν τὰ ῥητὰ παραμυθησόμεθα; Φαμὲν ὡς, εἰ μὲν προκείμενον ἦν ἐκείνοις περὶ τοῦ ζητήματος τούτου διαλαβεῖν, ὅπερ ἐποίησεν ὁ θεῖος Ἀναστάσιος, εἶπον ἂν ὅσα ἐκεῖνος, καὶ ἔτι πλείω τε καὶ θαυμασιώτερα, καὶ τοῦ ἀκριβοῦς ἐχόμενα μᾶλλον· ἐπεὶ δὲ ἐκ τοῦ παρήκοντος εἶπον τὰ εἰρημένα, μήποτε τὸ ἐπὶ μέρους ὑπάρχον ὡς καθόλου, διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν, ἀπεφήναντο. Πολλὰ γὰρ οὕτω παρὰ τοῖς πατράσι καὶ τῇ θείᾳ Γραφῇ λέγεται, μερικὰ μὲν ὑπάρχοντα, ἁπλῶς δὲ καὶ ἀπολύτως λεγόμενα, καὶ διὰ τοῦτο δοκοῦντα καθόλου λέγεσθαι.

Nic. Meth., *vit. term.* II, 244: Πρὸς δὴ ταῦτα φαμέν, ὅτι ψεῦδος μὲν ἅπαν, τὸ κατ' ἔκπτωσιν ἀληθείας λεγόμενον, ἐκ τοῦ διαβόλου ἐστί, καὶ οὔτε ἁγίοις προσῆκον, οὔτε πολλῷ πρότερον τῷ Θεῷ. Εἴ τι δὲ οἰκονομικῶς ἐπὶ προτροπῇ εὐσεβείας τε καὶ τῆς ἄλλης ἀρε τῆς καὶ ἀποτροπῇ τῶν ἐναντίων εἴρηταί τε καὶ γέγραπται, τοῦτο δίκαιον ἂν εἴη τῆς τοῦ ψεύδους ἀπολύειν γραφῆς· ἐντεῦθεν δὲ μᾶλλον ὥσπερ διά τινος ἀγκύρας λεπτῆς μέν, ἀλλ' οὖν ὅσης ἐνὸν ἡμῖν ἐφικνεῖσθαι πρὸς τὴν θείαν ἀνατρέχειν τῆς ἀληθείας ὑπεροχήν.

7–8 Ἔμελλε … κανών

Anast. S., *qu. et resp.* 99, 3 (157, 24-27): Χρὴ τοίνυν τοὺς εὐσεβῶς τὰς θείας Γραφὰς νοεῖν βουλομένους, ἀνακρίνειν μετὰ πολλῆς τῆς ἀκριβείας τοὺς καιροὺς καὶ τὰ πρόσωπα καὶ τὸν σκοπὸν τοῦ λαλοῦντος· ὁ γὰρ μὴ ταῦτα διακρίνων ἐν πολλαῖς ἀτοπίαις περιπίπτει.

9 εἰς … ἄρθρον

Cf. *Vat. Ros.* 986, f. 306r, 9–306v, 6: Τὰ ιβ΄ ἄρθρα τῆς πίστεως εἰς ἃ διαιρεῖται τὸ σύμβολον:
α΄ Πιστεύω εἰς ἕνα Θεὸν·
β΄ πατέρα παντοκράτορα·
γ΄ ποιητὴν οὐρανοῦ καὶ γῆς· ὁρατῶν τε πάντων καὶ ἀοράτων·
δ΄ Καὶ εἰς ἕναν Κύριον Ἰησοῦν Χριστὸν· τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ· τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός· Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγένετο·
ε΄ τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα·
στ΄ Σταυρωθέντα τε ὑπὲρ ἡμῶν, ἐπὶ Ποντίου Πιλάτου· καὶ παθόντα καὶ ταφέντα·
ζ΄ Καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς·
η΄ Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός·
θ΄ Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρίναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος·
ι΄ Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τὸ λαλῆσαν διὰ τῶν προφητῶν·
εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν·
ι΄ (*iter.*) ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν·
ια΄ προσδοκῶ ἀνάστασιν νεκρῶν·
ιβ΄ καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

14–18 Καὶ … συμπεραίνειν

Theod. Agal., *epist*. 2, 412: Δοκεῖ τοίνυν μοι ἀναγκαῖον εἶναι ἐκεῖνο προσαποδεῖξαι, ὅτι πάντα τὰ τῇδε γινόμενα ἁπλῶς ὑπ᾽ αὐτῆς τῆς προνοίας, εἰ μέλλοι τὸ συμπέρασμα ἐξ ἀνάγκης συμβαίνειν· ἀλλὰ τοῦτο χαλεπὸν ἴσως ἀποδειχθῆναι.

21–24 Εἰ … τελευτήν

Marc. Eug., *vit. term.* 355: Εἰ δὲ δὴ φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι.

Theoph. Sim., *vit. term.* III (28, 31–30, 5): Οὐκ ἔξω δέ που τῆς γνωστικωτάτης μεγαλονοίας τοῦ κτίσαντος, ἢ πότε, ἢ ὅπως ἢ ὅποι τὸ τῆς ἑκάστου ζωῆς ἡμῶν ἀποτερματίζεται τέλος· οὐκ αἰτία δὲ τοῦ ἁμαρτάνειν ἡμᾶς ἢ μὴ ἁμαρτάνειν ἡ διὰ πάντων διήκουσα καθέστηκε πρόγνωσις τοῦ ἐπὶ πάντων Θεοῦ, περὶ οὗ οὐκ ὀλίγα ἄττα πολλοὶ πολλαχοῦ τῶν πρὸ ἡμῶν ἄριστα πεφιλοπονήκασι.

30 Ὥστε … ἀναίτιον

Marc. Eug., *vit. term.* 353: Καὶ ταῦτα διδάσκει μὲν ὁ μέγας Βασίλειος, ᾧ τοσοῦτον ὑπάρχει τὸ συγκεχωρηκὸς ἐν ἅπασι παρὰ πάντων, ὡς ἂν ἕνα μηδένα τὴν ἐναντίαν θέσθαι τολμῶντα μὴ οὐ καταγέλαστον εἶναι δοκεῖ.

Op. cit. 359: Τοιοῦτον, οἶμαι, καὶ τὸ παρὰ τῷ μεγάλῳ Βασιλείῳ περὶ τῶν τῆς ζωῆς ὅρων εἶναι· « Θάνατοι γάρ», φησίν, «ἐπάγονται τοῖς ἀνθρώποις τῶν ὅρων τῆς ζωῆς πληρωθέντων». οὐ πᾶσι φησὶ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πιστοῖς καὶ πρὸς οὓς ἐκεῖνος ἐποιεῖτο τὸν λόγον· καὶ τούτοις δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις· τούτων γὰρ ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει.

36 ἢ … Θεολόγῳ

Germ., *vit. term.* 14, 11–19: …καὶ τούτοις οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ ἐκκλησία ἀποστολικὸν ἀπονέμει τὸ σέβας, καὶ κατ᾽ ἐξαίρετον τούτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ, οὗτινος οὐ μικροί τινες ἐπαινέται οὐδὲ ἐπὶ μικροῖς τισιν τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ θεολόγος καὶ ὁ πολὺς Ἀθανάσιος, τῆς εὐσεβείας οἱ στῦλοι καὶ τῆς τριάδος ὑπέρμαχοι οἱ τοὺς ἐπαίνους συνείροντες, σοφίας δὲ γνῶσις τελεωτάτη τῶν ἐγκωμίων ἡ ἀφορμὴ καὶ ἡ πλοκὴ τῶν στεφάνων.

Op. cit. 36, 25–30: Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ, δέον τοῖς περὶ τοῦ προκειμένου προβλήματος εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νυνὶ ἀπορουμένων τὴν ἐπίλυσιν;

36 Ἀθανασίῳ

Ps.-Ath., *qu. Ant.* 113 (668C–D): …ὅρος τοίνυν ἐστὶ τῇ ζωῇ τοῦ ἀνθρώπου ἡ βουλὴ τοῦ Θεοῦ, καὶ ᾧτινι βούλεται, προστίθησι, καὶ ἔνθα σκοπήσῃ, ὑφελεῖται, πάντα ποιῶν πρὸς τὸ ἑκάστου συμφέρον. Καὶ ὥσπερ ὁ δεσπότης τῆς ποίμνης, ὅτε βουληθῇ, ἀποστέλλει καὶ φέρει οἷα βούλεται πρόβατα, οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν ἀνθρώπων ποιεῖ, καὶ τότε ἐπάγεται ὁ θάνατος τῷ ἀνθρώπῳ "τοῦ ὅρου", ἤγουν τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ, "πληρωθέντος". "Ὅρος" τοιγαροῦν, ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστιν ἡ κέλευσις καὶ ἡ βουλὴ τοῦ Θεοῦ.

2.2., 1–17 Ὅτι … προβλεπομένου

Germ., *vit. term.* 18, 26–20, 13: Καὶ ἵνα μή τις ἡμᾶς παραστοχάζεσθαι τῆς πατρικῆς ἐννοίας νομίσειεν, αὐτὸν Βασίλειον τὸν σοφώτατον δεξώμεθα τῶν οἰκείων λόγων ἐξηγητήν, ἐν τῷ *Περὶ εὐχαριστίας* δευτέρῳ λόγῳ λέγοντα οὑτωσί· «ἐννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ

ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλείω παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησεν, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀρρήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσιν τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ᾽ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου σοφῶς καὶ βαθέως καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου».

4–22 Μὴ … διατριβή

Bas., *in Jul.* 31 (248C): Μὴ ἀγριάνῃς τῷ πάθει μηδὲ αὐτόματόν τινα εἴπῃς εἶναι συντυχίαν τῶν γινομένων, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος· μηδὲ κακόν τινα δημιουργὸν ὑπόθῃς, ἐκ τῆς κατὰ τὴν λύπην ἀμετρίας πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ· ἀλλὰ μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας.

Op. cit. 31 (248D–249B): Ἐννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας ἑαυτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαί· αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ᾽ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου, σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου. Οὐκ ἀκούεις λέγοντος τοῦ Δαβὶδ, “Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου”; Οὐκ ἤκουσας περὶ τοῦ ἁγίου ὅτι “ἀπελύθη αὐτοῦ ἡ ψυχή”; Τί δὲ Συμεών, ὅτε ἐνεγκαλίσατο τὸν Κύριον ἡμῶν; Ποίαν φωνὴν ἀφῆκεν; Οὐχ ὅτι “Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα”; Τῷ γὰρ ἐπειγομένῳ πρὸς τὴν ἄνω διαγωγὴν βαρυτέρα πάσης κολάσεως καὶ δεσμωτηρίου παντὸς ἡ μετὰ τοῦ σώματός ἐστι διατριβή.

Id., *mor.* 11 / mort 32 (1257D–1260A): Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος ἐτάξατο, κατὰ τοὺς ἀῤῥήτους αὐτοῦ τῆς σοφίας καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ γὰρ οἱ ἐν ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ᾽ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου· σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου Θεοῦ.

Nic. Meth., *vit. term.* II, 239: Ἐκ δὲ τοῦ *Περὶ εὐχαριστίας* πάλιν ταυτί. “Ἐννόησον γάρ, ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου ἐξαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους”. Ταῦτα μὲν οὖν οὐκ ἔστιν ὅτῳ οὐ δῆλα καθέστηκε τὴν ἀοριστίαν τῆς ὅλης ἡμῶν ζωῆς ἐξορίζοντα, τὸν ὅρον δὲ φανερῶς εἰσάγοντα, καὶ τό γε πέρας αὐτὸ τῆς ζωῆς ὑπὸ τὸν ὅρον κεῖσθαι ἀποφαινόμενα.

Blemm., *vit. fin.* II (25,22–26,3): Καὶ γάρ φασιν· «Εἴπερ μὴ ὅροις κατεδεσμεύθη τῶν καθέκαστον ἡ ζωή, πῶς ὁ ἱερὸς Βασίλειος τοιαῦτά που φιλοσοφεῖ, ‘Ἐννόησον’, λέγων, ‘ὅτι ὁ πλάσας καὶ ψυχώσας ἡμᾶς Θεὸς ἰδίαν δέδωκεν ἑκάστῃ ψυχῇ τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλείω παραμεῖναι τῇ συναφείᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀῤῥήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς

ἐμπίπτοντες οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν ἐπὶ πολὺ κατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ᾽ ἔλαττον κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου σοφῶς καὶ βαθέως καί, ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος προβλεπομένου᾽»;.

Blemm., *vit. fin.* II (24,4–21): Οὕτω γὰρ μᾶλλον ἀόριστον εἶναι τοῖς ἐπὶ μέρους τὴν ζωὴν ἀποδείξομεν. ‘Ἐννόησον’, φησίν, ‘ὅτι ὁ πλάσας καὶ ψυχώσας ἡμᾶς Υἱὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τοῦ βίου διαγωγήν’, τουτέστιν ὁ ἐκ γῆς τὸ ἡμέτερον διαπλάσας σῶμα Θεὸς ψυχήν τε λογικὴν καὶ νοερὰν διὰ τοῦ οἰκείου ἐμφυσήματος δοὺς ἡμῖν αὐτεξουσίους ἡμᾶς ἀπειργάσατο καὶ ἑκάστῃ ψυχῇ ἰδίαν αἱρετὴν αὐτῇ ἐδωρήσατο βίου διαγωγὴν κατὰ τὸν τῆς αὐτεξουσιότητος λόγον. Εἰ γὰρ οὐκ ἔστιν ἐφ᾽ ἡμῖν τὸ ἰδίαν ἐκλέγεσθαι βίου διαγωγὴν τό τε πρὸς ἀρετὴν ἀπευθύνεσθαι τό τε πρὸς κακίαν πλαγιάζειν, ἀναιρεῖται πάντως τὸ αὐτεξούσιον, ὅπερ Θεὸς ἡμῖν ὥσπερ τι ἐξαίρετον δώρημα ἐχαρίσατο. Τοίνυν ἑκάστῃ ψυχῇ ὡς αὐτεξουσίῳ ἔδωκεν ὁ Θεὸς βίου διαγωγὴν ἰδίαν, αὐθαίρετον αὐτῇ καὶ ἀβίαστον· καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου κατὰ τὴν ἑκάστου διαγωγὴν καὶ εἴτε ἀρετῆς εἴτε κακίας ἀντίληψιν καὶ τὸν θάνατον ἐπήγαγεν ὁ σοφὸς καὶ δίκαιος Θεός· σοφὸς μὲν γάρ ἐστιν ὡς πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν, δίκαιος δὲ ὡς ἀξίας ταῖς πράξεσιν ἐπιφέρων τὰς δίκας’.

19 ἀπελύθη … ψυχή

Tob. 3,6: …κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ᾽ ἐμοῦ· ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ καὶ γένωμαι γῆ.

2.3., 1–5 Ἐκ … σπουδῆς

Mich. Glyc., *In S. Scr.* 37 (453,10–14): Μὴ περιεργάζου τὰς λέξεις λοιπόν· ἵνα γὰρ μὴ ἐάσῃ λογισμοῖς ἀλλοκότοις κυμαίνεσθαι τοὺς οἱᾳδήτινι συμφορᾷ περιπίπτοντας, μὴ εἶναι Θεὸν ἐφορῶντα τὰ τῇδε λέγοντας, τοιαῖσδε λέξεσιν οἰκονομικῶς ὁ μέγας ἐχρήσατο.

7–10 προδιατεταγμένον … τρόπον

Bas., *in Jul.* 31 (249B–C): Μὴ τοίνυν τῇ ἑαυτοῦ ἀπολαύσει ἐπιζήτει τὰς περὶ τῶν ψυχῶν διατάξεις ἀκολουθεῖν, ἀλλὰ λογίζου περὶ τῶν συναφθέντων κατὰ τὸν βίον, εἶτα θανάτῳ διισταμένων, ὅτι παραπλήσιοί εἰσιν ὁδοιπόροις μίαν ὁδὸν πορευομένοις, καὶ διὰ τὴν συνεχῆ μετ᾽ ἀλλήλων διατριβὴν ἑνωθεῖσιν ὑπὸ τῆς συνηθείας. Οἳ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες καταλάβωσι, λοιπὸν σχιζομένην αὐτὴν, τῆς χρείας ἤδη ἀναγκαίως μεριζούσης ἑκάτερον, οὐ τῇ συνηθείᾳ προσκαθεζόμενοι ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσεν.

Id., *mor.* 11 / *mort*. 32 (1276C-D): Τοὺς γὰρ κατὰ τὸν βίον συναφθέντας ἀλλήλοις, εἶτα θανάτῳ διισταμένους, ὁδοιπόροις λογίζου παραπλησίους, μίαν πορευομένοις ὁδὸν, καὶ διὰ τὴν συνεχῆ μετ᾽ ἀλλήλων διατριβὴν ἑνωθεῖσιν ὑπὸ τῆς συνηθείας. Οἳ ἐπειδὰν τὴν κοινὴν ὁδὸν διεξελθόντες, καταλάβωσι λοιπὸν σχιζομένην αὐτὴν, τῆς χρείας ἤδη ἀναγκαίως μεριζούσης ἑκάτερον, οὐ τῇ συνηθείᾳ προσκαθεζόμενοι ἀμελοῦσι τῶν προκειμένων, ἀλλὰ τῆς ἐξ ἀρχῆς κινησάσης αὐτοὺς αἰτίας ὑπομνησθέντες, πρὸς τὸ οἰκεῖον ἕκαστος ἀποτρέχουσι πέρας. Ὡς οὖν ἐκείνοις ἄλλος μὲν ἦν ὁ σκοπὸς τῆς ὁδοῦ, συνέβη δὲ αὐτοῖς ἡ κατὰ τὴν ὁδοιπορίαν ἐκ τῆς συνηθείας οἰκείωσις· οὕτω καὶ τοῖς ἐν γάμῳ, ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις, ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις, ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσε

Op. cit. 32 (1269A–B): Αὐτὸς γὰρ οἶδε πῶς ἑκάστῳ διατίθησι τὸ συμφέρον καὶ διὰ τί ἄνισα τίθησιν ἡμῖν τοῦ βίου τὰ πέρατα. Ἔστι γάρ τις ἀνθρώποις αἰτία ἀκατάληπτος, δι᾽ ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται.

3., 3–10 ᾗδει … ὑπερβολήν

Dem. Cyd., *De contemn. morte* XIII (24,16–22): …τὸν δὲ δημιουργὸν κατὰ τὸν ἐν αὐτῷ λόγον ἕκαστον πρὸς τὸ προσῆκον αὐτῷ τέλος ἐπείγειν, αὐτὰ δ᾽ ἀσύνετα πάντα τῆς τῶν γινομένων αἰτίας ὑπάρχειν· ἐπεὶ καὶ τὸ βέλος οὐκ οἶδε μὲν τὸν σκοπόν, παρὰ δὲ τοῦ τοξότου ἐφ᾽ ὅπερ ἐνεχθῆναι προσῆκον ἰθύνεται καὶ οὐκ ἂν εἴποι τίς τινος τὸ βέλος στοχάζεσθαι οὐδὲ γνῶσιν ἢ βούλησιν ἔχειν τοῦ τέλους.

10–12 οὐ … 12 ἡμᾶς

Tit. 3, 4–5: Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινήσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενηθῶμεν κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.

18–19 αὕτη … Χριστόν

Io. 17, 3: Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσιν σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

20 τουτέστι … ἀπόρρητα

Nic. Meth., *vit. term.* II, 244–245: Διὰ γὰρ τῶν ἀπεμφαινόντων ὀνομάτων μᾶλλον ἐκφαίνεσθαι τὰ τῆς θεολογίας ἀπόρρητα, φησὶν ὁ ἀποστολικὸς Διονύσιος.

20–21 ἅ … βλέπουσιν

I Cor. 13, 12: Βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην.

31–34 τὰ … πορευόμεθα

Ps. 90, 1: Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.

Ps. 90, 5–6: Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυχτερινοῦ, ἀπὸ βέλους πετουμένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.

Ps. 90, 10–11: Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

37 ἀνεξιχνιάστων … ἀναριθμήτων

Iob 5, 8–9: …Κύριον δὲ τὸν πάντων δεσπότην … τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

Iob 9,10: Ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.

4.1., 14–15 Καὶ … σῴζει

I Tim 2, 4: …ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

4.2.,1 σκοπείσθω… βεβαίωσιν

Arist., *Eth. Nic*. VII, 14 (1154a 22–25): …οὐ μόνον δεῖ τἀληθὲς εἰπεῖν ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους· τοῦτο γὰρ συμβάλλεται πρὸς τὴν πίστιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς οὐκ ὂν ἀληθές, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον.

17–19 ὑποτεταχέναι… ἠλαττωμένῳ

Ps. 8, 6–9: Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ…

33–34 οὐ… βοῶν[1]

I Cor. 9, 9–10: Ἐν γὰρ τῷ Μωϋσέως νόμῳ γέγραπται, «Οὐ κημώσεις βοῦν ἀλοῶντα». Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; Ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν.

4.3., 2–3 Ὃ… ἐγένετο

Iob 1, 21: Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

5–6 Τοῖς… σοῦ

Ps. 90, 11: Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

7–8 Ὁ… κακά

Is. 45, 7: …ἐγὼ ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος, ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά· ἐγὼ κύριος ὁ Θεὸς ὁ ποιῶν ταῦτα πάντα.

Bas., *Deus non auct. mal.* 31 (333D–336A): Ἀλλ' εἴπερ ἀναίτιος τῶν κακῶν ὁ Θεὸς, φησί, πῶς εἴρηται τό «Ἐγὼ ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά»;

8 Οὐκ… ἐποίησε

Am. 3, 6: Εἰ φωνήσει σάλπιγξ ἐν πόλει καὶ λαὸς οὐ πτοηθήσεται; Εἰ ἔσται κακία ἐν πόλει ἣν Κύριος οὐκ ἐποίησεν;

Bas., *Deus non auct. mal.* 31 (336A): "Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε".

Op. cit. 31 (336C): Ὥστε «Ποιῶν εἰρήνην», οὕτω ποιεῖ εἰρήνην, ἐκ τοῦ «κακὰ κτίζειν», τουτέστι μεταποιεῖν καὶ εἰς βελτίωσιν ἄγειν.

Op. cit. 31 (337B–C): Ὅταν δὲ ἀκούσῃς, "Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε", νόει τῆς 'κακίας' τὸ ὄνομα ὅτι τὴν προσαγομένην κάκωσιν τοῖς ἁμαρτάνουσιν ἐπὶ διορθώσει τῶν πλημμελημάτων ὁ λόγος αἰνίσσεται.

Nic. Meth., *vit. term.* II, 240: Πρὸς δὲ τούτοις καὶ ὁ Προφήτης εἰπών, "Οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ Κύριος οὐκ ἐποίησε".

9 Πάντα… ἡμῖν

Is. 26, 12: Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν.

11–12 ἄνευ… κεφαλῆς

Luc. 21, 18: …θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.

13 ὅτι οὕτω… Χριστὸν

Luc. 24, 26: Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;

14 πλὴν … σύ

Mat. 26, 39: Καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων, "Πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ".

14–15 χωρὶς … ποιεῖν οὐδέν

Io. 15, 5: Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

Anast. S., *inter. et resp.* 55 (89, 620B): «Οὐ δύνασθε» γάρ, φησί, «χωρὶς ἐμοῦ ποιεῖν οὐδέν».

20–21 σπουδάζωσι … ἐξελέγησαν

II Pet. 1, 10: Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε.

21–22 ταχινή … ἐδήλωσεν

II Pet. 1, 14: …εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι.

22–24 ὁ[2] … ἁγίαις

Rom. 1, 1–2: Παῦλος δοῦλος Χριστοῦ Ἰησοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις.

24–25 τὸ … οἰκτείρω

Rom. 9, 15: Τῷ Μωϋσεῖ γὰρ λέγει, «Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτιρήσω ὃν ἂν οἰκτίρω».

26–27 Ἄρα … Θεοῦ

Rom. 9, 16: Ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.

Anast. S., *inter. et resp.* 55 (89, 620A–B): Περὶ δὲ πάλιν τὸ «Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος» […]· καὶ γὰρ οὐ τοῦ θέλοντος μόνον τὴν ἀρετήν, οὐδὲ τοῦ τρέχοντος καὶ ἀγωνιζομένου ταύτην κατορθῶσαι, ἀλλὰ καὶ τοῦ ἐλεοῦντος καὶ συνεργοῦντος Θεοῦ.

27 Οὓς … ἐκάλεσε

Rom. 8, 30: Οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Nic. Meth., *vit. term.* II, 250: Δηλοῖ δὲ αὖθις ὁ Παῦλος, «Οὓς προέγνω τούτους καὶ προώρισε» λέγων.

27–29 Οὓς … δόξαν

Anast. S., *qu. et resp.* 99, 3 (157, 27–35): Ὅμως εἰπὼν ὁ θεῖος Ἀπόστολος, ὅτι «Οὓς προέγνω ὁ Θεός, τούτους καὶ προώρισε, λέλυκε πάντα τὰ προκείμενα ζητήματα· οἷον προέγνω τὸ ἀμετανόητον τοῦ Φαραώ, καὶ ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ, ὅπως καταδιώξῃ τὸν Ἰσραὴλ καὶ ποντισθῇ· προέγνω τὸ εὐθὲς τοῦ Ἱερεμίου, καὶ προώρισεν αὐτὸν ἐκ μήτρας ἁγιάσας εἰς προφήτην· προέγνω τὴν ἀσέβειαν Σοδόμων, καὶ ἐποίησεν αὐτοὺς σκεύη ἀτιμίας ἐμπρησμοῦ· προέγνω τὴν μετάνοιαν Παύλου, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς.

28–29 τοὺς[1] … δόξαν

Rom. 9, 21–23: Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν

καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν…

30 Οὐδεὶς…ἀποθνῄσκει
Rom. 14, 7: Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει.

31–32 Ἐξελέξατο…υἱοθεσίαν
Eph. 1, 4–5: Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.

33–37 Εἰ…δόξαν
Rom. 9, 22–23: Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν…
Bas., *Deus non auct. mal.* 31 (340B): Ὥστε, κἂν λέγῃ ποτὲ ὁ Ἀπόστολος ‘σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν’, μὴ κατασκευήν τινα πονηρὰν οἰηθῶμεν εἶναι τοῦ Φαραώ (οὕτω γὰρ ἐπὶ τὸν κατασκευάσαντα δικαιότερον ἡ αἰτία μετενεχθήσεται), ἀλλ’ ὅταν ἀκούσῃς ‘σκεύη’, νόει ὅτι πρός τι χρήσιμον ἕκαστος ἡμῶν πεποίηται.

5.2., 4–14 Ἔστι…ᾗ
Dem. Cyd., *De contemn. morte* V (10, 11–22): …οὐδὲ τὸν θάνατον παντελῶς ἀτιμαστέον οὐδ’ ὥς τι τῶν βλαβερῶν φευκτέον, ἀλλ’ ἡγητέον εἶναί τινα καὶ τούτου τοῖς ἀνθρώποις ὠφέλειαν, τοῦ μὲν ἀρίστου ὄντος, εἴ τις τὸν βίον ἀναμάρτητον καὶ μετ’ ἀρετῆς διεξίοι, οὐ μὴν οὐδὲ τῷ τὸν ἀνίατα νοσοῦντα ταῖς προσηκούσαις ὑπάγεσθαι δίκαις ἀχρήστου παντάπασι γινομένου· πρὸς ὅπερ ὁ θάνατος τῷ τοῦ παντὸς ἡγεμόνι καὶ δημιουργῷ πλεῖστον συμβάλλεται τῇ ἑαυτοῦ δικαιοσύνῃ τὴν τῶν ἀνθρώπων κακίαν κολάζοντι καὶ οὐκ ἐῶντι πλημμελῶς καὶ ἀτάκτως φέρεσθαι τὸν ὑπ’ αὐτοῦ γινόμενον κόσμον, ἀλλὰ τῇ περιουσίᾳ τῆς ἀγαθότητος καὶ τὴν ἡμετέραν κακίαν εἰς τάξιν καθιστῶντι τῇ τιμωρίᾳ…

14–21 Ἐνίοτε…ὄν
Marc. Eug., *vit. term.* 354: Οὕτω δὴ και, εἴ τις ἕτερος ἐξήρπασται τοῦ θανάτου θαυματουρίᾳ τινὶ θείᾳ καὶ πρεσβείαις ἁγίων, οὐ τὸ μὴ εἶναι ζωῆς ὅρους, ἀλλὰ τὸ εἶναι μᾶλλον ἐνδείκνυται, τοῦ Θεοῦ δυναμένου τοὺς πεπηγότας ὅρους ὑπερθέσθαι τε μεταβαλλομένων ἀπὶ τὸ κρεῖττον ἡμῶν, καὶ αὖθις ἐπιτεμεῖν πρὸς τὸ χεῖρον ὑπαγομένων.

17 ἀνώδυνον…ὑπάρξειν
Joh. Chrys., *ord. sacr. divin. miss.* 60: Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

5.3., 1–4 Ὥσπερ…ὁρᾶν
Marc., Eug., *vit. term.* 355: Εἰ δὲ δὴ φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι.
Theoph. Sim., *vit. term.* III (28, 31–30, 5): Οὐκ ἔξω δέ που τῆς γνωστικωτάτης μεγαλονοίας τοῦ κτίσαντος, ἢ πότε, ἢ ὅπως ἢ ὅποι τὸ τῆς ἑκάστου ζωῆς ἡμῶν ἀποτερματίζεται τέλος· οὐκ αἰτία δὲ τοῦ ἁμαρτάνειν ἡμᾶς ἢ μὴ ἁμαρτάνειν ἡ διὰ πάντων διήκουσα καθέστηκε πρόγνωσις τοῦ ἐπὶ πάντων θεοῦ, περὶ οὗ οὐκ ὀλίγα ἄττα πολλοὶ πολλαχοῦ τῶν πρὸ ἡμῶν ἄριστα πεφιλοπονήκασι.

1–6 Ὥσπερ … χεῖρον
Bas., *mor.* 11 / *mort*. 32 (1257D–1260A): Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος ἐτάξατο, κατὰ τοὺς ἀῤῥήτους αὐτοῦ τῆς σοφίας καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ γὰρ οἱ ἐν ταῖς εἱρκταῖς ἐμπίπτοντες, οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· οὕτω καὶ αἱ ψυχαὶ, αἱ μὲν ἐπὶ πολὺ προσκατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ’ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου· σοφῶς καὶ βαθέως, καὶ ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος ἡμᾶς προβλεπομένου Θεοῦ.

1–24 Ὥσπερ … ἀνθρώπους
Germ., *vit. term.* 18, 12–25: …ἡ μὲν ἐκ τῆς πρώτης καταδίκης ἐπαγωγὴ μία καὶ ἡ αὐτὴ ἐπὶ πάντων ἀνθρώπων ἐστίν (ὁμοίως γὰρ πάντες εἰς γῆν ἀποστρεφόμεθα, εἰ καὶ οἱ τρόποι τοῦ θανάτου διάφοροι), τὸ δὲ ἄλλον ἄλλου θᾶττον ἢ βραδύτερον ἀποβιῶναι τὴν πρὸς τὸ συμφέρον ἡμῖν τοῦτο οἰκονομοῦσαν τοῦ Θεοῦ πρόνοιαν διαδείκνυσιν, τῷ μὲν πρὸς τὸ μετανοίᾳ τὰ φθάσαντα διορθώσασθαι σφάλματα πλείονα ἐπιμετροῦντος ζωήν, τὸν δὲ πρὸς τὸ μὴ ἐμπαγῆναι εἰς ὕλην τοῦ τῆς ἁμαρτίας βυθοῦ τάχιον προαρπάζοντος, μᾶλλον δὲ κατὰ τὴν ἄῤῥητον τῆς σοφίας αὐτοῦ καὶ τῆς ἀγαθότητος ἄβυσσον, ᾗτινι μηδὲ ἀγγελικὸν ὅλως προσβλέψαι νοῦν δυνατόν, τὰ τοιαῦτα οἰκονομοῦντος, καὶ τῇ οἰκείᾳ προγνωστικῇ δυνάμει προθεωροῦντος τὰς ἐκβάσεις τῶν ἐσομένων, καὶ καταλλήλως τούτοις τῇ δικαίᾳ αὐτοῦ κρίσει τὰ τέλη τούτων προορίζοντος.

4–13 Οἱ … διαλύσασθαι
Anast. S., *qu. et resp*. (App.) 23a, 4 (215, 58-216, 67): Πολλάκις γοῦν πιστῶν νήπια οἰκονομικῶς προαρπάζει ὁ Θεός, ὅπως καθαρὰ ἐκεῖ ἀπέλθωσιν, ἴσως ὅτι πονηρὸν βίον πάνυ ζῆσαι ἤμελλον. Καὶ ἁπλῶς πάντα πρὸς τὸ συμφέρον ἑκάστου ὁ Θεὸς οἰκονομεῖ, καὶ τοὺς μὲν ἁμαρτωλοὺς μακροχρονίους ποιεῖ, ἀφορμὴν αὐτοῖς διδοὺς πρὸς μετάνοιαν, τοὺς δὲ δικαίους πολλάκις ὀλιγοχρονίους ποιεῖ, ἵνα μή, ὡς λέγει ἡ θεία Γραφή, ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν· πολλοὺς γὰρ ἀρξαμένους μετανοεῖν συντόμως ἁρπάζει ὁ Θεός, πρὸς τὸ συμφέρον ὡς ἀγαθός, προγινώσκων ὅτι ἐὰν πολυχρονήσουσι, πάλιν πίπτουσιν καὶ ἀπώ<λ>λυντο.

Op. cit. 23b, 3 (218, 16–29): Πολλάκις γὰρ καὶ πιστῶν νήπια οἰκονομικῶς ἁρπάζει ὁ Θεός, ὅπως καθαρὰ ἀπελθόντα ἐκεῖ σωτηρίας τύχωσιν, ὡς προειδὼς τὸ μέλλον, ὅτι πονηρὸν βίον ζῆσαι ἔμελλον· ἑτέρους μετανοεῖν ἀρξαμένους, εὐθέως ἁρπάζει πρὸς τὸ συμφέρον, προγινώσκων ὅτι ἐὰν πολυχρονήσωσι, πάλιν τοῖς ὁμοίοις κακοῖς περιπέσωσι, καὶ εἰς τὸ χεῖρον ἔλθωσι· καὶ πολλοῖς μὲν δικαίοις μακρότητα ἡμερῶν χαρίζεται εἰς τὸ καὶ ἄλλους συσσῶσαι μεθ’ ἑαυτῶν· πολλοὺς δὲ καὶ ὀλιγοχρονίους πολλάκις ποιεῖ, ἵνα μὴ ὡς λέγει Σολομὼν ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἁμαρτωλῶν, τοὺς μὲν πολυχρονίους ποιεῖ, ἵνα μετανοήσωσιν, τοὺς δὲ καὶ ταχέως ἁρπάζει, ὅπως ἂν στῇ τὰ τῆς κακίας αὐτοῖς, καὶ μικρᾶς τινος ἀνέσεως τύχωσιν· πάντως δὲ καθὼς προείπομεν πρὸς τὸ συμφέρον ἑκάστῳ ἡ ἀγαθότης οἰκονομεῖ.

36–38 ὃ … φροντίζουσιν
Phot. *Amph.* 240 (21, 22-26): εἰ γὰρ ὑπό τὴν αὐτήν περιγραφὴν τοῦ θανάτου ἕκαστον πλῆθος περιλαμβάνεται, καὶ τοῦτο καθωμολόγηται, ὁ δὲ ὅρος οὐδὲν ἕτερον ἐστιν παρὰ τὸ τέλος ἑκάστου, πλὴν οὐχ ὅπερ ὁμολογοϋσιν ὅρον γεγενῆσθαι, οὐκ ἐλέγχονται ζητοῦντες εἰ ἄρα κατὰ πάντων εἷς ἦν ὁ παγεὶς ὅρος;

40 Ἐν … σε^{2}

Ez. 7, 5: …ἐκχεῶ τὴν ὀργήν μου ἐπὶ σὲ καὶ συντελέσω τὸν θυμόν μου ἐν σοὶ καὶ κρινῶ σε ἐν ταῖς ὁδοῖς σου καὶ δώσω ἐπὶ σὲ πάντα τὰ βδελύγματά σου.

Op. cit. 11, 11–12: …ἐπὶ τῶν ὁρίων τοῦ Ισραηλ κρινῶ ὑμᾶς, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος·

Op. cit. 18, 30: …ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ισραήλ, λέγει Κύριος.

Op. cit. 24,14: Ἐγὼ Κύριος λελάληκα, καὶ ἥξει, καὶ ποιήσω, οὐ διαστελῶ οὐδὲ μὴ ἐλεήσω· κατὰ τὰς ὁδούς σου καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, λέγει Κύριος. Διὰ τοῦτο ἐγὼ κρινῶ σε κατὰ τὰ αἵματά σου καὶ κατὰ τὰ ἐνθυμήματά σου κρινῶ σε, ἡ ἀκάθαρτος ἡ ὀνομαστὴ καὶ πολλὴ τοῦ παραπικραίνειν.

Op. cit. 33, 20: Καὶ τοῦτό ἐστιν, ὃ εἴπατε «Οὐκ εὐθεῖα ἡ ὁδὸς Κυρίου»· ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος Ισραήλ.

Joh. Climac., *Scal.* 88 (812D): Οἴμοι, οἴμοι, ποῦ ἦν τότε ἡ τοῦ Ἰεζεκιὴλ φωνή, ἵνα εἴπῃ πρὸς αὐτοὺς, ὅτι «Ἐν ᾧ εὕρω σε, ἐν αὐτῷ καὶ κρινῶ σε, εἶπεν ὁ Θεός»;

5.4., 9–11 Οὐκοῦν…ὄντων[2]

Germ., *vit. term.* 12, 24–30: …τὰ μὲν ἄλλα ποικίλως τε καὶ πολυτρόπως κατὰ διαφόρους αἰτίας καὶ λόγους συμπίπτειν ἡμῖν λογιζόμεθα, θανάτους δὲ ἀνθρώποις ἐπάγεσθαι μὴ ἄλλως ἡμῖν νομιστέον, ἢ κατὰ τὸν Βασιλείου λόγον τοῦ σοφωτάτου "τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ Θεοῦ κρίσις ἔπηξεν, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου".

Op. cit. 56, 4–9: Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ συνηρτημένον ἀληθῶς λείαν καὶ ἀπρόσκοπον δείκνυσιν τὴν διὰ τῶν ἱερῶν γραμμάτων φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον, καὶ οὐ τὸ οἴεσθαι ὡς ἐκ ταὐτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον, τοῖς ὡς ἔτυχεν συμπτώμασιν ἐπισυμβαίνοντα […].

19–20 Ἅπτεται…Θεός

Sap. 8, 1: Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

20–22 Δύο…μου

Mat. 10, 29: Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; Καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν.

24–26 ἀρκεῖ…συστέλλεσθαι

Bas., *Deus non auct. mal.* 31 (333B): Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου.

Id., *mor. 11 / mort* 32 (1268C): Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῖν συμφέρον προβλεπομένου.

27 εἰς…σκεύεσι

II Tim. 2, 20–21: Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν ἃ δὲ εἰς ἀτιμίαν· ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Rom. 9, 20–21: Ὦ ἄνθρωπε, μενοῦν γε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; Μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· 'τί με ἐποίησας οὕτως'; Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;

5.5., 4 πᾶσι…ἄγγελον

Marc. Eug., *ad Reg.* 22 (315–316): …ἀγγέλους ἐπέστησε φύλακας.

22–24 Ἀνανίας… βουλομένου

Act. 5, 1–11: Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ ἐπώλησεν κτῆμα καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίης καὶ τῆς γυναικός, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν. Εἶπεν δὲ ὁ Πέτρος, "Ἀνανία, διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοὶ ἔμενεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ Θεῷ". Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξεν· καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες ἔθαψαν. Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. Ἀπεκρίθη δὲ πρὸς αὐτὴν Πέτρος, "Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;" Ἡ δὲ εἶπεν, "Ναί, τοσούτου". Ὁ δὲ Πέτρος πρὸς αὐτήν, "Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου; Ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξοίσουσίν σε". Ἔπεσεν δὲ παραχρῆμα πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Ath., *pass.* 28 (188C–D): Ἀπεβλήθησαν γοῦν εἰκότως, καὶ ὃν ψευσάμενοι κατὰ τοῦ Κυρίου θάνατον ἐπήγαγον, τοῦτον αὐτοὶ καθ' ἑαυτῶν ἀληθῶς ἐπεσπάσαντο· ὡς καὶ Ἀνανίας καὶ Σάπφειρα ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, οἵτινες, ἐπαγγελίαν τῷ Θεῷ δεδωκότες, ἀπὸ τῆς ἐπαγγελίας ἐνοσφίσαντο· καὶ τοὺς μὲν ἄλλους ἐλάνθανον, ὁ δὲ τῆς ἀληθείας διάκονος Πέτρος τούτους ἀπωθεῖται λέγων· «Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ». Ἐν οἷς καὶ μέγιστον θαῦμα γέγονεν· ὅπερ γὰρ μόνος ἠπίστατο Πέτρος, τοῦτο τῷ θανάτῳ τῷ περὶ τὸν Ἀνανίαν πᾶσιν ἐφανέρωσεν, ὥστε τοὺς πάντας εἰς εὐλάβειαν ἐλθεῖν καὶ τὸ παράδειγμα Σαπφείρας φοβηθῆναι.

6.1., 3 Ὁ… ἐποίησεν

Sap. 1, 13: …ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.

Marc. Eug., *vit. term.* 354: …ἁμαρτίας ἐπιτίμιον ὄντα καὶ παρ' ἡμῶν ἡμῖν αὐτοῖς εἰσενεγμένον («Ὁ Θεὸς» γάρ, φησί, «θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων») κατατιθέμεθα.

Ps.-Anast. S., *qu. et resp.* [Sp.] 23b, 1 (217, 3-218, 10): Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, ἀλλὰ φθόνῳ διαβόλου εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον διὰ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ· διὰ τοῦτο καὶ ὁ ἐν ἁγίοις Βασίλειος ἔφη ὅτι θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων. Ὅρος δὲ ἑκάστῳ τῆς ζωῆς ἡ κέλευσις καὶ ἡ βουλή ἐστι τοῦ Θεοῦ· ᾧ γὰρ ἂν ἐθέλει προστίθησιν ἔτη ζωῆς, καὶ ἔνθα βούλεται πάλιν ἐκκόπτει, ὡς καὶ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν κρατῶν.

4–10 οὐ… ἀποχρῆται

Ez. 33, 11: …τάδε λέγει Κύριος. Οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν. Ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καί ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;

Joh. Damasc., *exp. fid.* 43, II 29 (102, 67-70): Χρὴ εἰδέναι ὡς ὁ Θεὸς προηγουμένως θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς, ἀλλὰ πρὸς τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ ὡς ἀγαθός. Ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι δικαίως.

Blemm., *vit. fin.* I (2, 26–29): Ἐπεὶ τοίνυν ἀληθής ἐστιν ὁ Θεὸς καὶ τὰ λόγια αὐτοῦ ἀληθινὰ κατὰ τὸν ἐν προφήταις μέγαν Δαυίδ, φησίν οὖν ἀληθῶς ὁ θεός· "Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν"…

Theoph. Nic., *de aet. mundi* 36 (33,23–25): …οἷον θέλει ὁ Θεὸς πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πλὴν συνεργούσης καὶ τῆς ἡμετέρας θελήσεως.

11 Κύριος… ζωογονεῖ

I Reg. 2, 6: Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

Blemm., *vit. fin.* I (3, 3–5): Ἐκεῖνο δὲ πῶς νοεῖς τὸ Κύριος θανατοῖ καὶ ζωογονεῖ; Οὐχ ὅτι θανάτου καὶ ζωῆς κυριεύων ἐστίν, ὡς ἡ ἱερὰ Γραφὴ μαρτυρεῖ καί, οἷς μὲν ἐθέλει, χαρίζεται τὴν ζωήν, οἷς δὲ βούλεται, αὖθις ἐπάγει τὸν θάνατον;

14–15 τὸν… τάττοντος

Marc. Eug., *vit. term.* 355: Εἰ δὲ δὴ φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι.

Theoph. Sim., *vit. term.* III (28, 31–30, 5): Οὐκ ἔξω δέ που τῆς γνωστικωτάτης μεγαλονοίας τοῦ κτίσαντος, ἢ πότε, ἢ ὅπως ἢ ὅποι τὸ τῆς ἑκάστου ζωῆς ἡμῶν ἀποτερματίζεται τέλος· οὐκ αἰτία δὲ τοῦ ἁμαρτάνειν ἡμᾶς ἢ μὴ ἁμαρτάνειν ἡ διὰ πάντων διήκουσα καθέστηκε πρόγνωσις τοῦ ἐπὶ πάντων θεοῦ, περὶ οὗ οὐκ ὀλίγα ἄττα πολλοὶ πολλαχοῦ τῶν πρὸ ἡμῶν ἄριστα πεφιλοπονήκασι.

15–23 Καὶ… δίκαιον

Anast. S., *inter. et resp.* 55 (89, 617B): Ἄξιον ἐνταῦθα τὸ παροιμιακὸν εἰπεῖν λόγιον, ὅτι "Ἄνθρωπος λυμαίνεται τὰς ἑαυτοῦ ὁδούς", τὸν δὲ Θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ. Ὁ γὰρ ἄνθρωπος αὐτεξούσιός ἐστι τῆς ἑαυτοῦ σωτηρίας καὶ ἀπωλείας. Γέγραπται γὰρ ὅτι «Ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ".

Jos. Br., *cruc. IV* 317: …ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ ἡμῶν αὐτεξούσιον· καὶ γὰρ οὐχ ὅτι προγινώσκει πράττομεν, ἀλλ' ὅτι πράξομεν προγινώσκει· καὶ οὔτε ἡ παρ' ἡμῶν τελουμένη κακία, ἐκ τοῦ παρ' αὐτοῦ προορᾶσθαι τὸ αἴτιον ἔχει, οὔτε ἡ ἐν ἡμῖν ἀρετή, ἐντεῦθεντὴν ἀρχὴν τοῦ γίνεσθαι κέκτηται· ἐπεὶ οὔτε τὴν κακίαν αὐτὸς ὁπωσοῦν θέλει, οὐδὲ τὴν ἡμῶν ἀρετὴν ὅλως βιάζεται· οὐ γὰρ ἀνάγκῃ δέδεται τὰ ἡμέτερα, ἀλλ' ἐλευθερίᾳ ἐπίσης πάντες ἄνθρωποι τετιμήμεθα.

16–17 Ἀφῆκεν… αὐτοῦ

Sir. 15, 14: Αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ.

6.2., 7–8 Γνώρισόν… ἐστιν

Ps. 38, 5: Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ.

12–13 Ἐξάγαγε… μου

Ps. 141, 8: Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου…

15–17 Καὶ… αἰτεῖσθαι

Germ., *vit. term.* 44, 17–20: Πῶς δὲ καὶ ὁ Δαυὶδ αἰτεῖ παρὰ Θεοῦ καὶ φησίν, 'μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου'; Πάντα γὰρ οἶμαι ταυτὶ ἀνατρεπτικὰ τυγχάνειν τοῦ ὅρους ζωῆς τοῖς ἀνθρώποις πεπῆχθαι νομίζειν.

15-16 Μὴ… μου

Ps. 101, 25: Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.

Nic. Meth., *vit. term.* II, 243: Ἀλλ' ἐκεῖνό, φησι, πῶς νοήσωμεν τὸ δαυϊτικόν, "Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου";

Marc. Eug., *vit. term.* 354: Καὶ ὁ Δαυὶδ δέ, τῷ Θεῷ φάσκων “Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου”, τοὺς τῆς ζωῆς ὅρους ὑποδηλοῖ, μὴ συντμηθῆναι τούτους αἰτούμενος.

18–23 Οὐκοῦν … ἐκβαίνει
Anast. S., *qu. et resp*. (App.) 23a, 5 (216, 77-81): Καὶ πολλοῖς μὲν δικαίοις, μακρότητα ἡμερῶν χαρίζεται, πολλοῖς δὲ ὀλιγότητα. Ὡσαύτως καὶ τοὺς ἁμαρτωλούς· τοῖς μὲν προστίθησι χρόνους, τοῖς δὲ θᾶττον ἁρπάζει. Πάντα, καθὼς προείρηται, ἡ αὐτοῦ ἀγαθότης πρὸς τὸ συμφέρον ἑκάστῳ οἰκονομεῖ.

7., 1–4 Ἐπεὶ … ἀληθείας
Mich. Glyc., *In S. Scr.* 37 (452,3–10): Εἰ δὲ καὶ παράγουσί τινες ἐνταῦθα τὸν μέγαν Βασίλειον οὕτω λέγοντα· θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἔπηξε περὶ ἑκάστου ἡ δικαία κρίσις τοῦ Θεοῦ, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου, μὴ θαύμαζε τούτου ἕνεκεν, μηδὲ προορισμόν τινα καὶ πῆξιν ἡγοῦ τὸν μέγαν ὑπεμφαίνειν ἐκ τούτου Βασίλειον· τὴν γὰρ τοιαύτην ὑπόνοιαν, ὡς ὁ Σιναίτης φησὶ θεῖος Ἀναστάσιος, ἐκ μέσου πεποίηκεν ἐν οἷς ἐκεῖνος οὕτω διείληφε.

16–19 ἀποροῦντες … προορισμοῦ
Pleth., *fat.* 70: Ἀλλ’ ‘εἰ πάντα ὥρισται’, φαίη ἄν τις, ‘καὶ οὐδὲν ὅ,τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ’ ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ’ ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι οὐτ’ ἂν κυρίων ἑαυτῶν ὄντων, οὐτ’ ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακοὺς, ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί’.

8., 2 τὸ … ἀξίωμα
Bas., *Deus non auct. mal.* 31 (333B): Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου·
Id., *mor.* 11 / *mort*. 32 (1268C): Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῖν συμφέρον προβλεπομένου.

6 τὸ … ἀξίωμα
Rom. 8, 30: Οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

15–17 Ὃ … ἄδικον
Max., *cap. theol.* II, 22 (1228D): Ὃ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου διορίσας ζωὴν πρὸ τῶν αἰώνων Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον, εἴτε ἄδικον.
Id., *qu. Thal.* 90, 384C: Ὅι γὰρ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων συμφερόντως διορίσας ζωὴν Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον εἴτε ἄδικον.

19–23 καὶ[1] … τέλος
Marc. Eug., *vit. term.* 355: Εἰ δὲ δὴ φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι.

Λόγος Γ΄

2.1. 1–3 Ὁ … συναγωνίζεται

Marc. Eug., *vit. term.* 350: τὰ τοῖς ἁγίοις πρότερον εἰρημένα καὶ διευκρινημένα καλῶς ἀνασκαλεῖν πειρῶμαι.

Op. cit. 351–352: Τί δὲ ἡμεῖς; Οὔτε θάτερον τούτων ἢ ἀμφότερα ἀνελοῦμεν, ἐπειδὴ μὴ ἀλλήλοις συμβαίνουσιν, οὔτε τοὺς εἰπόντας διαβαλοῦμεν (μὴ γένοιτο!), συμβιβάσομεν δὲ μᾶλλον ἐκεῖνα, καὶ τὸ ἀληθὲς ὅπως ἔχει διαληψόμεθα τελεώτερον, εἴ πως ἡμῖν δοθείη λόγος ἐν ἀνοίξει τοῦ στόματος ὑπὸ τῶν σῶν ἁγίων βοηθουμένοις εὐχῶν. Πρῶτον δὲ ἀμφοτέρους τοὺς λόγους ὡς ἐν δικαστηρίῳ προστήσαντες, ὅπη τὸ ἰσχυρὸν ἑκάτερον ἔχει σκοπήσωμεν.

Op. cit. 356–357: Οὗτοι μὲν οἱ ἐναντίοι λόγοι. Καὶ εἴ τις ἡμᾶς ὡς διαιτητὰς δέχεται, τιθέμεθα τῷ δευτέρῳ καὶ τὴν νικῶσαν αὐτῷ δίδομεν, ἀποφαινόμεθά τε εὖ μάλα τεθαρρηκότως μὴ δεῖν τὸ πάντων ἀοριστότατον ὡρίσθαι παρὰ Θεοῦ λέγειν. Τὶ γὰρ καὶ τοῦ ἀποθανεῖν ἄνθρωπον εὐκολώτερον;

6–8 εἰ … προορίζει

Marc. Eug., *vit. term.* 359: Τοιοῦτον, οἶμαι, καὶ τὸ παρὰ τῷ μεγάλῳ Βασιλείῳ περὶ τῶν τῆς ζωῆς ὅρων εἶναι· «θάνατοι» γάρ, φησίν, «ἐπάγονται τοῖς ἀνθρώποις, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων»· οὐ πᾶσι φησὶ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πιστοῖς καὶ πρὸς οὓς ἐκεῖνος ἐποιεῖτο τὸν λόγον· καὶ τούτοις δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις· τούτων γὰρ ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει.

Op. cit. 359: Τὰ δὲ τῶν οἰκείων αὐτῷ καὶ φίλων οὓς ἐξελέξατο ἐκ τοῦ κόσμου φησὶν οὐ προ γινώσκει μόνον ἀλλὰ καὶ προορίζει.

Op. cit. 362: Οὐκ ἄρα πᾶσαν ζωὴν ὡρίσθαι φήσομεν, οὐδὲ πάντα θάνατον προωρίσθαι· μόνον ἄρα τῶν τὸν τῶν δικαίων καὶ τῷ Θεῷ φίλων, ὧν οὐδὲ θριξ ἡ τῆς κεφαλῆς ἀπολεῖται μὴ βουλομένου Θεοῦ.

Id., *vit. term. (Epit.)* 31: Περὶ μὲν τοῦ προορισμοῦ κρίνει (sc. ο Μ. Βασίλειος) ὅτι μόνα τὰ τῶν δικαίων καὶ τῷ Θεῷ εὐαρεστούντων εἰσὶν προωρισμένα καὶ θάνατος καὶ πάντα τὰ ἐν αὐτῷ· καὶ ταῦτα εἰσὶ τὰ κατ᾽ εὐδοκίαν γινόμενα, τὰ δὲ ἄλλα ὅσα κατὰ παραχώρησιν ἢ κατὰ ἐγκατάλειψιν γίνονται, οὐκ εἰσί [= Bas., *Deus non auct. mal*. 31, 333b; *id., mor.* 11 / *mort*. 32 (1268C)].

13–15 Τοῦτο … μέγαν

Anast. S., *qu. et resp*. 99 (158, 46–58): Εἰδέναι τοίνυν προσήκει ὅτι ἐν Ῥώμῃ, πρὸς οὓς καὶ τὰ τοιαῦτα ῥήματα γεγράφηκεν ὁ Παῦλος, ὑπῆρχόν τινες καὶ ἐξ Ἑλλήνων καὶ ἐξ Ἑβραίων πεπιστευκότες. Διόπερ πρὸς τὰ ἀμφότερα μέρη γράφων ποτὲ μὲν ἀντιλαμβάνεται τῶν ἐξ ἐθνῶν, ἴσως ὀνειδιζομένων ὑπὸ τῶν Ἰουδαίων διὰ τὴν πάλαι εἰδωλολατρίαν, καὶ τούτου χάριν τὰ τοιαῦτα ῥήματα γεγράφηκεν, ἐπιστομίζων Ἰουδαίους καὶ λέγων, “Σὺ τίς εἶ ὁ ἀνταίρων τῷ Θεῷ; Μὴ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ ποιῆσαι σκεύη, τὰ μὲν εἰς τιμήν, τὰ δὲ εἰς ἀτιμίαν; καί, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω”. Ταῦτα καὶ τὰ τοιαῦτα ὑπὲρ τῶν ἐξ ἐθνῶν, δι᾽ οὓς κἀκεῖνο εἶπε τὸ φάσκον “Δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι”.

Mich. Glyc., *In S. Scr.* 37 (453, 10–14): Μὴ περιεργάζου τὰς λέξεις λοιπόν· ἵνα γὰρ μὴ ἐάσῃ λογισμοῖς ἀλλοκότοις κυμαίνεσθαι τοὺς οἱᾳδήτινι συμφορᾷ περιπίπτοντας, μὴ εἶναι Θεὸν ἐφορῶντα τὰ τῇδε λέγοντας, τοιαῖσδε λέξεσιν οἰκονομικῶς ὁ μέγας ἐχρήσατο.

14–15 ἐκ … παρήκοντος

Marc. Eug., *vit. term.* 358: Ἐπεὶ δὲ ἐκ τοῦ παρήκοντος εἶπον τὰ εἰρημένα, μήποτε τὸ ἐπὶ μέρους ὑπάρχον ὡς καθόλου, διὰ τὴν τῶν ἀκοούντων ὠφέλειαν, ἀπεφήναντο.

Nic. Meth., *vit. term.* II 244: Πρὸς δὴ ταῦτά φαμεν ὅτι ψεῦδος μὲν ἅπαν, τὸ κατ᾽ ἔκπτωσιν ἀληθείας λεγόμενον, ἐκ τοῦ διαβόλου ἐστί, καὶ οὔτε ἁγίοις προσῆκον οὔτε πολλῷ πρότερον τῷ Θεῷ. Εἴ τι δὲ οἰκονομικῶς ἐπὶ προτροπῇ εὐσεβείας τε καὶ τῆς ἄλλης ἀρετῆς καὶ ἀποτροπῇ τῶν ἐναντίων εἴρηταί τε καὶ γέγραπται, τοῦτο δίκαιον ἂν εἴη τῆς τοῦ ψεύδους ἀπολύειν

γραφῆς· ἐντεῦθεν δὲ μᾶλλον ὥσπερ διά τινος ἀγκύρας λεπτῆς μέν, ἀλλ' οὖν ὅσης ἐνὸν ἡμῖν ἐφικνεῖσθαι πρὸς τὴν θείαν ἀνατρέχειν τῆς ἀληθείας ὑπεροχήν.

15–18 Ἐμοὶ…ζητούντων
Nic. Meth., *vit. term.* II, 244: Ἐπεὶ δὲ τῷ λόγῳ δέδεικται τὸ οἰκονομικὸν εἶδος τοῦ λόγου κρεῖττον ὂν οὐ μόνον παντὸς ἐγκλήματος, ἀλλ' ἔστιν ὅπη καὶ ἀληθείας αὐτῆς, καὶ Θεῷ μάλιστα πρέπον καὶ τοῖς κατὰ Θεὸν ζῆν ἐθέλουσι, φέρε καὶ ἀπὸ τῆς θεοπνεύστου Γραφῆς αὐτὸ δὴ τοῦτο καταδησώμεθα, ὥστε τέλεον τὸ ἀντιλογικὸν ἐμφραγῆναι στόμα.

26–32 Ἡμῖν…πρόεδροι
Marc. Eug., *vit. term.* 358: Πόθεν οὖν τὰ ῥητὰ παραμυθησόμεθα; Φαμὲν ὡς, εἰ μὲν προκείμενον ἦν ἐκείνοις περὶ τοῦ ζητήματος τούτου διαλαβεῖν, ὅπερ ὁ θεῖος ἐποίησεν Ἀναστάσιος, εἶπον ἂν ὅσα ἐκεῖνος καὶ ἔτι πλείω τε καὶ θαυμασιώτερα καὶ τοῦ ἀκριβοῦς ἐχόμενα μᾶλλον· ἐπεὶ δὲ ἐκ τοῦ παρήκοντος εἶπον τὰ εἰρημένα, μήποτε τὸ ἐπὶ μέρους ὑπάρχον ὡς καθόλου, διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν ἀπεφήναντο. Πολλὰ γὰρ οὕτω παρὰ τοῖς πατράσι καὶ τῇ θείᾳ Γραφῇ λέγεται, μερικὰ μὲν ὑπάρχοντα, ἁπλῶς δὲ καὶ ἀπολύτως λεγόμενα καὶ διὰ τοῦτο δοκοῦντα καθόλου λέγεσθαι.

2.2. 8–10 Ἀρκείτω…προορίζειν
Marc. Eug., *Vit. term.* 359: Τοιοῦτον, οἶμαι, καὶ τὸ παρὰ τῷ μεγάλῳ Βασιλείῳ περὶ τῶν τῆς ζωῆς ὅρων εἶναι· «θάνατοι» γάρ, φησίν, «ἐπάγονται τοῖς ἀνθρώποις, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων»· οὐ πᾶσι φησὶ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πιστοῖς καὶ πρὸς οὓς ἐκεῖνος ἐποιεῖτο τὸν λόγον· καὶ τούτοις δὲ οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀρίστοις τε καὶ οἰκειοτάτοις· τούτων γὰρ ὁ Θεὸς οὐ τὴν τελευτὴν μόνον, ἀλλὰ καὶ τὰ κατὰ τὸν βίον ἅπαντα προορίζει.

ibid.: Τὰ δὲ τῶν οἰκείων αὐτῷ καὶ φίλων, οὓς ἐξελέξατο ἐκ τοῦ κόσμου, φησίν, οὐ προγινώσκει μόνον, ἀλλὰ καὶ προορίζει.

Op. cit. 362: Οὐκ ἄρα πᾶσαν ζωὴν ὡρίσθαι φήσομεν, οὐδὲ πάντα θάνατον προωρίσθαι· μόνον ἄρα τῶν τὸν τῶν δικαίων καὶ τῷ Θεῷ φίλων, ὧν οὐδὲ θριξ ἡ τῆς κεφαλῆς ἀπολεῖται μὴ βουλομένου Θεοῦ.

Theoph. Sim., *vit. term.* III (28, 31–30,5): Οὐκ ἔξω δέ που τῆς γνωστικωτάτης μεγαλονοίας τοῦ κτίσαντος ἢ πότε ἢ ὅπως ἢ ὅποι τὸ τῆς ἑκάστου ζωῆς ἡμῶν ἀποτερματίζεται τέλος· οὐκ αἰτία δὲ τοῦ ἁμαρτάνειν ἡμᾶς ἢ μὴ ἁμαρτάνειν ἡ διὰ πάντων διήκουσα καθέστηκε πρόγνωσις τοῦ ἐπὶ πάντων Θεοῦ, περὶ οὗ οὐκ ὀλίγα ἄττα πολλοὶ πολλαχοῦ τῶν πρὸ ἡμῶν ἄριστα πεφιλοπονήκασι.

Psel., *phil. min.* 44 (156, 30–33): Καὶ εἰ τὰ καθ' ἡμᾶς ἅπαντα πράγματα τῇ γνώσει καὶ προγνώσει τοῦ Θεοῦ ὥρισται, ἐξ ἀνάγκης ἅπαντα γίνεται, καὶ ἔστιν ὅρος ἡμῖν οὐ θανάτου μόνον, ἀλλὰ καὶ τοῦ τοιοῦδε θανάτου καὶ πάσης ἐν ἡμῖν πράξεώς τε καὶ γνώσεως.

10–12 Θάνατοι…προβλεπομένου
Bas., *Deus non auct. mal.* 31 (333B): Θάνατοι δὲ ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένου.

Id., *mor.* 11 / *mort*. 32 (1268C): Θάνατοι γὰρ τοῖς ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦ Θεοῦ κρίσις, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῖν συμφέρον προβλεπομένου.

Germ., *vit. term.* 12, 24–30: …τὰ μὲν ἄλλα ποικίλως τε καὶ πολυτρόπως κατὰ διαφόρους αἰτίας καὶ λόγους συμπίπτειν ἡμῖν λογιζόμεθα, θανάτους δὲ ἀνθρώποις ἐπάγεσθαι μὴ ἄλλως ἡμῖν νομιστέον ἢ κατὰ τὸν Βασιλείου λόγον τοῦ σοφωτάτου 'τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ Θεοῦ κρίσις ἔπηξεν, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου'.

Op. cit. 18, 9–12: Ἡ δὲ τοῦ διδασκάλου φωνὴ οὐ μόνον περὶ ἕκαστον ζωῆς ὅρους ἔφη πεπῆχθαι, ἀλλὰ καὶ τὸ περὶ ἕκαστον συμφέρον ἐκ τούτου προσκοπεῖσθαι ἐδίδαξεν.

Op. cit. 56, 4–9: Τὸ οὖν ἐν ταῖς τοιαύταις εὐσεβέσιν ἐννοίαις περὶ Θεοῦ ὁμαλόν τε καὶ συνηρτημένον ἀληθῶς λείαν καὶ ἀπρόσκοπον δείκνυσιν τὴν διὰ τῶν ἱερῶν γραμμάτων φέρουσαν ὁδὸν πρὸς τὸ τῆς ἀληθείας καταγώγιον, καὶ οὐ τὸ οἴεσθαι ὡς ἐκ ταὐτομάτου τοῖς ἀνθρώποις ἐπιέναι τὸν θάνατον, τοῖς ὡς ἔτυχεν συμπτώμασιν ἐπισυμβαίνοντα […]

Nic. Meth., *vit. term.* II, 238–239: Ἄγε δὴ ἐς μέσον παρίτω καὶ ὁ μέγας Βασίλειος καὶ τὴν οἰκείαν περὶ τοῦ ὅρου δόξαν κατατιθέτω. "Θάνατοι δέ", φησίν, "ἀνθρώποις ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἡ δικαία τοῦ Θεοῦ κρίσις ἔπηξε, πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προσκοπουμένου". Ἐκ τοῦ λόγου ταῦτα τοῦ, Ὅτι οὐκ ἔστι τῶν κακῶν αἴτιος ὁ Θεός.

Blemm., *vit. fin.* I (6, 26–29): «Ἀλλ' εἴ γε», φησί, «μὴ ἐπὶ μέρους ὥριστο τοῖς ἀνθρώποις ἡ βιοτή, πῶς ὁ μέγας Βασίλειος διδάσκων βοᾷ· "Θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς ἡμῶν πληρωθέντων, οὓς ἐξ ἀρχῆς περὶ ἕκαστον ἔπηξεν ἡ δικαία τοῦθεοῦ κρίσις πόρρωθεν τὸ περὶ ἕκαστον ἡμῶν συμφέρον προβλεπομένη" = Blemm., *vit. fin.* II (24, 1–4).

13–17 Μὴ … ἐξόδου

Bas., *in. Jul.* 31 (248C): Μὴ ἀγριάνῃς τῷ πάθει μηδὲ αὐτόματόν τινα εἴπῃς εἶναι συντυχίαν τῶν γινομένων, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος· μηδὲ κακόν τινα δημιουργὸν ὑπόθῃς, ἐκ τῆς κατὰ τὴν λύπην ἀμετρίας πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ· ἀλλὰ μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας.

Op. cit. (248D–249A): Ἐννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου. Τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο, κατὰ τοὺς ἀρρήτους τῆς σοφίας ἑαυτοῦ καὶ τῆς δικαιοσύνης λόγους.

Id., *mor.* 11 / *mort*. 32 (1257D): Ὁ γὰρ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου.

Nic. Meth., *vit. term.* II, 239: Ἐκ δὲ τοῦ Περὶ εὐχαριστίας πάλιν ταυτί. "Ἐννόησον γὰρ ὅτι ὁ πλάσας ἡμᾶς καὶ ψυχώσας Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τὴν τοῦ βίου ἐξαγωγήν, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλεῖον παραμεῖναι τῇ παρουσίᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀρρήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους". Ταῦτα μὲν οὖν οὐκ ἔστιν ὅτῳ οὐ δῆλα καθέστηκε τὴν ἀοριστίαν τῆς ὅλης ἡμῶν ζωῆς ἐξορίζοντα, τὸν ὅρον δὲ φανερῶς εἰσάγοντα, καὶ τό γε πέρας αὐτὸ τῆς ζωῆς ὑπὸ τὸν ὅρον κεῖσθαι ἀποφαινόμενα·

Blemm., *vit. fin.* II (25,22–26,3): Καὶ γάρ φασιν· «Εἴπερ μὴ ὅροις κατεδεσμεύθη τῶν καθέκαστον ἡ ζωή, πῶς ὁ ἱερὸς Βασίλειος τοιαῦτά που φιλοσοφεῖ, "Ἐννόησον", λέγων, "ὅτι ὁ πλάσας καὶ ψυχώσας ἡμᾶς Θεὸς ἰδίαν δέδωκεν ἑκάστῃ ψυχῇ τοῦ βίου διαγωγὴν καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου· τὸν μὲν γὰρ ἐπὶ πλείω παραμεῖναι τῇ συναφείᾳ τῆς σαρκὸς ᾠκονόμησε, τὸν δὲ θᾶττον ἀπολυθῆναι τῶν δεσμῶν τοῦ σώματος διετάξατο κατὰ τοὺς ἀρρήτους τῆς σοφίας αὐτοῦ καὶ τῆς δικαιοσύνης λόγους. Ὥσπερ οὖν οἱ ταῖς εἱρκταῖς ἐμπίπτοντες οἱ μὲν ἐπὶ πλείονα χρόνον τῇ κακώσει τῶν δεσμωτηρίων ἐναποκλείονται, οἱ δὲ ταχυτέραν εὑρίσκουσι τῆς κακοπαθείας ἀπαλλαγήν, οὕτω καὶ αἱ ψυχαὶ αἱ μὲν ἐπὶ πολὺ κατέχονται τῇ ζωῇ ταύτῃ, αἱ δὲ ἐπ' ἔλαττον κατὰ τὴν ἀναλογίαν τῆς ἀξίας ἑκάστου σοφῶς καὶ βαθέως καί, ὡς οὐκ ἂν ἐφίκοιτο νοῦς ἀνθρώπων, τὰ περὶ ἕκαστον ἡμῶν τοῦ κτίσαντος προβλεπομένου";

Blemm., *vit. fin.* II (24,4–21): Οὕτω γὰρ μᾶλλον ἀόριστον εἶναι τοῖς ἐπὶ μέρους τὴν ζωὴν ἀποδείξομεν. "Ἐννόησον", φησίν, "ὅτι ὁ πλάσας καὶ ψυχώσας ἡμᾶς Θεὸς ἰδίαν ἔδωκεν ἑκάστῃ ψυχῇ τοῦ βίου διαγωγήν, τουτέστιν ὁ ἐκ γῆς τὸ ἡμέτερον διαπλάσας σῶμα Θεὸς ψυχήν τε λογικὴν καὶ νοερὰν διὰ τοῦ οἰκείου ἐμφυσήματος δοὺς ἡμῖν αὐτεξουσίους ἡμᾶς

ἀπειργάσατο καὶ ἑκάστῃ ψυχῇ ἰδίαν αἱρετὴν αὐτῇ ἐδωρήσατο βίου διαγωγὴν κατὰ τὸν τῆς αὐτεξουσιότητος λόγον". Εἰ γὰρ οὐκ ἔστιν ἐφ' ἡμῖν τὸ ἰδίαν ἐκλέγεσθαι βίου διαγωγὴν τό τε πρὸς ἀρετὴν ἀπευθύνεσθαι τό τε πρὸς κακίαν πλαγιάζειν, ἀναιρεῖται πάντως τὸ αὐτεξούσιον, ὅπερ Θεὸς ἡμῖν ὥσπερ τι ἐξαίρετον δώρημα ἐχαρίσατο. Τοίνυν ἑκάστῃ ψυχῇ ὡς αὐτεξουσίῳ ἔδωκεν ὁ Θεὸς βίου διαγωγὴν ἰδίαν, αὐθαίρετον αὐτῇ καὶ ἀβίαστον, καὶ ἄλλοις ἄλλους ὅρους ἔπηξε τῆς ἐξόδου κατὰ τὴν ἑκάστου διαγωγὴν καὶ εἴτε ἀρετῆς εἴτε κακίας ἀντίληψιν, καὶ τὸν θάνατον ἐπήγαγεν ὁ σοφὸς καὶ δίκαιος Θεός· σοφὸς μὲν γάρ ἐστιν ὡς "πάντα γινώσκων πρὶν γενέσεως αὐτῶν", δίκαιος δὲ ὡς ἀξίας ταῖς πράξεσιν ἐπιφέρων τὰς δίκας.

3.1. 4–8 Καὶ … ὄντα
Marc. Eug., *vit. term.* 359: Καὶ ὁ θεολόγος Γρηγόριος· «κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν, ἣ πόρρωθεν οἶδε προκαταβάλλεσθαι τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις [= Greg. Naz., *or. XXI*, 35 (1088C)].

3.2. 1–2 Τὸν … ἀναπληρώσω
Ex. 23, 26: Οὐκ ἔσται ἄγονος οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω.

1–3 Τὸν … πλῆρες
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821B: «Τὸν ἀριθμόν», φησί, «τῶν ἡμερῶν σου ἀναπληρώσω», τουτέστιν εἰς λιπαρὸν ἄξω σε γῆρας καὶ πλῆρες.

4–6 Ὥσπερ … παρακούουσιν
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821B-C: Ὥσπερ γὰρ ἀώρους ἀπειλεῖ θανάτους παρακούουσιν, οὕτω μακροβίωσιν ὑπακούουσιν ὑπισχνεῖται. Οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων, τοὐναντίον δὲ καὶ μυκηνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν καὶ περικοπτομένην τοῖς παρακούουσιν.

13–14 τὰ … ἀνθρώπων
Theodor. Mops., *Fragm. in Oct. et Reg.* 821C: Οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων.

Leont. C., *mesopent.* 86/2 (1278B-D): Μὴ γάρ τις νομιζέτω ἀκούων τοῦ εὐαγγελιστοῦ βοῶντος ὅτι "οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ", ὅτι ἡ ὥρα αἰτία, καθὼς Ἑλλήνων παῖδες ματαιολογοῦσιν ὅτι ὥρισται ἑνὶ ἑκάστῳ τῶν ἀνθρώπων καὶ ὁ τρόπος τοῦ θανάτου καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα καὶ τὸ πῶς δεῖ ἀποθανεῖν καὶ οὐχ οἷόν τέ ἐστιν ἀποθανεῖν τινα, εἰ μὴ ἔλθῃ τῆς εἱμαρμένης ἡ ἀπόφασις. Ἄπαγε τῆς ἀτοπίας! Γραώδης ἡ τοιαύτη διήγησις καὶ σφόδρα ληρώδης καὶ τῆς ἀληθείας ἀντίδικος. Εἰ γὰρ ἑνὶ ἑκάστῳ ὥρισται ὁ τρόπος τοῦ θανάτου καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα καὶ τὸ πῶς δεῖ ἀποθανεῖν καὶ οὐχ οἷόν τέ ἐστι διαφυγεῖν, διὰ τί ἀρρωστοῦντες ἰατρικὴν βοήθειαν ἐπισπώμεθα, ἵνα θᾶττον τὸ λυποῦν ἐπικόψωμεν; Διὰ τί δὲ καὶ πλέοντες λιμένας ἐπιζητοῦμεν καὶ ἄστρον παραφυλαττόμεθα; Διὰ τί δὲ καὶ ὁδοιποροῦντες τοὺς λῃστρικοὺς τόπους ἐκκλίνομεν; Διὰ τί δὲ καὶ πολεμεῖν πρὸς ἐχθροὺς παρασκευαζόμεθα καὶ θυρεοὺς συμπλέκομεν, καὶ βέλη ὀξύνομεν καὶ τοιχομαχίας ἐγείρομεν καὶ [*γρ.* εἰ] οὐχ οἷόν τέ ἐστι διαφυγεῖν τινα; Ἄλλως δέ, διὰ τί τὸν Κάιν βδελυττόμεθα, εἰ ὥριστο τῷ Ἄβελ τοιούτῳ τρόπῳ θάνατος; Διὰ τί δὲ καὶ τοὺς φονεῖς φονεύομεν, εἰ ἐ[κε]χρεωστεῖτο ἐκείνους οὕτω θανεῖν; Διὰ τί δὲ καὶ προσευχόμεθα πολυετίαν ἐτῶν δέξασθαι καὶ "μὴ ἐμπεσεῖν εἰς πειρασμόν"; Οὐχ ὅτι ἀληθής ἐστιν ὁ Δεσπότης Χριστὸς ὁ εἰρηκὼς περὶ τοῦ πιστοῦ· "Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου"; Καὶ πάλιν· "Ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με";

Anast. S., *qu. et resp.* (App.) 23b, 7 (219,50–66): Μηδεὶς οὖν λοιπὸν τῶν πιστῶν ἀπὸ αἱρετικῶν ἐξαπατάσθω πεπηγμένας εἶναι καὶ μὴ ὑφειλέσθαι ἢ προστίθεσθαι ὑπὸ τοῦ Θεοῦ

τὰς τοῦ ἀνθρώπου ἡμέρας, ἤγουν τὰ ἔτη τῆς ζωῆς αὐτοῦ, καὶ ὅτι ὥρισται ἑνὶ ἑκάστῳ τῶν ἀνθρώπων καὶ ὁ τρόπος τοῦ θανάτου καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα καὶ πῶς δεῖ ἀποθανεῖν (ἄπαγε τῆς ἀτοπίας)· γραώδεις μῦθοί εἰσι ταῦτα. Εἰ γὰρ ὥρισται ἑκάστῳ ὁ τρόπος τοῦ θανάτου καὶ οὐχ' οἷον τ' ἐστὶ διαφυγεῖν, διὰ τί ἀρρωστοῦντες τὴν ἰατρικὴν ἐπιζητοῦμεν βοήθειαν, καὶ τὴν ἐκ Θεοῦ καὶ τῶν ἁγίων ἀντίληψιν ἐπικαλούμεθα; Καὶ πλέοντες λιμένας ἀναζητοῦμεν, καὶ λῃστρικοὺς τόπους ἐκκλίνομεν, καὶ ἐν τοῖς κατ' ἐχθρῶν πολέμοις νήφομεν; Εἰ ὥρισται τῷ Ἄβελ τοιούτῳ τρόπῳ ἀποθανεῖν, διατί ὁ Κάιν καταδικάζεται καὶ βδελυττόμεθα αὐτόν; Διατί δὲ καὶ τοὺς φονεῖς ἀποκτείνομεν, εἰ ἐχρεωστεῖτο ἐκείνοις οὕτως ἀποθανεῖν, οὓς πεφονεύκασιν; Διατί δὲ καὶ προσευχόμεθα πολυχρονίων ἐτῶν καὶ μὴ ἐμπεσεῖν εἰς πειρασμόν; Οὐχ ὅτι ἀληθής ἐστι ὁ εἰρηκὼς Κύριος, "Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου"· καὶ πάλιν, "Ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου καὶ ἐξελοῦμαι σε καὶ δοξάσεις με";

Blemm., *vit. fin.* I (15,16–16,2): Ὡς οὐκ ἔστιν δὲ ὅρος, ἄκουε πρὸς τοῖς ἄλλοις καὶ τοῦ ἱεροῦ Λεοντίου φιλοτίμως περὶ τούτου διδάσκοντος· "Μή τις νομιζέτω", φησίν, "ἀκούων τοῦ εὐαγγελιστοῦ λέγοντος 'Οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ', ὅτι ἡ ὥρα αἰτία ἐστί, καθὼς Ἕλληνες καὶ Μανιχαῖοι ματαιολογοῦσι φάσκοντες ὅτι ὥρισται ἑνὶ ἑκάστῳ ἀνθρώπῳ καὶ ὁ τρόπος τοῦ θανάτου καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα καὶ οὐχ οἷόν τε ἀποθανεῖν, εἰ μὴ ἔλθοι τῆς ἡμέρας ἡ ἀπόφασις. Ἄπαγε τῆς ἀτοπίας· γραώδης ἡ τοιαύτη διήγησις καὶ σφόδρα ληρώδης καὶ τῆς ἀληθείας ἀντίθετος. Εἰ γὰρ ὥρισται ἑνὶ ἑκάστῳ καὶ ὁ τρόπος τοῦ θανάτου καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα, διὰ τί ἀρρωστοῦντες πρεσβείας ἁγίων αἰτούμεθα καὶ ἰατρικὴν βοήθειαν ἐπισπώμεθα; Καὶ πλέοντες δὲ διὰ τί λιμένας ἐπιζητοῦμεν καὶ ἄστρον παραφυλαττόμεθα; Διὰ τί δὲ καὶ ὁδοιποροῦντες λῃστρικοὺς τόπους ἐκκλίνομεν; Τί δὲ καὶ πολεμεῖν παρασκευαζόμεθα πρὸς ἐχθροὺς καὶ θυρεοὺς συμπλέκομεν καὶ βέλη ὀξύνομεν καὶ τειχομαχίας ἐγείρομεν; Εἰ γὰρ ὥρισται ἑκάστῳ καὶ ἀνένδεκτόν ἐστι διαφυγεῖν, τίς ἡ τούτων ὄνησις; Εἰ ὥρισται τὸν Ἄβελ οὕτως ἀποθανεῖν, τί Κάιν καταδικάζεται; Τί δὲ καὶ φονεῖς φονεύομεν, εἰ ὥριστο ἐκείνους οὕτω τελευτῆσαι; Διὰ τί δὲ καὶ προσευξόμεθα πολυετίαν δέξασθαι παρὰ τοῦ λέγοντος· 'Μακρότητος ἡμερῶν ἐμπλήσω αὐτόν'; Τί ἐρεῖς πρὸς ταῦτα, φιλοσοφώτατε;

22 Εἰ…ἦν
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C: …τοὐναντίον δὲ καὶ μυκηνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν καὶ περικοπτομένην τοῖς παρακούουσιν· ὅπερ οὐκ ἂν ἦν, εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος.

24–25 Εἰ…σαλεύειν
Theodor. Mops., *fragm. in Oct. et Reg.* (821C): Οὕτως, εἰ ὥριστο ὅσον ὑπάρχει τῆς ἑκάστου ζωῆς, οὔτε δίκαιος αὐτὴν σαλεύειν διὰ δικαιοσύνην οὔτε ἄδικος διὰ ἀδικίαν ἐδύνατο.

26–27 Καὶ…ἀναξιότητα
Anast. S., *qu. et resp*. (App.) 23a, 5 (216, 77–81): Καὶ πολλοῖς μὲν δικαίοις μακρότητα ἡμερῶν χαρίζεται, πολλοῖς δὲ ὀλιγότητα. Ὡσαύτως καὶ τοὺς ἁμαρτωλούς, τοῖς μὲν προστίθησι χρόνους, τοὺς δὲ θᾶττον ἁρπάζει. Πάντα, καθὼς προείρηται, ἡ αὐτοῦ ἀγαθότης πρὸς τὸ συμφέρον ἑκάστῳ οἰκονομεῖ.

33–35 τὸ[2]…35 θάνατος
Phot. *Amph.* 240 (21, 22-26): εἰ γὰρ ὑπὸ τὴν αὐτὴν περιγραφὴν τοῦ θανάτου ἕκαστον πλῆθος περιλαμβάνεται, καὶ τοῦτο καθωμολόγηται, ὁ δὲ ὅρος οὐδὲν ἕτερον ἐστιν παρὰ τὸ τέλος ἑκάστου, πλὴν οὐχ ὅπερ ὁμολογοῦσιν ὅρον γεγενῆσθαι, οὐκ ἐλέγχονται ζητοῦντες εἰ ἄρα κατὰ πάντων εἷς ἦν ὁ παγεὶς ὅρος;

35–39 Εἶτα…προκείμενον

Theodor. Mops., *fragm. in Oct. et Reg.* 821E: Ποῦ ὁ τῆς ζωῆς ὅρος; Εἰ κατά τινας ὥρισταί τις παρὰ Θεοῦ τῆς ζωῆς ἡ ποσότης, δῆλον ὅτι τὰ μὲν ἐν γαστρὶ τελευτῶντα βρέφη τοῦτον ἔλαβε παρὰ τοῦ Θεοῦ τοῦ ζῆν τὸν ὅρον· ὅπερ ἄτοπον.

Mich. Glyc., *In S. Scr.* 36 (408, 24-409, 4): Ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰπὼν ὁ Κύριος, «οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις», ἔδειξε προφανῶς ὡς οὐ πῆξις καὶ ὅρος, ἀλλ' ἕτερ' ἄττα τυγχάνει κωλύματα, δι' ὧν οἱ πολλοὶ βιαίως ἑλκόμενοι προδήλοις οὕτω πειρασμοῖς περιπίπτουσι, καθάπερ αἱ γυναῖκες ἐκεῖναι τότε πεπόνθασιν.

Op. cit. 37 (459, 5–11): Εἰ γὰρ ἑνὶ ἑκάστῳ προωρισμένος ὁ θάνατος ἦν ἀπὸ γενέσεως αὐτῶν, οὐκ ἂν τὸ δηλητήριον οἱ πατέρες ἐμβρυοκτόνον ἐκάλεσαν, ἀλλ' αὐτὸν πάντως τὸν προορισμόν, ὡς ὑπ' αὐτοῦ δῆθεν συντεμνομένης τῆς τοῦ ἐμβρύου ζωῆς. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Δέδεικται γὰρ ἐκ πολλῶν ὡς οὐ παρὰ τῷ ὅρῳ, παρὰ δὲ τῷ λόγῳ τῆς φύσεως τὰ τῆς ἡμετέρας κεῖται ζωῆς.

39–41 Εἶτα…ἕνεκα

Theodor. Mops., *fragm. in Oct. et Reg.* 821E: …καὶ ὁ ληστὴς ἀναίτιος, καὶ ὁ τὸ δηλητήριον διδούς, ὧν ἕκαστος ὑπηρετεῖται τῷ τοῦ Θεοῦ ὅρῳ καὶ τῇ βουλήσει. Πάντως γὰρ ἀποθανεῖν ἔδει τὸν ἐπιβουλευόμενον. Ἆρα οὖν τούτων τὸν Θεὸν αἰτιασάμεθα; Καὶ πῶς οὐκ ἀσεβές;

Mich. Glyc., *In S. Scr.* 36 (381, 19–22): Εἰ γὰρ ὁ δεῖνα κλέπτειν καὶ ἄκων καταναγκάζεται ἅτε τοῦ προορισμοῦ συνωθοῦντος εἰς αὐτὸ τοῦτο καὶ βίᾳ καθέλκοντος, τίνος ἕνεκεν αἰτιώμεθα τὸν ἀναίτιον; Διατί δὲ καὶ μυρίαι κολάσεων τοῖς κλέπταις ἐπαγωγαί, εἴ γε διὰ τὸ τῆς εἱμαρμένης ἐπάναγκες σωφρονισθῆναι τούτους ἀδύνατον; Πῶς δὲ καὶ αὐτὸς ὁ νομοθέτης Χριστὸς μὴ κλέπτειν ἐν εὐαγγελίοις ἐντέλλεται; Κλέπτειν ἐγὼ καὶ ἄκων καταναγκάζομαι, καὶ σὺ λέγεις, ὦ Κύριε, "μὴ κλέψῃς"; Φονεύειν ἐγὼ κατὰ τὴν τῆς εἱμαρμένης ἀπόφασιν ἕλκομαι, καὶ σὺ "μὴ φονεύειν" νενομοθέτηκας;

Op. cit. 37 (429, 19–22): Καὶ τί χρὴ πολλὰ λέγειν; Δύο τινὲς ἄνθρωποι δηλητηριῶδες ἐδέξαντο κέρασμα· καὶ ὁ μὲν εὐθέως ἀπέψυξεν, ὁ δὲ χρησάμενος ἀντιδότῳ θανάτου ἄγευστος ἔμεινε. Τί οὖν ἐπὶ τούτοις εἴπωμεν;

3.3. 1–5 Ἢ…νοεῖν

Theodor. Mops., *fragm. in Oct. et Reg.* 822B-C: Ἡ δὲ πρόγνωσις οὐκ ἔστιν ὅρος· ἐπεί τοι γε, εἰ ὅρος ἦν ἡ πρόγνωσις, προεγίνωσκε δὲ ὁ Θεὸς τὴν τοῦ Ἀδὰμ παράβασιν καὶ τοῦ διαβόλου τὴν τροπὴν καὶ τῶν ἀνδροφόνων τὰς ἐπιχειρήσεις καὶ τῶν ἀσεβῶν τὴν πλάνην, αὐτὸς ὥρισεν ἄρα τούτους οἵους εἰρήκαμεν γενέσθαι, ἐπειδὴ καὶ προῄδει ὅτι ἔσονται. Τοῦτο δὲ πρόδηλον ὡς ἀσεβὲς νοεῖν.

Anast. S., *qu. et resp.* (App.) 23a, 7 (101–108): Τῶν μὲν κακῶν προγνώστην εἶναι τὸν Θεόν οὐκ ἀπιστοῦμεν· προοριστὴν δὲ οὐδαμῶς οἱ ἀληθεῖς Χριστιανοὶ πιστεύομεν. Καὶ ὅτι οὐ προώρισεν παράβασιν καὶ θάνατον, οὐδεὶς τῶν εὐφρονούντων, ὡς οἶμαι, ἀμφιβάλλει· τὸ δὲ προέγνω πανταχοῦ πιστευτέον καὶ ἀληθὲς πέφυκεν. Καὶ τὸ μὲν ἐπιστρέψαι πρὸς μετάνοιαν ἐν ἐξουσίᾳ τοῦ ἀνθρώπου κεῖται, τὸ δὲ ζῆσαι ἢ τελευτῆσαι ἐν τῷ Θεῷ ἐστίν.

Mich. Glyc. *in S. Scr.* 36 (386, 18–20): Πλὴν ἡ τοῦ Θεοῦ πρόγνωσις οὐκ ἔστι προορισμός, καθάπερ οἱ πλείους ᾠήθησαν.

Ibid. 36 (386, 25–387, 5): Τὴν τοῦ γενάρχου προέγνω παράβασιν, ἀλλ' οὐ διὰ τοῦτο καὶ παραβῆναι αὐτὸν ἐποίησεν. Εἰ γὰρ τοῦτο ἦν, καὶ ἀδίκων ἂν ἀδικώτερος εὑρεθείη, ὡς κολάζων ὕστερον τὸν παρ' αὐτοῦ εἰς κακίαν ἀγόμενον. Οὐδὲ καθότι πάλιν προέγνω τὴν ἐν τῷ παραδείσῳ αὐτοῦ διατριβήν, ὡς ἔσται πάνυ σμικρά, κατὰ τοῦτο καὶ συντετμημένη αὕτη ἐγένετο καὶ αὐθημερὸν ἐκεῖθεν ἐξέπεσεν. Εἰ γὰρ τοῦτο δώσομεν, αἴτιος ἂν εὑρεθείη τῶν κακῶν ὁ Θεός· ἀλλ' ἄπαγε.

Blemm., *vit. fin.* II (24, 4–21): Προεγίνωσκε γάρ, ὡς αὐτός φησι, καὶ τὴν παράβασιν τοῦ Ἀδὰμ ὁ Θεός, οὐ προώρισε δὲ αὐτὴν ὁ Θεός· οὐ μὴν ἀλλ' οὐδὲ πρὸ τῆς παραβάσεως θνητὸν αὐτὸν ἀπετέλεσεν ὥσπερ αὖθις οὐδὲ ἀθάνατον. Εἰ γὰρ ἦν τὸ συντρέχειν τῇ θείᾳ προγνώσει τὸν προορισμόν, προγινώσκων ὁ Θεὸς τὴν τοῦ πρωτοπλάστου παράβασιν ἄρ' ἂν καὶ θνητὸν αὐτὸν εὐθὺς ἀπειργάσατο καὶ τῇ μελλούσῃ ἁμαρτίᾳ τὸ ἐπιτίμιον προωρίσατο· ὃ ποίαν οὐχ ὑπερβαίνει βλασφημίας ὑπερβολήν; Προγινώσκει μὲν οὖν ὁ Θεὸς ὁποῖοι ἄρα ἐσόμεθα, οὐ προορίζει δὲ τοῦτο, μὴ θέλων τὴν κακίαν γίνεσθαι μήτε τὴν ἀρετὴν βιαζόμενος, ὡς ἡ θεόπνευστος Γραφὴ μαρτυρεῖ· δίδωσι δὲ ἡμῖν ὡς αὐτεξουσίοις ἄνετον καὶ ἐλευθέραν ζωὴν καὶ κατὰ τὰς βουλὰς ἡμῶν καὶ τὰς πράξεις καὶ τὸν χρόνον ταύτης ἐπιμετρεῖ.

Marc. Eug., *vit. term.* 357–358: Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ' ἐπιπολῆς αὐτῶν ἅψασθαι. Ἔστι γὰρ οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως· οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει. [...] Καὶ κατὰ μὲν τοῦ ὅρου τὴν πρόγνωσιν ἀληθῶς που κατηγορήσομεν, κατὰ δὲ τῆς προγνώσεως τὸν ὅρον οὐκ ἀληθῶς. Ταῦτα δέ που καὶ ὁ Ἀπόστολος διαστέλλειν οἶδε ἐν οἷς φησίν· "οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ". Οὐκ ἄρα οὐδὲ παρ' ἐκείνοις τοῖς διδασκάλοις ἀντί τῆς προγνώσεως ὁ ὅρος εἴρηται.

8–10 Εἰ…λέγων

Anast. S., *qu. et resp*. (App.) 23b, 2 (218, 11–15): Ὅρος τοιγαροῦν ἐστὶν οὐ προγεγραμμένος τις ἀριθμὸς ἐτῶν, ἀλλὰ βουλὴ καὶ ἡ πρόσταξις τοῦ Θεοῦ, ὅτε καὶ ὥσπερ κελεύει μεταστάντος τοῦ βίου τὸν ἄνθρωπον καὶ ποιοῦντος ἑκάστῳ πρὸς τὸ συμφέρον, εἴτε τὴν ἐκκοπὴν εἴτε τὴν προσθήκην τῆς ζωῆς.

9 ᾧ…ἐξηγητά

Anast. S., *qu. et resp*. 99, 3 (157, 24–27): Χρὴ τοίνυν τοὺς εὐσεβῶς τὰς θείας Γραφὰς νοεῖν βουλομένους, ἀνακρίνειν μετὰ πολλῆς τῆς ἀκριβείας τοὺς καιρούς, καὶ τὰ πρόσωπα, καὶ τὸν σκοπὸν τοῦ λαλοῦντος· ὁ γὰρ μὴ ταῦτα διακρίνων ἐν πολλαῖς ἀτοπίαις περιπίπτει.

10–15 εἰ…ἦν

Bas., *Deus non auct. mal.* **31** (344C–345A): Ἦν ποτε ὁ Ἀδὰμ ἄνω, οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανὸν περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος, ὑπεραγαπῶν τὸν εὐεργέτην, ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐναναπαύσαντα, ἀρχὴν δὲ δόντα κατὰ τὴν τῶν ἀγγέλων καὶ ἀρχαγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον καὶ φωνῆς θείας ἀκροατήν· ἐπὶ πᾶσι τούτοις ὑπερασπιζόμενος παρὰ Θεοῦ, καὶ ἀπολαύων τῶν αὐτοῦ ἀγαθῶν, ταχὺ πάντων ἀναπλησθεὶς καὶ οἷον ἐξυβρίσας τῷ κόρῳ, τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν τοῦ νοητοῦ προετίμησε κάλλους καὶ τὴν πλησμονὴν τῆς γαστρὸς τῶν πνευματικῶν ἀπολαύσεων τιμιωτέραν ἔθετο. Ἔξω μὲν εὐθὺς ἦν τοῦ παραδείσου, ἔξω δὲ τῆς μακαρίας ἐκείνης διαγωγῆς, οὐκ ἐξ ἀνάγκης κακός, ἀλλ' ἐξ ἀβουλίας γενόμενος. Διὰ τοῦτο καὶ ἥμαρτε μὲν διὰ μοχθηρὰν προαίρεσιν, ἀπέθανε δὲ διὰ τὴν ἁμαρτίαν.

Marc. Eug., *vit. term.* 359: Καὶ καθάπερ ἐπὶ τῆς πρώτης δημιουργίας «ἐν μὲν τοῖς ἄλλοις εἶπε», φησίν «ὁ Θεὸς 'γενηθήτω φῶς' καὶ 'γενηθήτω στερέωμα', ἐπὶ δὲ τοῦ ἀνθρώπου καὶ βουλῆς ἐδέησε τὴν εἰς αὐτὸν ἐνδεικνυμένῳ τιμὴν ('ποιήσωμεν' γάρ, φησίν, 'ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ')· τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τοὺς μὲν ἄλλους ἅπαντας ἐπιτρέπει τῇ κοινῇ φύσει, μικρόν τι διαφέροντας τῶν ἀλόγων, εἰ μὴ καὶ χεῖρον ἐκείνων τῇ ἀλογίᾳ συζῶντας».

14–16 Ὅθεν… ἀληθές
Anast. S., *qu. et resp*. (App.) 23a, 3 (215, 51-57): Λέγει γὰρ ὁ Θεὸς πρὸς τὸν ὑπὸ χειρὸς αὐτοῦ πλασθέντα ἄνθρωπον· Ἐγὼ ὅρους οὐκ ἐπέθηκα, οὔτε θάνατον ἔκτισα, ἀλλὰ σὺ ἑαυτῷ ἐκ πονηρᾶς γνώμης ἐπεσπάσω τὸν θάνατον, ὥστε ὁ Ἀδὰμ ἀποστὰς ἀπὸ Θεοῦ, ἑαυτῷ τὸν θάνατον κατεσκεύασεν· "οἱ" γὰρ "μακρύνοντες", φησίν, "ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται", ἐπειδὴ "ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἀπολεῖται, ὡς παράβουλος".

67–24 Πονηροὺς… γνώσει
Nic. Meth., *vit. term.* I, 232–233: Ὅτι γοῦν καὶ ὁ παλαιὸς ἐκεῖνος Ἀδὰμ ἔμελλε τοῦ ἀπηγορευμένου ξύλου φαγεῖν, διὰ τοῦτο καὶ προέγνωστο τοῦτο τῷ Θεῷ καὶ προώριστο, οὐ μὴν ὅτι προέγνωστο διὰ τοῦτο ἔφαγε.
Op. cit. I, 233: Οὐ γὰρ ἀκουσίως τις οὐδὲ βίᾳ κατεργάζεται, ἀλλ' ὑπ' αὐτεξουσίου ὁρμῆς κινούμενος, καθ' ἣν καὶ τὴν ἐπ' ἄμφω ῥοπὴν ἀρετήν τε φημὶ καὶ κακίαν ἐπίσης δύναται. Εἰ μὲν οὖν τὴν ἀρετὴν ἕλοιτο, συνεργὸν αὐτίκα λαμβάνει καὶ τὸν Θεόν· εἰ δὲ τὴν κακίαν, τὸν πρῶτον τῆς κακίας ἐφευρετὴν εὑρίσκει συμπράττοντα.

20–23 Τὸ… ἐξέβαινεν
Anast. S., *qu. et resp*. (App.) 23a, 3 (215, 48-50): Οὐ γὰρ εἶπεν, 'Ἐγὼ θανατώσω ὑμᾶς', ἀλλὰ "θανάτῳ ἀποθανεῖσθε", ἐὰν παρακούσητέ μου τῆς ἐντολῆς. Καὶ εἰ μὴ παρήκουσαν, οὐκ ἂν ἐστερήθησαν τοῦ ξύλου τῆς ζωῆς.

22-23 ᾗ… ἀποθανοῦνται
Gen. 2, 16–17: Καὶ ἐνετείλατο κύριος ὁ Θεὸς τῷ Αδαμ λέγων· 'Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε'.
Gen. 3, 24–27: Καὶ ἐξέβαλεν τὸν Ἀδαμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξεν τὰ χερουβιμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν την ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.
Bas., *Deus non auct. mal.* 31 (353A): Ἔταξε γὰρ ὁ Θεὸς τὴν φλογίνην ῥομφαίαν φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου ζωῆς.
Nic. Meth. *vit. term.* I, 231: Εἰ δ' ἐγὼ παραβαίνω τὸν νόμον, καὶ τοῦ ἀπηγορευμένου ξύλου μεταλαμβάνω, καὶ πρὸς ἐμαυτὸν τὸν ἐπὶ τῇ παραβάσει κείμενον ὅρον ἐφέλκομαι, ἡ «αἰτία» τοῦ «ἑλομένου», φησί τις σοφός, «ὁ Θεὸς ἀναίτιος» (Plat., *Resp.* 617E).

33–38 Καὶ… τεύξεται
Germ. *vit. term.* 36, 7–13: β. Τί οὖν; Τῷ κατὰ πρόγνωσιν λόγῳ τοὺς ὅρους τῆς ζωῆς δογματίζεις περὶ ἕκαστον πήγνυσθαι; α. Καὶ μάλα. β. Ἀλλ' οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις. α. Οὐ ταὐτὸν μὲν κατ' ἔννοιαν ἑκατέρα τούτων λέξις καθέστηκεν, ἐκ δὲ τῆς προγνώσεως οἱ παριστάμενοι τῇ δικαίᾳ τοῦ Θεοῦ κρίσει ὅροι τῆς ζωῆς ἡμῶν τίθενται.

3.4. 11–13 Εἰ… γινόμενος
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C-D: Ὅπερ οὐκ ἂν ἦν, εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος. καθάπερ γὰρ ὅρος τοῦ Θεοῦ τὸ ἀποθανεῖν, καὶ κρατεῖ δικαίων καὶ ἀδίκων ὁμοῦ, καὶ ὁ διαφεύγων οὐδείς, οὕτως, εἰ ὥριστο ὅσον ὑπάρχει τῆς ἑκάστου ζωῆς, οὔτε δίκαιος αὐτὴν σαλεύειν διὰ δικαιοσύνην οὔτε ἄδικος διὰ ἀδικίαν ἐδύνατο.

13–14 τὰ… ἀνθρώπων
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C: οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων· τοὐναντίον δὲ καὶ μυκηνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν, καὶ περικοπτομένην τοῖς παρακούουσιν.

15–16 Γρηγορεῖτε… ἔρχεται
Mat. 24, 42–43: γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι, εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ.

19–23 Ἐπὶ… ἑκατονταετῆ
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821Z–822A: Εἰ δέ τις μὴ δέχοιτο ταύτην τούτου τὴν λύσιν, πῶς ἆρα νοήσωμεν τὸ ὑπ᾽αὐτοῦ τοῦ Δαβὶδ ῥηθὲν οὐ μερικῶς, ἀλλὰ γενικῶς; Περὶ γὰρ τῆς ἀνθρωπότητος λέγει· "αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη". Καὶ γὰρ εὑρίσκομεν βρέφη τὰ μὲν οὐδὲ μῆνα ζήσαντα, τὰ δὲ ἓν ἔτος ἢ δύο, τὰ δὲ δέκα ἢ εἴκοσι, πολλοὺς δὲ τῶν ἀνθρώπων καὶ ἑκατοστὸν ἔτος ὑπερβεβηκότας. Πῶς οὖν αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἑβδομήκοντα ἢ ὀγδοήκοντα ἔτη; Οὕτως οὐχ ὅρον τινὰ δείκνυσιν, ἀλλά, ἐπειδὴ ὀλίγοι τὴν προειρημένην ποσότητα ὑπερβαίνουσι, τὸ ἀσθενὲς ὁμοῦ καὶ βραχυχρόνιον τοῦ ἀνθρωπείου γένους οὕτω φησίν [Ps. 89,10: Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη…].

Anast. S., *inter. et resp.* 96 (89, 741C): Ὁ γοῦν προορισμὸν ζωῆς χρόνον δοξάζων καὶ λέγων ἐπ᾽ αὐτοῖς, προσκρούει τῷ Θεῷ. Εἰ γὰρ πρόγνωσις ἔστιν, ὥσπερ οὖν ἔστι, τίνος χάριν τούτῳ μὲν τῷ εἰδωλολάτρῃ ἀνθρώπῳ πεντακόσια ἔτη ζωῆς προώρισεν, ὡς λέγεις, τούτῳ δὲ πάλιν ἑκατόν; [...] Εἰ γὰρ κατὰ προορισμὸν ταῦτα γέγονε, "προσωπολήπτης" εὑρεθήσεται "ὁ Θεός" (Act. 10,34).

27–31 τῶν… βαδίσεως
Greg. Nys., *De inf. praem. abr.* 46 (161D): Ταῦτα λογογράφοι καὶ σοφισταὶ διεξίτωσαν, οἷς κόσμος καλῶς τὰ τοιαῦτα γράφειν, ὁ δὲ γηραιὸς ἡμῶν λόγος τοσοῦτον ἑαυτὸν ὑποκινείτω, ὅσον βάδην ἐπεξελθεῖν τῷ προτεθέντι ἡμῖν παρὰ τῆς σῆς σοφίας προβλήματι, τί χρὴ γινώσκειν περὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων, ἐφ᾽ ᾧν μικροῦ δεῖν ἡ γένεσις τῷ θανάτῳ συνάπτεται.

44–47 Θανάτους… περικοπτομένην
Theodor. Mops., *fragm. in Oct. et Reg.* 821B-C: Ὥσπερ γὰρ ἀώρους ἀπειλεῖ θανάτους παρακούουσιν, οὕτω μακροβίωσιν ὑπακούουσιν ὑπισχνεῖται. οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων, τοὐναντίον δὲ καὶ μυκηνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν καὶ περικοπτομένην τοῖς παρακούουσιν.

4. 1–3 Ὅ… δοξάζειν
Mich. Glyc., *in S. Scr.* 36 (412, 3–10): Δέδεικται οὖν ἐκ πολλῶν ὅτι καὶ λίαν ἀνίσχυρος ὁ τοῦ προορισμοῦ καὶ τῆς εἱμαρμένης λόγος ἐστίν· εἴγε καὶ μᾶλλον ὁ σοφὸς Σολομὼν οὕτω κατὰ ῥῆμα διέξεισι· «μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου». Πρόσεχε οὖν· εἰ γὰρ ἔστιν ἐν οὐ καιρῷ ἀποθανεῖν, ὡς ἤδη προείρηται, σφάλλουσι προφανῶς οἱ πῆξιν καὶ ὅρον δοξάζοντες, εἴτε καὶ τῶν καθ᾽ ἡμᾶς εὐσεβῶν εἴτε καὶ τῶν ἔξωθεν οὗτοι τυγχάνουσιν.

2 Ἵνα… σου
Eccl. 7, 17: Μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.

Nic. Meth. *vit. term.* II, 243: Καὶ αὖθις· "Μὴ γίνου σκληρός, μηδὲ ἀσεβήσῃς πολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου".

2–3 Ἵνα… δοξάζειν

Anast. S., *qu. et resp*. (App.) 23a (213,7–214,11): Εἰ δὲ πάλιν ὅρος ἐστί, πῶς ὁ Σολομὼν εἶπεν· «Μὴ γίνου σκληρὸς μηδὲ ἀσεβὴς ἐπιπολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου»; Εἰ οὖν ἔστιν ἐν οὐ καιρῷ ἀποθανεῖν, πῶς τισιν ἔδοξε λέγειν, ὅτι «θάνατοι ἐπάγονται τῶν ὅρων τῆς ζωῆς πληρωθέντων»;

Op. cit. 16 (23, 1–3): Ἔστι καὶ ἕτερον μετὰ τοῦτο παγκόσμιον ζήτημα, τουτέστιν εἰ ἔχει ὅρον ἡ ζωὴ τοῦ ἀνθρώπου ἢ οὔ· οἱ μὲν γάρ φασιν ἔχειν, οἱ δὲ λέγουσιν μὴ ἔχειν.

5 καιρός… θανεῖν
Eccl. 3, 2: Καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν, καιρὸς τοῦ φυτεῦσαι καὶ καιρὸς τοῦ ἐκτῖλαι τὸ πεφυτευμένον.

7 κατὰ…Δαυίδ
Anast. S., *qu. et resp*. (App.) 23a (213, 1–7): Τὸ μέγα καὶ πολυθρύλλητον καὶ σχεδὸν παρὰ πάντων ζητούμενον· ὅρον θέλομεν λέγειν ἔχειν τὴν τοῦ ἀνθρώπου ζωὴν ἢ οὔ; Εἰ μὲν γὰρ ὅρος, πῶς φησιν ὁ Δαυῒδ τῷ Θεῷ· “Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου” (Ps. 101,25), καὶ πάλιν, “Ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσουσιν τὰς ἡμέρας αὐτῶν” (Ps. 54,24); Εἰ δὲ οὐκ ἔστιν ὅρος, πῶς πάλιν ὁ αὐτὸς λέγει· “Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου” (Ps. 38,6);

11–17 πολλοὶ…σκοπεῖν
Anast. S., *qu. et resp*. (App.) 23b, 3 (218, 18–27): …ἑτέρους μετανοεῖν ἀρξαμένους, εὐθέως ἁρπάζει πρὸς τὸ συμφέρον, προγινώσκων ὅτι ἐὰν πολυχρονήσωσι, πάλιν τοῖς ὁμοίοις κακοῖς περιπέσωσι καὶ εἰς τὸ χεῖρον ἔλθωσι· καὶ πολλοῖς μὲν δικαίοις μακρότητα ἡμερῶν χαρίζεται εἰς τὸ καὶ ἄλλους συσσῶσαι μεθ’ ἑαυτῶν, πολλοὺς δὲ καὶ ὀλιγοχρονίους πολλάκις ποιεῖ, ἵνα μή, ὡς λέγει Σολομών, “ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν” (Sap. 4,11)· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἁμαρτωλῶν, τοὺς μὲν πολυχρονίους ποιεῖ, ἵνα μετανοήσωσιν, τοὺς δὲ καὶ ταχέως ἁρπάζει, ὅπως ἂν στῇ τὰ τῆς κακίας αὐτοῖς, καὶ μικρᾶς τινος ἀνέσεως τύχωσιν.

24–28 Τοῖς…ζωῆς
Bas., *Deus non auct. mal.* **31** (340C–341A): Διόπερ, ἐπειδὴ ἔδει συντριβῆναι αὐτὸν, ὁ φρόνιμος καὶ σοφὸς τῶν ψυχῶν οἰκονόμος διῳκήσατο αὐτὸν περιφανῆ γενέσθαι καὶ πᾶσιν ἐξάκουστον, ἵνα ἄλλοις γοῦν ὠφέλιμος διὰ τοῦ πάθους γένηται, ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν. “Ἐσκλήρυνε” δὲ αὐτὸν, τῇ μακροθυμίᾳ καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτοῦ τὴν κακίαν, ἵνα, εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτοῦ τῆς πονηρίας, τὸ δίκαιον ἐπ’ αὐτῷ τῆς θείας κρίσεως διαφανῇ.

Anast. S., *qu. et resp*. 99 (157, 27–35): Ὅμως, εἰπὼν ὁ θεῖος Ἀπόστολος ὅτι “Οὓς προέγνω ὁ Θεός, τούτους καὶ προώρισε”, λέλυκε πάντα τὰ προκείμενα ζητήματα· οἷον προέγνω τὸ ἀμετανόητον τοῦ Φαραώ, καὶ ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ, ὅπως καταδιώξῃ τὸν Ἰσραὴλ καὶ ποντισθῇ· προέγνω τὸ εὐθὲς τοῦ Ἱερεμίου, καὶ προώρισεν αὐτὸν ἐκ μήτρας ἁγιάσας εἰς προφήτην· προέγνω τὴν ἀσέβειαν Σοδόμων, καὶ ἐποίησεν αὐτοὺς σκεύη ἀτιμίας ἐμπρησμοῦ· προέγνω τὴν μετάνοιαν Παύλου, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς.

Anast. S., *qu. et resp*. 16, 4 (25, 38–26, 40): Καὶ πάλιν, ὁ Σολομών φησιν· “Μὴ γίνου σκληρός, μηδὲ ἀσεβὴς ἐπὶ πολύ, ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου”.

29 τῆς …συκῆς
Marc 11, 13–1: Καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα τι εὑρήσει ἐν αὐτῇ· καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ· μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι.

34–39 Καὶ…βέλτιον[2]

Anast. S., *qu. et resp*. 16, 1 (23, 4–24,7): Πρὸς ταῦτα ἡμεῖς ἐροῦμεν ὅτι ὅρος ἐστὶ παντὸς ἀνθρώπου οὐ προγεγραμμένος τις ἀριθμὸς ἐτῶν, ἀλλ᾽ ἡ βουλὴ καὶ ἡ πρόσταξις τοῦ Θεοῦ, ὅτε κελεύει καὶ ὡς κελεύει μεταστάντος τοῦ βίου τὸν ἄνθρωπον.

ibid. 16, 1 (25, 30–31): …καλῶς ἔχει τὸ λέγειν ὅτι ὅρος τῆς ἑκάστου ζωῆς ἐστιν ἡ ἀκατάληπτος κέλευσις τοῦ Θεοῦ.

40–41 ὁ…ὅρος

Anast. S., *qu. et resp*. (App.) 23a, 3 (215, 40–47): Ὅρος τοίνυν ἐστὶ τῆς ζωῆς τοῦ ἀνθρώπου ἡ βουλὴ τοῦ Θεοῦ, καὶ ᾧτινι κελεύει προστίθησι, καὶ ἔνθα ἂν σκοπήσῃ, ὑφελεῖται, πάντα ποιῶν πρὸς τὸ συμφέρον. [...] Ὅρος τοιγαροῦν, ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστὶν ἡ κέλευσις καὶ ἡ βουλὴ τοῦ Θεοῦ…

Op. cit. 23b, 1 (218, 7–10): Ὅρος δὲ ἑκάστῳ τῆς ζωῆς ἡ κέλευσις καὶ ἡ βουλή ἐστι τοῦ Θεοῦ· ᾧ γὰρ ἂν ἐθέλει προστίθησιν ἔτη ζωῆς, καὶ ἔνθα βούλεται πάλιν, ἐκκόπτει, ὡς καὶ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν κρατῶν.

Ibid. 23b, 2 (218, 11–15): Ὅρος τοιγαροῦν ἐστὶν οὐ προγεγραμμένος τις ἀριθμὸς ἐτῶν, ἀλλὰ βουλὴ καὶ ἡ πρόσταξις τοῦ Θεοῦ, ὅτε καὶ ὥσπερ κελεύει μεταστάντος τοῦ βίου τὸν ἄνθρωπον, καὶ ποιοῦντος ἑκάστῳ πρὸς τὸ συμφέρον, εἴτε τὴν ἐκκοπὴν εἴτε τὴν προσθήκην τῆς ζωῆς.

Id., *op. cit.* 16, 6 (27, 53–56): Πρὸς δὲ τοὺς ἀνθρώπους τοὺς λέγοντας τὸν μέγαν Βασίλειον προορισμὸν ζωῆς λέγοντα, ἐκεῖνο ἐροῦμεν, ὅτι προορισμὸν ὁ πατὴρ εἶπε τὴν θείαν ἀπόφασιν τὴν λέγουσαν “ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ”.

49–50 Εἰ…Θεοῦ

Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C: Οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων· τοὐναντίον δὲ καὶ μηκυνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν, καὶ περικοπτομένην τοῖς παρακούουσιν· ὅπερ οὐκ ἂν ἦν, εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος.

51–52 εἴπερ…ζωή

Anast. S., *qu. et resp*. 16, 3 (24, 17–25, 3): Ὅτι προγνώστης ὢν ὁ Θεός, προγινώσκων “τὰ πάντα πρὶν γενέσεως αὐτῶν”, εἰ ἄρα “θέλει πάντας ἀνθρώπους σωθῆναι” καὶ μηδένα ἀπολέσθαι, διὰ τί προγινώσκων τὴν ἀποστασίαν Ἰουλιανοῦ τοῦ παραβάτου καὶ τὴν ἄρνησιν Ἰούδα τοῦ Ἰσκαριώτου, μὴ μᾶλλον κολοβωτέραν αὐτοῖς προώρισε καὶ προέπηξεν ζωήν, ἵνα πρὸ τῆς ἑαυτῶν ἀπωλείας ἀποθανόντες ἐσώθησαν;

5. 1–7 Ἴσθι…περιάγειν

Theodor., *prov.* I, 83 (560C): Εἰσὶ δέ τινες, οἳ καὶ Χριστιανῶν μὲν προσηγορίαν ἔχουσιν, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν.

13–18 Εἰ…προορισμόν

Theodor. Mops., *fragm. in Oct. et Reg.* 821C-D: …τοὐναντίον δὲ καὶ μυκηνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν, καὶ περικοπτομένην τοῖς παρακούουσιν· ὅπερ οὐκ ἂν ἦν, εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος. Καθάπερ γὰρ ὅρος τοῦ Θεοῦ τὸ ἀποθανεῖν, καὶ κρατεῖ δικαίων καὶ ἀδίκων ὁμοῦ, καὶ ὁ διαφεύγων οὐδείς, οὕτως, εἰ ὥριστο ὅσον ὑπάρχει τῆς ἑκάστου ζωῆς, οὔτε δίκαιος αὐτὴν σαλεύειν διὰ δικαιοσύνην οὔτε ἄδικος διὰ ἀδικίαν ἐδύνατο.

Nic. Meth., *vit. term.* I, 232–233: Ὅτι γοῦν καὶ ὁ παλαιὸς ἐκεῖνος Ἀδὰμ ἔμελλε τοῦ ἀπηγορευμένου ξύλου φαγεῖν, διὰ τοῦτο καὶ προέγνωστο τοῦτο τῷ Θεῷ καὶ προώριστο, οὐ μὴν ὅτι προέγνωστο, διὰ τοῦτο ἔφαγε.

5–6 ἔστι…τρόπον

Procl. Is., *dec. prov.* 2, 7 (160, 21–23): Τοῦ οὖν γνωστοῦ ὄντος ἀορίστου, τοῦ δὲ γινώσκοντος ὡρισμένου, οὐ διὰ τὸ γνωστὸν ἀορισταίνει καὶ ἡ γνῶσις, ἀλλὰ διὰ τὸ γινῶσκον ὁρίζεται.

Nic. Meth., *vit. term.* I, 224: Τριῶν ὄντων ἐφεξῆς, τοῦ γινώσκοντος, τῆς γνώσεως, τοῦ γινωσκομένου, ἡ γνῶσις ἵσταται μὲν ἀεὶ κατὰ τὸ γινῶσκον, ἀφ' οὗ καὶ ὥρμηται, ἐπιβάλλει δὲ τῷ γνωστῷ κατὰ τὴν τοῦ γινώσκοντος φύσιν.

Pleth., *fat.* 68: Ἔτι δ', εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ' ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ' ἀνθρώπων, ἀλλ' οὐδ' ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· οὐ γὰρ οὐδ' ὁπότερον ἀληθὲς εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὐθ' ὡς ἔσοιτο, οὐτ' αὖ ὡς οὐκ ἔσοιτο.

5–8 ἔστι… ἐνδεχόμενα

Psel., *phil. min.* 46 (159, 12–20): Ἀλλ', ὦ βέλτιστε, οἶδε μὲν πάντα Θεός, ἀλλὰ κατὰ τὸ κρεῖττον καὶ τὴν ἑαυτῷ προσήκουσαν ἔννοιαν· οὐ μὴν διότι κρειττόνως οἶδε τὰ ὄντα καὶ τὰ ἐσόμενα, ἐκεῖνα τῆς ἰδίας μεθίσταται φύσεως. Οὐ γὰρ ἐπειδὴ τῶν ὄντων τὸ μέν ἐστι σῶμα, τὸ δὲ ἀσώματον, καὶ τὸ μὲν ἔγχρονον, τὸ δὲ αἰώνιον, καὶ τὸ μὲν ἑστώς, τὸ δὲ κινούμενον, σωματικῶς οἶδε τὰ σώματα ἢ χρονικῶς τὰ ἔγχρονα ἢ κινουμένως τὰ ῥέοντα, ἀλλὰ ἀσωμάτως καὶ ἀιδίως καὶ ἀκινήτως, ὅτιπερ καὶ ἡ γνῶσις οὐ τῷ γινωσκομένῳ ἀλλὰ τῷ γινώσκοντι προσόμοιος. Κατὰ τοῦτον δὴ τὸν λόγον καὶ τῶν ἐξ ἀνάγκης καὶ ἐνδεχομένως γινομένων ἀναγκαίαν μόνον τὴν γνῶσιν ἔσχηκεν ὁ Θεός.

Pleth., *fat.* 68: Νῦν δ' οἵ τε θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτά, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τήν γε αὐτῶν γένεσιν ἀπειληφότα ᾖ· ἴσασι δὲ οὐκ ἄλλως ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὐ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ τῶν τῇδε γινώσκοιεν αὐτά.

6–8 Ὅθεν… ἐνδεχόμενα

Procl. Is., *dec. prov.* 2, 6 (159, 18–160, 3): Ἡμῖν δὲ τὸ ἀληθὲς ἐξ ἑκατέρων παρίσταται· ἐκ μὲν τῶν τὸ εἶναι τὰ ἐνδεχόμενα, ἐκ δὲ τῶν τὸ διήκουσαν εἰς πάντα τὴν πρόνοιαν πάντα γινώσκειν, ἐξ ἀμφοτέρων δ' ὁμοῦ τὸ ἀναγκαίως γινώσκειν τὴν πρόνοιαν πάντα ὧν προνοεῖ, συναγομένου ἀκολούθως τοῦ καὶ τῶν ἐνδεχομένων προνοοῦσαν τὴν πρόνοιαν ἀναγκαίως γινώσκειν αὐτά, κἂν ᾖ ἐνδεχόμενα. Αὕτη μὲν γὰρ ὡρισμένως οἶδε τὰ ἐσόμενα, ταῦτα δὲ κατὰ τὴν ἑαυτῶν γίνονται φύσιν, τὰ μὲν ὡρισμένως, τὰ δὲ ἀορίστως.

Procl., *inst. theol.* 124 (166, 10–13): Πᾶς θεὸς ἀμερίστως μὲν τὰ μεριστὰ γινώσκει, ἀχρόνως δὲ τὰ ἔγχρονα, τὰ δὲ μὴ ἀναγκαῖα ἀναγκαίως, καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως, καὶ ὅλως πάντα κρειττόνως ἢ κατὰ τὴν αὐτῶν τάξιν.

15 ὁ[1]… γίνεται

Greg. Naz*., or. XVIII* 35 (1001C-D): Παῦλος δὲ διώκτης ὢν ἔτι, ὁ μέγας τῆς ἀληθείας κῆρυξ…

Joh. Chrys., *Petr. et Paul.* 59 (493): Παῦλος ὁ μέγας τῆς ἀληθείας κήρυξ, τὸ καύχημα τῆς οἰκουμένης [...].

15–17 Οὓς… ἐδόξασεν

Rom. 8, 29–30: …οὓς προέγνω, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Anast. S., *qu. et resp*. 99, 3 (157, 27–35): Ὅμως, εἰπὼν ὁ θεῖος Ἀπόστολος ὅτι "Οὓς προέγνω ὁ Θεός, τούτους καὶ προώρισε", λέλυκε πάντα τὰ προκείμενα ζητήματα· οἷον προέγνω τὸ ἀμετανόητον τοῦ Φαραώ, καὶ "ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ", ὅπως καταδιώξῃ

τὸν Ἰσραὴλ καὶ ποντισθῇ· προέγνω τὸ εὐθὲς τοῦ Ἱερεμίου, καὶ προώρισεν αὐτὸν ἐκ μήτρας ἁγιάσας εἰς προφήτην· προέγνω τὴν ἀσέβειαν Σοδόμων, καὶ ἐποίησεν αὐτοὺς σκεύη ἀτιμίας ἐμπρησμοῦ· προέγνω τὴν μετάνοιαν Παύλου, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς.

17–20 Ὁ… αὐτὸν
Nic. Meth., *vit. term.* I, 231: Ἐγὼ δὲ παρὰ τῆς θείας σοφίας οἶδα μαθών, ὅτι τοῖς μὲν ἀγαπῶσι τὸν Θεὸν "πάντα συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν" […]· οὔτε δὲ συμπράττει τοῖς κακῶς πράττουσιν, ἀλλὰ μόνος ἐκ τῆς παρ' αὐτῷ κειμένης τοῦ αὐτεξουσίου πηγῆς ὁ κατὰ προαίρεσιν κακὸς ἀντλεῖ τὰ κακά.

19–21 εἰωθὼς…κλητοῖς
Rom. 8, 28: …τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

Anast. S., *inter. et resp.* 55 (89, 620A–B): Περὶ δὲ πάλιν τὸ «Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος» [...]· καὶ γὰρ οὐ τοῦ θέλοντος μόνον τὴν ἀρετήν, οὐδὲ τοῦ τρέχοντος καὶ ἀγωνιζομένου ταύτην κατορθῶσαι, ἀλλὰ καὶ «τοῦ ἐλεοῦντος» καὶ συνεργοῦντος «Θεοῦ».

25-26 Χωρὶς… οὐδέν
Io. 15, 5: ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

Anast. S. *inter. et resp.* 55 (89, 620B): «Οὐ δύνασθε» γάρ, φησί, «χωρὶς ἐμοῦ ποιεῖν οὐδέν».

26–30 προγνοὺς… κληθησομένους
Rom. 8, 28–30: …τοῖς ἀγαπῶσιν τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

30–32 Οὐκ… εἴη
Marc. Eug., *vit. term.* 357–358: Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ' ἐπιπολῆς αὐτῶν ἅψασθαι. Ἔστι γὰρ οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως· οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει. [...] Καὶ κατὰ μὲν τοῦ ὅρου τὴν πρόγνωσιν ἀληθῶς που κατηγορήσομεν, κατὰ δὲ τῆς προγνώσεως τὸν ὅρον οὐκ ἀληθῶς.

32–35 Ἀλλ… τέλος
Psel., *phil. min.* 46 (159, 7–11): Καὶ συλλογίζῃ ἐντεῦθεν ὡς οὔθ' ὁ πονηρὸς παρὰ τὴν οἰκείαν προαίρεσιν τὸ τῆς κακίας ἀνεμάξατο αἶσχος, οὔθ' ὁ ἀγαθὸς ἐντεῦθεν τὴν τῆς ἀγαθότητος ἕξιν ἐκτήσατο. Ἤδει γὰρ καὶ πρὸ γεννήσεως ἀμφοῖν ὁ Θεὸς ὡς ὁ μὲν ἀγαθὸς ἔσοιτο, ὁ δὲ ἀποβαίη κακός· ἡ δὲ γνῶσις αὕτη ὅρος ἑκάστῳ τῶν ἐναντίων ἕξεων ἀμετάθετος.

Op. cit. 47 (161,18–23): Οὐκ ἀλλοιοῦσι δὲ αἱ γνώσεις τὰ πράγματα, ἀλλ' αἱ μὲν κατὰ τὰ γινώσκοντα ἵστανται, τὰ δὲ γινόμενα τῆς οἰκείας οὐκ ἐξίστανται φύσεως. Ὁ μὲν οὖν Θεός, ὅρος ὢν ὁ πάντων ἀκρότατος, κατὰ τὴν οἰκείαν ἀκρότητα οἶδε τὰ πράγματα, ὡρισμένως μὲν τὰ ἀόριστα, ἀναγκαίως δὲ τὰ ἐνδεχόμενα (οὐ γὰρ συμμεταβάλλεται τοῖς γινομένοις, ἀλλ' ὡς ἔχει φύσεως τὴν τάξιν οἶδε τῶν ὄντων), τὰ δὲ κατὰ τὴν οἰκείαν φύσιν ῥεῖ τε καὶ φέρεται.

Op. cit. 47 (162,2–6): Οὐ τοίνυν, εἰ τῶν μὲν προέγνωκε τὴν φαυλότητα, τῶν δὲ τὴν δικαιοσύνην προέλαβε, διὰ ταῦτα ἐξ ἀνάγκης οἱ μὲν φαῦλοι, οἱ δὲ γεγένηνται δίκαιοι· ἀλλ'

ἐκεῖνός τε κατὰ τὴν οἰκείαν φύσιν τὴν γνῶσιν ἔσχε τῶν γινομένων, κἀκεῖνα κατὰ τὸν ἴδιον εἰρμὸν φέρεται.

Nic. Meth. *vit. term.* I, 233: …τῶν οὕτως γινομένων οὐχ ἡ θεία πρόγνωσις, ἀλλ' ἡ προαίρεσις αἰτία· ταῦτα δὲ οἰκείαν τὴν θείαν πρόγνωσιν εἴληχε, καὶ ὁ θεῖος ὅρος καὶ τέθειται διὰ ταῦτα καὶ πέπηγε· καὶ οὕτω τοίνυν τοῦ ὅρου δοθέντος, οὐδενὸς εἶναι τῶν κακῶν ὁ Θεὸς αἴτιος ἀποδέδεικται.

Op. cit. I, 234: Θεὸς δὲ ὁ καὶ ταύτης ἡμῖν τῆς ἐπὶ τὸ καλὸν αὐθαιρέτου κινήσεως αἴτιος αὐτὸς καὶ τὰς πρώτας ἀφορμὰς δίδωσιν.

32–49 Ἀλλ… ἀποδεδοκιμασμένοι

Germ., *vit. term.* 24, 28–26, 9: Αὐτὸς γὰρ "εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν", ἐξ ἀπείρου καὶ οὐ προσφάτως, οὐδὲ ἐκ τεκμηρίων στοχαζόμενος τὸ ἐσόμενον, ἀλλὰ δυνάμει θεοπρεπεῖ καὶ ἀρρήτῳ τῇ τῶν γενησομένων ἐπιβάλλων ἐκβάσει, καὶ ὑπ' ὄψιν ὡς εἰπεῖν τὰ μέλλοντα προορώμενος, προσφόρως τοῖς προεωραμένοις αὐτῷ καὶ τὰ τῆς ἑαυτοῦ κρίσεως ἐπ' αὐτοῖς προορίζει. Ἄνθρωποι μὲν γὰρ μετὰ τὰς τῶν πραγμάτων ἐκβάσεις τὰς καταλλήλους κρίσεις ἐπάγουσιν, Θεῷ δὲ τὸ μέλλον ὡς ἤδη ἐνεστὸς θεωρεῖται, καὶ κατὰ τοῦτο τὰ τῆς πρεπούσης ἀξίας, μᾶλλον δὲ τῆς συμφερούσης ἑκάστῳ λήξεως, προθεσπίζει ἀπαραβάτως, εἴτε ἐν παρατάσει ζωῆς εἴτε ἐν ὀλιγότητι καὶ συστολῇ τῆς βιώσεως.

Op. cit. 36, 14–21: β. Εἶτα οὐκ ἐντεῦθεν πρὸς ἑτέραν ἀπαγόμεθα, Γραφικῶς εἰπεῖν, ἀδολεσχίαν, τοῦ λέγειν τὰς τῶν μελλόντων προγνώσεις αἰτίας καὶ οἷον εἰπεῖν ἀναγκαστικὰς τῆς τούτων ἐκβάσεως γίνεσθαι; α. Οὐδαμῶς. β. Πῶς καὶ διὰ τί; α. Ὅτι δὴ καὶ ἡμεῖς οὐ παρὰ τὸ ὁρᾶν τὰ ἐν ὄψει ἡμῶν γινόμενα, ἤδη καὶ τῆς τούτων πράξεως καθιστάμεθα αἴτιοι.

35-36 ὁ εἰδὼς..αὐτῶν

Joh. Damasc., *exp. fid*. 24, II 10 (68, 31-35): Ὁ γὰρ "τὰ πάντα πρὶν γενέσεως αὐτῶν" ἐπιστάμενος, εἰδὼς ὡς μέλλει ἐν αὐτεξουσίῳ παραβάσει ὁ ἄνθρωπος γενέσθαι καὶ τῇ φθορᾷ παραδίδοσθαι, πάντα πρὸς εὔκαιρον χρῆσιν αὐτοῦ, τά τε ἐν τῷ στερεώματι ἔν τε τῇ γῇ καὶ τὰ ἐν ὕδασιν, ἔκτισε.

42–44 καθὼς… καθήκοντα

Rom. 1, 28: …καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα

Bas., *Deus non auct. mal.* 31 (332B): Πόθεν τὰ ἔθνη "παραδέδοται εἰς ἀδόκιμον νοῦν" καὶ "ποιεῖ τὰ μὴ καθήκοντα;".

48–49 ἀλλὰ… ἀποδεδοκιμασμένοι

Nic. Meth., *vit. term.* I, 234: Οὐχ οἱ ὅροι δὲ ὑφιστάνουσι τὰ γινόμενα, ἀλλ' αὐτοὶ διὰ ταῦτα μᾶλλον τὴν ὑπόστασιν ἔχουσι.

6.3. 1–5 Εἰ…γνώσεως

Ath., *pass.* 28 (200B-C): Οὔτε γὰρ ὁ προφήτης αἴτιος τούτοις, οὔτε οἱ Ἰουδαῖοι τῆς ἀπιστίας ἑαυτῶν ἀναίτιοι τυγχάνουσιν· ἀλλ' ὁ μὲν προφήτης, προβλέπων ἃ μέλλουσι πράττειν, ἀπήγγειλεν, αὐτοὶ δὲ μετὰ ταῦτα πράττοντες ἐδείκνυον τοῦ προφήτου τὸν λόγον ἀληθῆ· καὶ οὐχ ὡς διακονοῦντες τοῖς προφητικοῖς ἐτόλμων κατὰ τοῦ Σωτῆρος, ἀλλὰ τῇ προαιρέσει θέλοντες ἔπραττον τὰ πράγματα· ὥστε τὸν μὲν προφήτην μὴ αἴτιον αὐτοῖς γεγενῆσθαι, ἀλλὰ τὴν προαίρεσιν αὐτῶν, αὐτοὺς δὲ μᾶλλον αἰτίους γεγενῆσθαι τῷ προφήτῃ τοῦ ταῦτα αὐτὸν περὶ αὐτῶν εἰπεῖν. Τοῦ μὲν γὰρ προφήτου ἴδιόν ἐστιν ὁρᾷν τὰ μέλλοντα καὶ μὴ σφάλλεσθαι, τῶν δὲ πράξεων ἕκαστος τὴν ἰδίαν προαίρεσιν αἰτίαν ἔχει.

Psel., *phil. min.* 44 (157, 27–32): Καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαῖον ἕξει τὴν ἔκβασιν ἅ λέγομεν ἐνδεχόμενα διὰ τὸ ὑπὸ Θεοῦ γινώσκεσθαι αὐτὰ ὡρισμένως· οὐ γὰρ διότι γινώσκει

αὐτὰ ὁ Θεός, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ' ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον ἕξει πέρας, διὰ τοῦτο καὶ τὸν Θεὸν εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. Καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχόμενον, τῇ δὲ γνώσει τοῦ Θεοῦ ὡρισμένον.

Nic. Meth., *vit. term.* I, 233: Ὥστε τῶν οὕτως γινομένων οὐχ ἡ θεία πρόγνωσις, ἀλλ' ἡ προαίρεσις αἰτία· ταῦτα δὲ οἰκείαν τὴν θείαν πρόγνωσιν εἴληχε, καὶ ὁ θεῖος ὅρος καὶ τέθειται διὰ ταῦτα καὶ πέπηγε· καὶ οὕτω τοίνυν τοῦ ὅρου δοθέντος, οὐδενὸς εἶναι τῶν κακῶν ὁ Θεὸς αἴτιος ἀποδέδεικται.

Jos. Br., *cruc. IV* 315–316: Οὔτε γὰρ ὁ προφήτης αἴτιος τοῦ τὸν προδότην προδότην γενέσθαι, οὔτε ὁ Ἰούδας τῆς ἑαυτοῦ ἀπωλείας ἀνεύθυνος· ὅτι ὁ μὲν προφήτης προβλέπων ἃ μέλλει πράττειν ὁ τολμητίας, ἅτε προφήτης ἀπήγγειλεν, αὐτὸς δὲ προδότης μετὰ ταῦτα γενόμενος τὸν τοῦ προφήτου λόγον ἀληθέστατον ἔδειξε, καὶ οὐχ ὡς τῷ προφητικῷ λόγῳ διακονῶν κατὰ τοῦ Σωτῆρος ἐχώρησεν, ἀλλ' ἐξ οἰκείας προαιρέσεως μόνης τὴν προδοσίαν εἰργάσατο, καὶ οἴκοθεν αἴτιος μόνος γέγονε τῷ προφήτῃ τοῦ ταῦτα προφητεῦσαι περὶ αὐτοῦ.

Op. cit. 315: Οὕτω καὶ οἱ Προφῆται τὰ μέλλοντα ὡς παρόντα ὁρῶντες τὰ γενησόμενα ὡς ἤδη γινόμενα ἔβλεπον, καὶ οὐ διότι ταῦτα ἔβλεπον, οὕτως ἐγίνετο τὰ γινόμενα, ἀλλὰ πᾶν τοὐναντίον, ὅτι ταῦτα οὕτως ἐγίνετο, οὕτω κἀκεῖνοι ταῦτ' ἔβλεπον· ὥστε οὐκ ἐπειδὴ λέγουσιν οἱ προφῆται, διὰ τοῦτο καὶ γίνεταί πως τὰ γινόμενα, ἀλλ' ὅτι οὕτως γενέσθαι, διὰ τοῦτο οὕτω προλέγουσιν· ἐπεί, εἰ τὰ γινόμενα καὶ γεγονότα καὶ γενησόμενα μὴ προέβλεπον, οὐκέτι ἂν ἦσαν προφῆται· νῦν δὲ ὁρῶσιν ἀληθῆ, ἅτε παρὰ Θεοῦ φωτιζόμενοι.

Pleth., *fat.* 70: Ἀλλ' οἵ τε θεοὶ ἴσασι τὰ ἐσόμενα, καὶ ἀνθρώπων οἷσπερ ἂν ἐθέλοιεν καὶ καθόσον, προσημαίνουσι. Καί τισι καὶ προμεμαθηκόσι τῶν ἐσομένων ἔστιν ἃ καὶ πειρωμένοις διαφυγεῖν, οὐδὲν ἧττον ἄφυκτά τε αὐτοῖς ἐγένετο καὶ ἀναπόδραστα τὰ πεπρωμένα· τοῖς δὲ καὶ αὐτῷ τούτῳ τῷ προμεμαθηκέναι τε καὶ πειρᾶσθαι διαφυγεῖν τοῖς πεπρωμένοις περιπεσεῖν συνέβη, οὕτω που καὶ τοῦτο εἱμαρμένον αὐτοῖς. [...] Ἀλλ' 'εἰ πάντα ὥρισται, φαίη ἄν τις, καὶ οὐδὲν ὅ,τι μὴ ἀνάγκης μετείληφε τῶν ὄντων τε καὶ γιγνομένων, ἔκ τε τῶν ἀνθρώπων οἴχοιτ' ἂν ἡ ἐλευθερία καὶ ἡ δίκη ἐκ τῶν θεῶν, τῶν μὲν ἀνθρώπων ἀνάγκῃ, ἅττ' ἂν πράττοιεν, πραττόντων, καὶ οὐκέτι οὐτ' ἂν κυρίων ἑαυτῶν ὄντων, οὐτ' ἂν ἐλευθέρων, τῶν δὲ θεῶν ἤτοι τοπαράπαν ἀφεστώτων ἂν τοῦ κολάζειν τοὺς κακούς, ἢ οὐκ ἂν ἐν δίκῃ κολαζόντων, εἴ γε δὴ ἀνάγκῃ οἱ κακοὶ κακοί'.

5–9 Οὐκοῦν … φέρεσθαι

Nic. Meth., *vit. term.* I, 231: Ἐγὼ δὲ παρὰ τῆς θείας σοφίας οἶδα μαθών, ὅτι τοῖς μὲν ἀγαπῶσι τὸν Θεὸν "πάντα συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν" […]· οὔτε δὲ συμπράττει τοῖς κακῶς πράττουσιν, ἀλλὰ μόνος ἐκ τῆς παρ' αὐτῷ κειμένης τοῦ αὐτεξουσίου πηγῆς ὁ κατὰ προαίρεσιν κακὸς ἀντλεῖ τὰ κακά.

9–11 καὶ … χορηγίᾳ

Mat. 25 ,21–23: Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπεν· Κύριε, δύο τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

14–15 ὡς … εἵνεκεν

I Cor. 9, 27: …ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.

7. 6–12 Ἴσθι … συγγράμμασιν

Germ., *vit. term.* 18, 4–6: Δύο μέμψεων μιᾷ πάντως ὑποπεσεῖσθε, ἢ τῷ μὴ νοῆσαι ὑγιῶς τὰ τῷ διδασκάλῳ δογματισθέντα ἢ τῷ ἑκοντὶ παραλογίσασθαι τὴν ἀλήθειαν.

Nic. Meth., *vit. term.* I, 223: Νῦν δὲ ὡς οἷόν τε πειρασόμεθα τὰ πρὸς τὸν ὅρον ἄπορα διαλύσασθαι, τὸν ὅρον τῆς ἀληθείας αὐτὸν ὁδηγὸν τοῦ λόγου, καθὰ δὴ καὶ τῆς ὅλης ἡμῖν ζωῆς, προστησάμενοι καὶ μὴ περιελεῖν ἐκ τοῦ στόματος ἡμῶν λόγον ἀληθείας εὐξάμενοί τε καὶ τῇ πίστει θαρρήσαντες· τοῦτο δὲ πρότερον τὴν σὴν ἀγχίνοιαν ὑπομνήσαντες, ὅτι μὴ πάντα δεῖ τὰ τοῦ Θεοῦ ἐρευνᾶν, ὅτι μηδὲ πάντα ἔστι καταλαβεῖν, μὴ ὅτι τῶν καθ' ἡμᾶς τινα ταπεινόν τε καὶ κάτω κείμενον, ἀλλ' οὐδὲ τὸν ἄγαν θεωρητικὸν καὶ ὑψηλὸν τῇ διανοία.

16–17 ὁ^2 … Ἀθανάσιος

(Ps.-Ath., *qu. Ant.* 113 (668C-D): Ὅρος τοίνυν ἐστὶ τῇ ζωῇ τοῦ ἀνθρώπου ἡ βουλὴ τοῦ Θεοῦ, καὶ ᾧτινι βούλεται, προστίθησι, καὶ ἔνθα σκοπήσῃ, ὑφελεῖται, πάντα ποιῶν πρὸς τὸ ἑκάστου συμφέρον. Καὶ ὥσπερ ὁ δεσπότης τῆς ποίμνης, ὅτε βουληθῇ, ἀποστέλλει καὶ φέρει οἷα βούλεται πρόβατα, οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν ἀνθρώπων ποιεῖ, καὶ τότε ἐπάγεται ὁ θάνατος τῷ ἀνθρώπῳ, τοῦ ὅρου, ἤγουν τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ, πληρωθέντος. Ὅρος τοιγαροῦν, ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστιν ἡ κέλευσις καὶ ἡ βουλὴ τοῦ Θεοῦ.

Germ. *vit. term.* 14, 11–19: …καὶ τούτοις οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ ἐκκλησία ἀποστολικὸν ἀπονέμει τὸ σέβας, καὶ κατ' ἐξαίρετον τούτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ, οὗτινος οὐ μικροί τινες ἐπαινέται οὐδὲ ἐπὶ μικροῖς τισιν τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ θεολόγος καὶ ὁ πολὺς Ἀθανάσιος, τῆς εὐσεβείας οἱ στῦλοι καὶ τῆς Τριάδος ὑπέρμαχοι οἱ τοὺς ἐπαίνους συνείροντες…

Op. cit. 36, 25–30: Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ, δέον τοῖς περὶ τοῦ προκειμένου προβλήματος εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ Εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νυνὶ ἀπορουμένων τὴν ἐπίλυσιν;

23–24 ἰδίως … ἀνήκει

Vat. Ros. 986, f. 306r, 9 –306v, 6: Τὰ ιβ΄ ἄρθρα τῆς πίστεως εἰς ἃ διαιρεῖται τὸ σύμβολον:
α΄ Πιστεύω εἰς ἕνα Θεὸν·
β΄ πατέρα παντοκράτορα·
γ΄ ποιητὴν οὐρανοῦ καὶ γῆς· ὁρατῶν τε πάντων καὶ ἀοράτων·
δ΄ Καὶ εἰς ἕναν Κύριον Ἰησοῦν Χριστὸν· τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ· τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός· Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγένετο·
ε΄ τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα·
στ΄ Σταυρωθέντα τε ὑπὲρ ἡμῶν, ἐπὶ Ποντίου Πιλάτου· καὶ παθόντα καὶ ταφέντα·
ζ΄ Καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς·
η΄ Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός·
θ΄ Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρίναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος·
ι΄ Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τὸ λαλῆσαν διὰ τῶν προφητῶν·
εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν·
ι΄ (*iter.*) ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν·
ια΄ προσδοκῶ ἀνάστασιν νεκρῶν·
ιβ΄ καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Λόγος Δ΄

1.17 ὃν…λόγον
Teoph. Agal., *prov*. 421-435.

17 τὸν[2]…Γρηγόριον
Greg. Naz. *or. XVIII*, 35, 985-1044· id., *or. VII*, 2-56· id., *or. XXI*, 35, 1081-1128
Germ. *vit. term.* 14, 11–19: …καὶ τούτοις οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ ἐκκλησία ἀποστολικὸν ἀπονέμει τὸ σέβας, καὶ κατ' ἐξαίρετον τούτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ, οὗτινος οὐ μικροί τινες ἐπαινέται οὐδὲ ἐπὶ μικροῖς τισιν τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ θεολόγος καὶ ὁ πολὺς Ἀθανάσιος, τῆς εὐσεβείας οἱ στῦλοι καὶ τῆς τριάδος ὑπέρμαχοι οἱ τοὺς ἐπαίνους συνείροντες, σοφίας δὲ γνῶσις τελεωτάτη τῶν ἐγκωμίων ἡ ἀφορμὴ καὶ ἡ πλοκὴ τῶν στεφάνων.
Op. cit. 36, 25–30: Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ, δέον τοῖς περὶ τοῦ προκειμένου προβλήματος εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ Εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νυνὶ ἀπορουμένων τὴν ἐπίλυσιν;

20 τὸν…Ἀθανάσιον
Ps.-Ath., *quaest.* 113 (668C-D): …ὅρος τοίνυν ἐστὶ τῇ ζωῇ τοῦ ἀνθρώπου ἡ βουλὴ τοῦ Θεοῦ, καὶ ᾧτινι βούλεται, προστίθησι, καὶ ἔνθα σκοπήσῃ, ὑφελεῖται, πάντα ποιῶν πρὸς τὸ ἑκάστου συμφέρον. Καὶ ὥσπερ ὁ δεσπότης τῆς ποίμνης, ὅτε βουληθῇ, ἀποστέλλει καὶ φέρει οἷα βούλεται πρόβατα, οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν ἀνθρώπων ποιεῖ, καὶ τότε ἐπάγεται ὁ θάνατος τῷ ἀνθρώπῳ, τοῦ ὅρου, ἤγουν τοῦ χρόνου τῆς ζωῆς αὐτοῦ, πληρωθέντος. Ὅρος τοιγαροῦν, ὡς προλέλεκται, τῆς ἑκάστου ζωῆς ἐστιν ἡ κέλευσις καὶ ἡ βουλὴ τοῦ Θεοῦ.
Germ., *vit. term.* 14, 11–19: …καὶ τούτοις οἷς δὴ μάλιστα διὰ βίου καθαρότητα καὶ δογμάτων ἀκρίβειαν ἡ καθολικὴ ἐκκλησία ἀποστολικὸν ἀπονέμει τὸ σέβας, καὶ κατ' ἐξαίρετον τούτῳ δὴ τῷ μεγάλῳ καὶ ὄντως τὰ θεῖα σοφῷ, οὗτινος οὐ μικροί τινες ἐπαινέται οὐδὲ ἐπὶ μικροῖς τισιν τοῦτον θαυμάζοντες, ἀλλὰ Γρηγόριος μὲν ὁ θεολόγος καὶ ὁ πολὺς Ἀθανάσιος, τῆς εὐσεβείας οἱ στῦλοι καὶ τῆς τριάδος ὑπέρμαχοι οἱ τοὺς ἐπαίνους συνείροντες, σοφίας δὲ γνῶσις τελεωτάτη τῶν ἐγκωμίων ἡ ἀφορμὴ καὶ ἡ πλοκὴ τῶν στεφάνων.
Op. cit. 36, 25–30: Καὶ τί χρὴ τῷ οἰκείῳ ἡμῶν ἀσθενεῖ λογισμῷ τὰ περὶ τούτου ἐφοδεύειν τῷ λόγῳ, δέον τοῖς περὶ τοῦ προκειμένου προβλήματος εἰρημένοις τῷ μεγάλῳ Ἀθανασίῳ ἐν τῷ εἰς τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν λόγῳ ἐντυγχάνοντας, ἐκεῖθεν λαβεῖν πλατύτερόν τε ὁμοῦ καὶ σοφώτερον τῶν νυνὶ ἀπορουμένων τὴν ἐπίλυσιν;

25–28 διὸ…ἀντιφιλοτιμούμενος
Anast. S., *qu. et resp*. 16, 2 (24, 8–15): Πρὸς δὲ τοὺς φιλονεικοῦντας ἐκ παντὸς τρόπου προορισμὸν παρὰ Θεῷ δεῖξαι ἐτῶν παντὸς ἀνθρώπου ἐκεῖνο ἐροῦμεν, ὅτι εὑρεθήσεται ὁ Θεὸς καὶ τοὺς πολέμους αὐτὸς ποιῶν, ὅπερ ἄτοπόν ἐστι κἂν ἐννοῆσαι τοῦτο. Καὶ πάλιν, εἰ προπεπηγμένος καὶ ἀμετάθετος προορισμός ἐστι τῶν ἑκάστου χρόνων, μηδεὶς ἀσθενῶν εἰς ἀντίληψιν ἁγίους ἐπικαλέσηται, μηδεὶς λοιπὸν ἰατροὺς προσκαλέσηται· ὡς γὰρ προώρισεν ὁ Θεὸς πάντως γενήσεται.

29–32 Ἀναστάσιον…χωριζομένους
Mich. Glyc., *in S. Scr.* 37 (420, 5–7): Ὅθεν «ὁ δοξάζων ἐπὶ τούτοις προορισμόν», ὡς ὁ θειότατός φησιν Ἀναστάσιος, «φανερῶς προσκρούει τῷ Θεῷ».
ibid. 37 (441, 13–15): Μαθήσει γὰρ ἐντεῦθεν ὡς ὁ Σιναΐτης φησὶ θεῖος Ἀναστάσιος ὅτι πήξει καὶ ὅρῳ οὐχ ὑπόκειται ἡμῶν ἡ ζωή, καθάπερ οἱ πλείους ᾠήθησαν.

38–41 Δεῖ… ἀποστρέφεσθαι
Bas., *reg. mor.* 31 (845D–848A): Ὅτι δεῖ τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους τὰς Γραφὰς δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλειν, καὶ τοὺς τοιούτοις διδάγμασιν ἐπιμένοντας ἀποστρέφεσθαι σφοδρότερον.

2. 19–21 Οὕτω… διδάσκουσιν
Theodor., *prov.* I, 83 (560C): Εἰσὶ δέ τινες οἳ καὶ Χριστιανῶν μὲν προσηγορίαν ἔχουσιν, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν.
Phot., *Amph.* 240 (21, 14-22): Οἱ χάσματα γῆς προκομίζοντες καὶ ναυάγια καὶ λοιμὸν ἀέρος καί τινα τοιαῦτα ἕτερα, ἀθρόον πολλῶν καὶ διαφόρων περιλαμβάνοντα θάνατον, εἶτα ζητοῦντες πότερον ὥριστο τούτους ὑφ' ἓν καὶ τὴν αὐτὴν ἐλθεῖν τελευτήν, οὗτοί μοι δοκοῦσι τὸ καθορώμενον ζητούμενον ποιεῖν, ἐξ ὧν αὐτοῖς συμβαίνει αἰσθήσεως μᾶλλον ἢ ἀποδείξεως δεῖσθαι, ἵνα μὴ βαθύτερον ἐξετάζων εἴπω, καὶ αὐτῆς διόλου τῆς ἀπὸ τῶν λογισμῶν προιούσης κρίσεως.

21 θανατοῖ… ζωογονεῖ
I Reg. 2,6: Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.
Blemm., *vit. fin.* I (3,3–5): Ἐκεῖνο δὲ πῶς νοεῖς τὸ «Κύριος θανατοῖ καὶ ζωογονεῖ»; Οὐχ ὅτι θανάτου καὶ ζωῆς κυριεύων ἐστίν, ὡς ἡ ἱερὰ Γραφὴ μαρτυρεῖ, καί, οἷς μὲν ἐθέλει, χαρίζεται τὴν ζωήν, οἷς δὲ βούλεται αὖθις, ἐπάγει τὸν θάνατον;

22–24 ἀοριστίαν… χρῆμα
Germ., *vit. term.* 54, 20–21: Μὴ οὖν ἀόριστα λέγωμεν τὰ τῆς ἀνθρώπων ζωῆς τε καὶ τελευτῆς.

25–26 ποιεῖν… κακὰ
Am. 3, 6: Εἰ ἔσται κακία ἐν πόλει ἣν Κύριος οὐκ ἐποίησεν;
Bas., *Deus non auct. mal.* 31 (336A): «Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε»
Op. cit. 31 (336c): Ὥστε "Ποιῶν εἰρήνην", οὕτω ποιεῖ εἰρήνην, ἐκ τοῦ "κακὰ κτίζειν", τουτέστι μεταποιεῖν καὶ εἰς βελτίωσιν ἄγειν.
Op. cit. 31 (337B–C): Ὅταν δὲ ἀκούσῃς, "Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε", νόει τῆς 'κακίας' τὸ ὄνομα, ὅτι τὴν προσαγομένην κάκωσιν τοῖς ἁμαρτάνουσιν ἐπὶ διορθώσει τῶν πλημμελημάτων ὁ λόγος αἰνίσσεται.

28–32 Καὶ… ἄνθρωπον
Germ., *vit. term.* 30, 29–32, 5: …καὶ τὴν ὑπεράπειρον τῆς θείας προνοίας περιγράφειν ἀγαθότητα, ἥτις οὐδὲ τῆς ἀλόγου φύσεως ἀμελέτητον ποιεῖται τὴν τημελοῦχον ἐπιστασίαν, ὡς ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ ἐδίδαξεν, μήτε στρουθίον ἓν εὐτελέστατον ὡς ἔξω τῆς ἐποπτικῆς τῶν ὅλων ὑπάρχον προνοίας ἄνευ τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς εἰπὼν πεσεῖσθαι ἐπὶ τῆς γῆς, ἤγουν τῇ παγίδι ἐμπίπτειν; Τί δὲ βούλεται διδάσκειν ἡμᾶς διὰ τοῦ ἠριθμῆσθαι λέγειν τὰς τρίχας τῆς κεφαλῆς;
Nic. Meth., *vit. term.* I, 225–226: οὕτω παρ' αὐτῷ καὶ τῆς κεφαλῆς ἡμῶν αἱ τρίχες ἠρίθμηνται, καὶ οὐδὲ στρουθίον ἄνευ αὐτοῦ παγιδεύεται τὸ φαυλότατον.
Marc. Eug., v*it. term.* 353: Ὦ (sc. ἀνθρώπῳ) τοιγαροῦν ἡ πρόνοια τοσαύτη παρὰ τὸν βίον, ὡς καὶ τὰς τῆς κεφαλῆς ἠριθμῆσθαι τρίχας, τούτου οἷόν τε τὴν ἐνθάδε ἀπαλλαγὴν ἀόριστον εἶναι καὶ ὡς ἔτυχεν ἐπιγίνεσθαι;

28–29 τὰς… ἠριθμῆσθαι

Mat. 10, 30–31: Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. Μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.

Luc. 12, 7: …καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε.

31–32 οὐδὲ…θελήματος

Mat. 10, 29: Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; Καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν.

Marc. Eug., *vit. term.* 352: «Χωρὶς γὰρ αὐτοῦ» φησίν, «οὐδὲ στρουθίον ἐπὶ τὴν γῆν πεσεῖται».

32 εἰ[1]…ἄνθρωπον

Ps. 123, 6–8: Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.

38–40 Ἰδοὺ…ἡμᾶς

Ps. 133, 2: Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτιρήσαι ἡμᾶς.

40–49 τῆς…πρόνοιαν

Mat. 15, 21–28: Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραζεν λέγουσα, ‘Ἐλέησόν με, κύριε, υἱὸς Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται’. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν λέγοντες, ‘Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν’. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ‘Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ’. Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα, ‘Κύριε, βοήθει μοι’. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, ‘Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις’. Ἡ δὲ εἶπεν, ‘Ναί, κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν’. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, ‘Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις’. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

3.1. 5-6 Μὴ …μετάνοιαν

Mat. 9, 13: Οὐ γὰρ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς.

6–8 ὡς[2]…φησίν

Io. 15, 12–13: Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

10-11 εἰς…δύναμιν

Sap. Sol. 8, 1: Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

12–13 Αἰτεῖτε…ὑμῖν

Mat. 6, 33: Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

13–15 δώσει…αὐτοῦ

Mat. 7, 9–11: …τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν αἰτήσει ὁ υἱὸς αὐτοῦ ἄρτον —μὴ λίθον ἐπιδώσει αὐτῷ; Ἢ καὶ ἰχθὺν αἰτήσει μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες

οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

Luc. 11, 11–13: Τίνα δὲ ἐξ ὑμῶν αἰτήσει τὸν πατέρα ὁ υἱὸς ἰχθύν, καὶ ἀντὶ ἰχθύος ὄφιν αὐτῷ ἐπιδώσει; Ἢ καὶ αἰτήσει ᾠόν, ἐπιδώσει αὐτῷ σκορπίον; Εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν;

21–26 εἰ… κακῶς

Anast. S., *qu. et resp*. (App.) 23a, 4 (215,58-216, 67): Πολλάκις γοῦν πιστῶν νήπια οἰκονομικῶς προαρπάζει ὁ Θεός, ὅπως καθαρὰ ἐκεῖ ἀπέλθωσιν, ἴσως ὅτι πονηρὸν βίον πάνυ ζῆσαι ἤμελλον. Καὶ ἁπλῶς πάντα πρὸς τὸ συμφέρον ἑκάστου ὁ Θεὸς οἰκονομεῖ, καὶ τοὺς μὲν ἁμαρτωλοὺς μακροχρονίους ποιεῖ, ἀφορμὴν αὐτοῖς διδοὺς πρὸς μετάνοιαν, τοὺς δὲ δικαίους πολλάκις ὀλιγοχρονίους ποιεῖ, ἵνα μή, ὡς λέγει ἡ θεία Γραφή, «ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν»· πολλοὺς γὰρ ἀρξαμένους μετανοεῖν συντόμως ἁρπάζει ὁ Θεός, πρὸς τὸ συμφέρον ὡς ἀγαθός, προγινώσκων ὅτι ἐὰν πολυχρονήσουσι, πάλιν πίπτουσιν καὶ ἀπώλλυντο.

Op. cit. 23a, 5 (216, 77–81): Καὶ πολλοῖς μὲν δικαίοις μακρότητα ἡμερῶν χαρίζεται, πολλοῖς δὲ ὀλιγότητα. Ὡσαύτως καὶ τοὺς ἁμαρτωλούς· τοῖς μὲν προστίθησι χρόνους, τοῖς δὲ θᾶττον ἁρπάζει. Πάντα, καθὼς προείρηται, ἡ αὐτοῦ ἀγαθότης πρὸς τὸ συμφέρον ἑκάστῳ οἰκονομεῖ.

Op. cit. 23b, 3 (218, 16–29): Πολλάκις γὰρ καὶ πιστῶν νήπια οἰκονομικῶς ἁρπάζει ὁ Θεός, ὅπως καθαρὰ ἀπελθόντα ἐκεῖ σωτηρίας τύχωσιν, ὡς προειδὼς τὸ μέλλον, ὅτι πονηρὸν βίον ζῆσαι ἔμελλον· ἑτέρους μετανοεῖν ἀρξαμένους εὐθέως ἁρπάζει πρὸς τὸ συμφέρον, προγινώσκων ὅτι, ἐὰν πολυχρονήσωσι, πάλιν τοῖς ὁμοίοις κακοῖς περιπέσωσι καὶ εἰς τὸ χεῖρον ἔλθωσι· καὶ πολλοῖς μὲν δικαίοις μακρότητα ἡμερῶν χαρίζεται εἰς τὸ καὶ ἄλλους συσσῶσαι μεθ’ ἑαυτῶν, πολλοὺς δὲ καὶ ὀλιγοχρονίους πολλάκις ποιεῖ, ἵνα μή, ὡς λέγει Σολομών, «ἡ κακία ἀλλάξῃ σύνεσιν αὐτῶν»· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἁμαρτωλῶν, τοὺς μὲν πολυχρονίους ποιεῖ, ἵνα μετανοήσωσιν, τοὺς δὲ καὶ ταχέως ἁρπάζει, ὅπως ἂν στῇ τὰ τῆς κακίας αὐτοῖς καὶ μικρᾶς τινος ἀνέσεως τύχωσιν· πάντως δέ, καθὼς προείπομεν, πρὸς τὸ συμφέρον ἑκάστῳ ἡ ἀγαθότης οἰκονομεῖ.

23 μὴ… αὐτοῦ[2]

Sap. 4, 11: ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.

3.2., 2–3 οἷς… πάντα

Mat. 6, 33: Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

4–5 Εἰ… κεφάλαια

Marc. Eug., *vit. term.* 355: Εἰ δὲ δὴ φαίη τις ὡς οὐ τὸν τρόπον τοῦ θανάτου προορίζει, τὸν χρόνον δὲ μόνον, καὶ τοῦτο μὲν οἷς λέγουσιν ἀναιροῦσι.

Cf. Theoph. Sim., *vit. term.* III (28, 31–30, 5): Οὐκ ἔξω δέ που τῆς γνωστικωτάτης μεγαλονοίας τοῦ κτίσαντος ἢ πότε ἢ ὅπως ἢ ὅποι τὸ τῆς ἑκάστου ζωῆς ἡμῶν ἀποτερματίζεται τέλος· οὐκ αἰτία δὲ τοῦ ἁμαρτάνειν ἡμᾶς ἢ μὴ ἁμαρτάνειν ἡ διὰ πάντων διήκουσα καθέστηκε πρόγνωσις τοῦ ἐπὶ πάντων Θεοῦ, περὶ οὗ οὐκ ὀλίγα ἄττα πολλοὶ πολλαχοῦ τῶν πρὸ ἡμῶν ἄριστα πεφιλοπονήκασι.

5–12 Εἰ… αὐτά

Nic. Meth., *vit. term.* III, 264: Κεφάλαιον τῶν εἰρημένων ἁπάντων. Εἰ μὴ ἔστιν ὅρος, οὐδὲ πρόγνωσις· οὐ γὰρ προέγνωσται τὸ ἀόριστον· εἰ μὴ πρόγνωσις, οὐδὲ πρόνοια· πῶς γὰρ μὴ

προγινώσκουσα προνοήσεται; Εἰ μὴ πρόνοια, οὐδὲ δημιουργία· εἰ μὴ δημιουργία (ἀλλὰ τὸ δύσφημον ἐπὶ τὸν αἴτιον ἀνήχθω τῆς ὑποθέσεως), οὐδὲ Θεός. Εἰ δὲ ἔστι Θεός, ὥσπερ δὴ καὶ ἔστι καὶ πιστεύομεν, καὶ δημιουργὸς πάντων, καὶ προνοίᾳ τὰ πάντα περικρατῶν, καὶ "προειδὼς τὰ πάντα" κατὰ τὸ λόγιον "πρὶν γενέσεως αὐτῶν", ἔστι καὶ ὅρος ἐν οἷς θάτερον καὶ θάτερον. Εἰ τοίνυν διὰ πάντων διήκει ἡ θεία πρόνοια καὶ ἡ πρόγνωσις, διὰ πάντων καὶ ὁ ὅρος χωρεῖ.

Pleth., *fat.* 68: Ἔτι δ', εἰ μὴ ὥριστο τὰ μέλλοντα, οὐδ' ἂν προεγινώσκετο, οὐ μόνον γε οὐχ ὑπ' ἀνθρώπων, ἀλλ' οὐδ' ὑπὸ τῶν θεῶν ἂν οὐδενός· οὐ γὰρ οἷόν τε ὅλως γνῶσιν ὑπάρξαι τοῦ πάντη ἀορίστου· οὐ γὰρ οὐδ' ὁπότερον ἀληθὲς εἴη ἂν ὁρίσαι περὶ αὐτοῦ, οὐθ' ὡς ἔσοιτο, οὐτ' αὖ ὡς οὐκ ἔσοιτο.

Marc. Eug., *vit. term.* 357–358: Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ' ἐπιπολῆς αὐτῶν ἅψασθαι. Ἔστι γὰρ οὐ ταὐτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις, ἀλλ' ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως· οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει. [...] Καὶ κατὰ μὲν τοῦ ὅρου τὴν πρόγνωσιν ἀληθῶς που κατηγορήσομεν, κατὰ δὲ τῆς προγνώσεως τὸν ὅρον οὐκ ἀληθῶς.

10–12 οὐ … αὐτά

Procl. Is., *dec. prov.* 2, 6 (159,18–160,3): Ἡμῖν δὲ τὸ ἀληθὲς ἐξ ἑκατέρων παρίσταται· ἐκ μὲν τῶν τὸ εἶναι τὰ ἐνδεχόμενα, ἐκ δὲ τῶν τὸ διήκουσαν εἰς πάντα τὴν πρόνοιαν πάντα γινώσκειν, ἐξ ἀμφοτέρων δ' ὁμοῦ τὸ ἀναγκαίως γινώσκειν τὴν πρόνοιαν πάντα ὧν προνοεῖ, συναγομένου ἀκολούθως τοῦ καὶ τῶν ἐνδεχομένων προνοοῦσαν τὴν πρόνοιαν ἀναγκαίως γινώσκειν αὐτά, κἂν ᾖ ἐνδεχόμενα. Αὕτη μὲν γὰρ ὡρισμένως οἶδε τὰ ἐσόμενα· ταῦτα δὲ κατὰ τὴν ἑαυτῶν γίνονται φύσιν, τὰ μὲν ὡρισμένως, τὰ δὲ ἀορίστως.

Procl., *Inst. theol.* 124 (166,10–13): Πᾶς θεὸς ἀμερίστως μὲν τὰ μεριστὰ γινώσκει, ἀχρόνως δὲ τὰ ἔγχρονα, τὰ δὲ μὴ ἀναγκαῖα ἀναγκαίως, καὶ τὰ μεταβλητὰ ἀμεταβλήτως, καὶ ὅλως πάντα κρειττόνως ἢ κατὰ τὴν αὐτῶν τάξιν.

Pleth., *fat.* 68: Νῦν δ' οἵ τε θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τήν γε αὐτῶν γένεσιν ἀπειληφότα ᾖ· ἴσασι δὲ οὐκ ἄλλως, ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὐ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ τῶν τῇδε γινώσκοιεν αὐτά·

12–14 Ἐντεῦθεν … καιρῶν

Pleth., *fat.* 70: Ἀλλ' οἵ τε θεοὶ ἴσασι τὰ ἐσόμενα, καὶ ἀνθρώπων οἵσπερ ἂν ἐθέλοιεν, καὶ καθόσον, προσημαίνουσι.

15–16 οἱ … ὅροι

Bas., *reg. fus.*, 31, 905 (titulus): Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας *Ὅροι κατὰ πλάτος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν*.

16–17 ὧν … ἀθετεῖν

Bas., *reg. fus.* 31 (949C): Περὶ τῶν ἑαυτοὺς τῷ Θεῷ καθομολογησαμένων, εἶτα τὴν ὁμολογίαν ἀθετεῖν ἐπιχειρούντων.

4.2. 16 τρέφει … κοράκων

III Reg. 27, 6: Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωὶ καὶ κρέα τὸ δείλης, καὶ ἐκ τοῦ χειμάρρου ἔπινεν ὕδωρ.

4.3. 14–15 ὅρος … χωρισμός

Phot. *Amph.* 240 (21, 22-26): εἰ γὰρ ὑπό τὴν αὐτήν περιγραφὴν τοῦ θανάτου ἕκαστον πλῆθος περιλαμβάνεται, καὶ τοῦτο καθωμολόγηται, ὁ δὲ ὅρος οὐδὲν ἕτερον ἐστιν παρὰ τὸ τέλος ἑκάστου, πλὴν οὐχ ὅπερ ὁμολογοϋσιν ὅρον γεγενῆσθαι, οὐκ ἐλέγχονται ζητοῦντες εἰ ἄρα κατὰ πάντων εἷς ἦν ὁ παγεὶς ὅρος;

5.1. 15–20 ἀγαθὸν… εἰληφόσιν

Ez. 33,11: Ζῶ ἐγώ, τάδε λέγει Κύριος. Οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν.

Joh. Damasc., *exp. fid*., 43 (200, 29): Χρὴ εἰδέναι ὡς ὁ Θεὸς προηγουμένως θέλει πάντας σωθῆναι καὶ τῆς βασιλείας αὐτοῦ τυχεῖν· οὐ γὰρ ἐπὶ τὸ κολάσαι ἔπλασεν ἡμᾶς, ἀλλὰ πρὸς τὸ μετασχεῖν τῆς ἀγαθότητος αὐτοῦ ὡς ἀγαθός. Ἁμαρτάνοντας δὲ θέλει κολάζεσθαι δικαίως.

Blemm., *vit. fin.* I (2, 26–29): Ἐπεὶ τοίνυν ἀληθής ἐστιν ὁ Θεὸς καὶ τὰ λόγια αὐτοῦ ἀληθινὰ κατὰ τὸν ἐν προφήταις μέγαν Δαυίδ, φησὶν οὖν ἀληθῶς ὁ Θεός· “Οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν”…

Theoph. Nic., *de aet. mundi* 36 (33, 23–25): οἷον θέλει ὁ Θεὸς πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πλὴν συνεργούσης καὶ τῆς ἡμετέρας θελήσεως.

21 τῆς…εὐτάκτως

Sap. Sol. 8:1: Διατείνει δὲ ἀπὸ πέρατος ἐπὶ πέρας εὐρώστως καὶ διοικεῖ τὰ πάντα χρηστῶς.

5.2. 10–11 ἐξελέξατο… υἱοθεσίαν

Eph. 1, 4–5: Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ.

12–13 Οὓς… ἐδόξασε

Rom. 8, 29–30: …οὓς προέγνω, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν· καὶ οὓς ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσεν, τούτους καὶ ἐδόξασεν.

Anast. S., *qu. et resp*. 99, 3 (157, 27–35): Ὅμως, εἰπὼν ὁ θεῖος Ἀπόστολος ὅτι “Οὓς προέγνω ὁ Θεός, τούτους καὶ προώρισε”, λέλυκε πάντα τὰ προκείμενα ζητήματα· οἷον προέγνω τὸ ἀμετανόητον τοῦ Φαραώ, καὶ ἐσκλήρυνε τὴν καρδίαν αὐτοῦ, ὅπως καταδιώξῃ τὸν Ἰσραὴλ καὶ ποντισθῇ· προέγνω τὸ εὐθὲς τοῦ Ἱερεμίου, καὶ προώρισεν αὐτὸν ἐκ μήτρας ἁγιάσας εἰς προφήτην· προέγνω τὴν ἀσέβειαν Σοδόμων, καὶ ἐποίησεν αὐτοὺς σκεύη ἀτιμίας ἐμπρησμοῦ· προέγνω τὴν μετάνοιαν Παύλου, καὶ προώρισεν αὐτὸν εἰς σκεῦος ἐκλογῆς.

Nic. Meth., *vit. term.* II, 250: Δηλοῖ δὲ αὖθις ὁ Παῦλος, “Οὓς προέγνω τούτους καὶ προώρισε” λέγων.

14–16 Εἰ… ἀπώλειαν

Rom. 9, 22: Εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν…

17–18 ἀπηλλοτριωμένους… πεπωρωμένους

Eph. 4, 18: ἐσκοτωμένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν.

18–20 σκεύη… ἡτοιμασμένα

II Tim. 2, 20–21: Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμὴν ἃ δὲ εἰς ἀτιμίαν· ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ

τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Bas., *Deus non auct. mal.* **31** (340B–C): Καὶ ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ τὸ μέν τοι χρυσοῦν ἐστι σκεῦος, τὸ δὲ ἀργυροῦν, τὸ δὲ ὀστράκινον, τὸ δὲ ξύλινον, τῆς προαιρέσεως ἑκάστου τὴν πρὸς τὰς ὕλας ὁμοιότητα παρεχομένης, καὶ χρυσοῦν μὲν ἔστι σκεῦος ὁ καθαρὸς τὸν τρόπον καὶ ἄδολος, ἀργυροῦν δὲ ὁ ὑποδεέστερος ἐκείνου κατὰ τὴν ἀξίαν, ὀστράκινον δὲ ὁ τὰ γήινα φρονῶν καὶ πρὸς συντριβὴν ἐπιτήδειος, καὶ ξύλινον ὁ εὐκόλως διὰ τῆς ἁμαρτίας καταρρυπούμενος καὶ ὕλη γινόμενος τῷ αἰωνίῳ πυρί· οὕτω καὶ "ὀργῆς σκεῦος" ὁ πᾶσαν τὴν τοῦ διαβόλου ἐνέργειαν ὥσπερ ἀγγεῖον χωρήσας καὶ διὰ τὴν ἐγγενομένην αὐτῷ ἐκ τῆς φθορᾶς δυσωδίαν οὐκέτι ἀχθῆναι πρὸς χρῆσιν δυνάμενος, ἀλλ' ἀφανισμοῦ μόνου καὶ ἀπωλείας ἄξιος.

22–23 τῇ … στάσει
Mat. 25, 33: καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων.

5.3. 1–3 Ταύτην … τελευτῆς
Anast. S., *qu. et resp*. 99, 7 (159, 68–79): Μηδεὶς τοίνυν παρ' ἡμῖν λεγέτω κατὰ τοὺς ἀσεβεῖς τούτους, ὅτι Ὃν θέλει ὁ Θεός, σῴζει, ὃν δὲ θέλει, ἀπόλλυσι, ἐπεὶ ἄδικον ποιεῖ τὸν Θεόν· εἰ γὰρ αὐτὸς τὸν ἁμαρτωλὸν ἀπώλεσε, διὰ τί αὐτὸν ἐν τῇ κολάσει ἐκπέμπεται; Ἅμα δὲ καὶ "προσωπολήπτης" φανήσεται "ὁ Θεός", ὡς τοὺς μὲν σώσας, τοὺς δὲ ἀπολέσας. Ἀλλ' οὐχ' οὕτως, μὴ γένοιτο, ἀλλὰ δέδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ τὸ αὐτεξούσιον, καὶ ἔστησεν ἐνώπιον αὐτοῦ τὴν ὁδὸν τῆς ζωῆς, ὡσαύτως καὶ ὁ διάβολος τὴν ὁδὸν τῆς ἁμαρτίας, καὶ ὅπου θέλει ὁ ἄνθρωπος πορεύεται· διὸ τοῖς μὲν δικαίοις ὁ Θεὸς τὴν βασιλείαν τῶν οὐρανῶν ἀντιμισθίαν δίδωσι τῆς ἀγαθῆς προαιρέσεως, ὁμοίως καὶ τοῖς ἁμαρτωλοῖς κόλασιν τῆς κακῆς αὐτῶν προαιρέσεως.

8–9 πάντων … πιστῶν
I Tim. 4, 10: Εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ἀγωνιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

20–22 πάντας … φαίνων
Mat. 5, 44–45: …ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

24–27 δόξα … πεπλανημένῳ
Rom. 2, 10: Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

29–34 Μᾶλλον … συνεργεῖσθαι
Nic. Meth., *vit. term.* I, 231: Ἐγὼ δὲ παρὰ τῆς θείας σοφίας οἶδα μαθών, ὅτι τοῖς μὲν ἀγαπῶσι τὸν Θεὸν "πάντα συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν" […]· οὔτε δὲ συμπράττει τοῖς κακῶς πράττουσιν, ἀλλὰ μόνος ἐκ τῆς παρ' αὐτῷ κειμένης τοῦ αὐτεξουσίου πηγῆς ὁ κατὰ προαίρεσιν κακὸς ἀντλεῖ τὰ κακά.

6.2. 4–9 Ἀλλ … σῴζονται
Marc. Eug., *vit. term.* 354: Οὕτω δὴ καὶ εἴ τις ἕτερος ἐξήρπασται τοῦ θανάτου θαυματουρίᾳ τινὶ θείᾳ καὶ πρεσβείαις ἁγίων, οὐ τὸ μὴ εἶναι ζωῆς ὅρους, ἀλλὰ τὸ εἶναι μᾶλλον ἐνδείκνυται, τοῦ Θεοῦ δυναμένου τοὺς πεπηγότας ὅρους ὑπερθέσθαι τε μεταβαλλομένων ἀπὶ τὸ κρεῖττον ἡμῶν, καὶ αὖθις ἐπιτεμεῖν πρὸς τὸ χεῖρον ὑπαγομένων.

25 Δώσω…ὑμῶν

Ier. 3, 15: Καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ' ἐπιστήμης.

Mat. 7, 12: Πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Mat. 22, 37–40: ὁ δὲ ἔφη αὐτῷ, Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶν ἡ μεγάλη καὶ πρώτη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται.

Luc. 16, 16: Ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται καὶ πᾶς εἰς αὐτὴν βιάζεται.

Anast. S., *qu. et resp*. 65, 1 (115, 1–10): Ἐρώτησις: Τοῦ Ἀποστόλου λέγοντος ὅτι «αἱ ἐξουσίαι αἱ οὖσαι ἐν τῷ κόσμῳ ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν», ἆρα λοιπὸν πᾶς ἄρχων καὶ βασιλεὺς ὑπὸ τοῦ Θεοῦ προχειρίζεται; Ἀπόκρισις: Τοῦ Θεοῦ ἐν τῷ Νόμῳ λέγοντος ὅτι «Δώσω ὑμῖν ἄρχοντας κατὰ τὰς καρδίας ὑμῶν», λέγομεν ὅτι οἱ μὲν τῶν ἀρχόντων καὶ βασιλέων ὡς ἄξιοι τῆς τοιαύτης τιμῆς προχειρίζονται ὑπὸ τοῦ Θεοῦ, οἱ δὲ πάλιν ἀνάξιοι ὄντες πρὸς τὸν ἄξιον λαὸν τῆς αὐτῶν ἀναξιότητος κατὰ Θεοῦ συγχώρησιν ἢ βούλησιν προχειρίζονται· καὶ ἄκουσον περὶ τούτων καὶ διηγήσεων τινῶν.

30 Ἁμαρτία…λαοῦ

Prov. 29, 4: Βασιλεὺς δίκαιος ἀνίστησιν χώραν, ἀνὴρ δὲ παράνομος κατασκάπτει.

Sir. 10, 1–3: Κριτὴς σοφὸς παιδεύσει τὸν λαὸν αὐτοῦ, καὶ ἡγεμονία συνετοῦ τεταγμένη ἔσται. Κατὰ τὸν κριτὴν τοῦ λαοῦ οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ, καὶ κατὰ τὸν ἡγούμενον τῆς πόλεως πάντες οἱ κατοικοῦντες αὐτήν. Βασιλεὺς ἀπαίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ, καὶ πόλις οἰκισθήσεται ἐν συνέσει δυναστῶν.

35–36 Θαρσεῖτε…ἀπώλειαν

Bar. 4, 5–6: Θαρσεῖτε, λαός μου, μνημόσυνον Ισραηλ. Ἐπράθητε τοῖς ἔθνεσιν οὐκ εἰς ἀπώλειαν, διὰ δὲ τὸ παροργίσαι ὑμᾶς τὸν Θεὸν παρεδόθητε τοῖς ὑπεναντίοις.

38–39 Ἐγὼ…γνῷς

Is. 47, 6–9: Παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου· ἐγὼ ἔδωκα εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα. καὶ εἶπας Εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα· οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου οὐδὲ ἐμνήσθης τὰ ἔσχατα. Νῦν δὲ ἄκουσον ταῦτα, ἡ τρυφερὰ ἡ καθημένη πεποιθυῖα ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα· οὐ καθιῶ χήρα οὐδὲ γνώσομαι ὀρφανείαν. Νῦν δὲ ἥξει ἐξαίφνης ἐπὶ σὲ τὰ δύο ταῦτα ἐν μιᾷ ἡμέρᾳ· χηρεία καὶ ἀτεκνία ἥξει ἐξαίφνης ἐπὶ σὲ ἐν τῇ φαρμακείᾳ σου ἐν τῇ ἰσχύι τῶν ἐπαοιδῶν σου σφόδρα.

6.2. 39– 7.1. 25 Ἀλλὰ…συμμετρουμένην

Nic. Meth., *vit. term.* II 241: Πάντα ταῦτα καὶ τὰ τοιαῦτα καὶ αἱ μυριάκις ἐπὶ μυρίοις τοῖς ἑκάστοτε ἐκβαίνουσι καὶ ἐκβησομένοις ἐκφωνηθεῖσαι θεῖαι προρρήσεις συμπείθουσί με μὴ μόνον τὸ πέρας τῆς καθ' ἡμᾶς ζωῆς, ἀλλὰ δὴ καὶ τὸ ὅλον εἶδος αὐτῆς, καὶ τὰς τῶν διαφόρων βίων ἐξαλλαγάς, καὶ τὰς κοινὰς ἐθνῶν ἢ πόλεων ἢ χωρῶν ἢ γενῶν ἢ ἡλικιῶν, οὐ πολὺ δὲ εἰπεῖν καὶ ἰδίας ἑκάστου καὶ περὶ ἕκαστον δοκούσας ἀτυχίας ἢ εὐτυχίας, καὶ νόσους καὶ ὑγείας, εἰ καὶ μὴ πάσας (ἔστι γὰρ ἃ καὶ ἡ φύσις ἐν ἡμῖν δρᾷ, καίτοι ἔξεστι καὶ ταύτην ὅρον ἐκ Θεοῦ δεδομένον εἰπεῖν) καὶ πάντα ἁπλῶς τὰ περὶ τὴν ἡμετέραν ζωὴν πολυτρόπως οἰκονομούμενα κατὰ θείαν συντίθεσθαι πρόγνωσιν καὶ προόρησιν γίνεσθαι.

ibid. II 252: Ἄθρει δή μοι καὶ τὰς κοινὰς καὶ πολυανθρώπους ἐπαγωγὰς καὶ δοκούσας ἀώρους πανωλεθρίας ἀπό τε πολέμων, ἀπό τε λοιμῶν, ἢ λιμῶν, ἢ σεισμῶν, ἢ χασμάτων γῆς αἰφνιδίων, ἢ ναυαγίων, ἢ ἐκπυρώσεων, ἢ ἄλλων ὠντινωνοῦν συμπτωμάτων πολλῶν πολυτρόπως τῷ καθ' ἡμᾶς συγκυρούντων βίῳ· ὡς εἰ καὶ μὴ πάντες ὅσοι τὸν κοινὸν οὕτως ὑπέστησαν κίνδυνον τῆς αὐτῆς ἡλικίας ἢ τοῦ ὁμοίου βίου τυγχάνουσιν ὄντες, ὅμως κατὰ τοὺς ἀρρήτους λόγους τῆς θείας προνοίας καὶ τὰ ἀνεξερεύνητα κρίματα ἄλλα περὶ ἄλλους, καὶ πάντα σοφῶς ἄγαν καὶ ὡς [lac.] καταλάβοιμεν, προνοεῖται καὶ διεξάγεται, καὶ οὐδὲν τὴν θείαν διαφεύγει βουλήν τε καὶ πρόγνωσιν καὶ προόρισιν, ἀλλὰ καὶ ἡ σωτηρία τῶν σωζομένων καὶ πᾶσα μεταβολὴ καὶ φθορὰ καὶ κίνησις καὶ ἀλλοίωσις ἐκεῖθεν ἤρτηται.

7.1.,14–19 ὥσπερ… ἠττώμενοι

Ep. 300 (222–224): Τὸ δὲ πρὸ ὥρας καὶ πρὶν κορεσθῆναι τοῦ βίου καὶ πρὶν εἰς μέτρον ἡλικίας ἐλθεῖν καὶ φανῆναι τοῖς ἀνθρώποις καὶ διαδοχὴν τοῦ γένους καταλιπεῖν, ταῦτα οὐκ αὔξησις τοῦ πάθους, ὡς ἐμαυτὸν πείθω, ἀλλὰ παραμυθία τοῦ γεγονότος ἐστίν. Εὐχαριστεῖσθαι ὀφείλει τοῦ Θεοῦ ἡ διάταξις, ὅτι μὴ κατέλιπεν ἐπὶ γῆς ὀρφανὰ τέκνα, ὅτι μὴ γυναῖκα χήραν θλίψει μακρᾷ ἔκδοτον ἀφῆκεν ἢ ἀνδρὶ ἑτέρῳ συνοικήσουσαν καὶ τῶν προτέρων γάμων καταμελήσουσαν. Τὸ δὲ ὅτι οὐ παρετάθη τῷ βίῳ τούτῳ ἡ ζωὴ τοῦ παιδός, τίς οὕτως ἀγνώμων ὡς μὴ τὸ μέγιστον τῶν ἀγαθῶν τοῦτο νομίζειν εἶναι; Ἡ γὰρ ἐπὶ πλεῖον ἐνταῦθα διατριβὴ πλειόνων κακῶν ἐστιν ἀφορμή. Οὐκ ἐποίησε κακόν, οὐκ ἔρραψε δόλον τῷ πλησίον, οὐκ εἰς ἀνάγκην ἦλθε φατρίαις μιγῆναι πονηρευομένων, οὐκ ἐνεπλάκη τοῖς κατ' ἀγορὰν κακοῖς, οὐχ ὑπέμεινεν ἀνάγκην ἁμαρτημάτων, οὐ ψεῦδος, οὐκ ἀγνωμοσύνην, οὐ πλεονεξίαν, οὐ φιληδονίαν, οὐ τὰ τῆς σαρκὸς πάθη, ὅσα ταῖς ἀναγώγοις ψυχαῖς ἐγγίνεσθαι πέφυκεν· οὐδεμιᾷ τούτων κηλῖδι τὴν ψυχὴν ἀπῆλθε κατεστιγμένος, ἀλλὰ καθαρὸς ἀνεχώρησε πρὸς τὴν ἀμείνω λῆξιν. Οὐ γῆ κατέκρυψε τὸν ἀγαπητόν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Θεὸς ὁ τὰ ἡμέτερα οἰκονομῶν, ὁ τὰς τῶν χρόνων ὁροθεσίας ἑκάστῳ νομοθετῶν, ὁ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην, αὐτὸς καὶ μετέστησεν.

15–16 Μάτην… ἐδέξασθε

Ier. 2, 30: Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε· μάχαιρα κατέφαγεν τοὺς προφήτας ὑμῶν ὡς λέων ὀλεθρεύων, καὶ οὐκ ἐφοβήθητε.

19–22 ἡ… ἔχουσι

Marc. Eug., *ad Reg.* 28, 518–29, 523: Τὶ γὰρ ὄφελος, φησὶν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, ἁλουργίδος καὶ χρυσῶν ἱματίων καὶ διαλίθου στεφάνου, ὅταν ἡ ψυχὴ ὑπὸ τῶν παθῶν αἰχμάλωτος ᾖ; Τὶ δὲ κέρδος ἐκ τῆς ἔξωθεν ἐλευθερίας, ὅταν τὸ κυριώτερον ἐν ἡμῖν δουλαγωγεῖται αἰσχρῶς καὶ ἐλεεινῶς;

7.2. 3–30 Φθορὰ… πεπονθόσιν

Marc. Eug., *vit. term.* 355–356: Καὶ ἀκουέτωσαν λοιπὸν ἅπερ οἱ τὴν εἱμαρμένην δοξάζοντες, ὡς οὔτε ἰατροὺς δεήσει καλεῖν, οὔτε τὰ πρὸς θεραπείαν τῶν νοσούντων ἐπιτηδεύειν. Πῶς δὲ καὶ λοιμὸς ἀφ' ἑτέρου πρὸς ἕτρον διαδίδοται, καὶ πολλοὶ θεραπεύοντες ἑτέρους ἐπαπέθανον τοῖς θεραπευομένοις, λεγέτω ὁ τοὺς ὅρους εἰσάγων. Ἀλλὰ τὰ τοιαῦτα πάντα προσεχῶς μὲν ἡ φύσις ἐνεργεῖ καὶ ὁ σύμπας καιρὸς ἑκάστοτε·συγχωρεῖν δὲ ὁ Θεὸς, οὐκ ἐνεργεῖν λέγεται, μή τι γε δὴ προορίζειν. [...] Οὕτω δή, καὶ τοὐναντίον ἐπὶ θανάτου ζωῆς ὅρον ἐκλαμβάνειν προσῆκε τὸν πεπηγότα λόγον τῆς φύσεως, ὃς ἑκάστῳ τὸ ζῆν ἐφ' ὁσονοῦν φυσικῶς ἐπεμέτρησε· λύει δὲ αὐτὸν ὁ Θεός, ἡνίκα βούλεται, πάντως πρὸς τὸ συμφέρον, ὁ καὶ τὴν φ΄συιν αὐτὴν συστησάμενος. Διὰ τοῦτο καὶ πολλοὶ πολλάκις ἐκ θανατικῶν τε νόσων καὶ κινδύνων μεγάλως παραδόξως ἐσώθησαν· ἕτεροι δέ, νοσοῦσι συναναστρεφόεμνοι καὶ τὸν αὐτὸν αὐτοῖς ἀέρα σπῶντες, ἀσινεῖς ἐφυλάχθησαν.

13 Οὐ…νοσοῦσι

Germ., *vit. term.* 10,10–16: Οὐκοῦν ἀνάγκη κατὰ σὲ πάντα τὸν νοσοῦντα ἁπλῶς τελευτᾶν τὸν βίον· νῦν δὲ ὁρῶμεν τινὰς μέν, εἰ καὶ σπανιάκις, ὅμως καὶ δίχα τοῦ νοσεῖν τῷ θανάτῳ ὑπαγομένους, τινὰς δὲ καὶ μεγίστοις νοσήμασιν καὶ ἐπὶ πολὺ προσομιλήσαντας, ὡς καὶ παρὰ τῶν ἰατρευόντων ἀπεγνῶσθαι αὐτοῖς τὰ τῆς ὑγείας, ἀνενεγκόντας τῆς ἀρρωστίας ἐπὶ μήκιστον ἔσθ' ὅτε τὴν ζωὴν παρατεῖναι.

14 διὰ…βούλησιν

Germ., vit. *term.* 12, 3–5: Ζωὴν δὲ ἀνθρώποις ἐπιμετρῆσαι μόνου ἐκείνου ἐστὶν περὶ οὗ φησιν ὁ προφήτης· 'ποιῶν γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς'…

15–16 Ποῦ…φύγω

Ps. 138, 7: Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;

8. 3 ὃς…ζωογονεῖ

I Reg. 2, 6: Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

26–28 Μὴ…εὐσεβείας

Bas., *in Jul.* 31 (248C): Μὴ ἀγριάνῃς τῷ πάθει μηδὲ αὐτόματόν τινα εἶπῃς εἶναι συντυχίαν τῶν γινομένων, ὡς μηδενὸς προστάτου τὸν κόσμον οἰκονομοῦντος· μηδὲ κακόν τινα δημιουργὸν ὑπόθῃς, ἐκ τῆς κατὰ τὴν λύπην ἀμετρίας πονηρὰ δόγματα ὑποτιθέμενος σεαυτῷ, ἀλλὰ μηδὲ ἐκπέσῃς τῶν ὅρων τῆς εὐσεβείας.

29–32 Προδιατεταγμένον…τρόπον

Bas., *in Jul.* (249C): Οὕτω καὶ τοῖς ἐν γάμῳ ἢ ἄλλῃ τινὶ κοινωνίᾳ βίου συνημμένοις ἴδιον προέκειτο δηλονότι τῆς ζωῆς τὸ πέρας· συναφθέντας δὲ ἀλλήλοις ἀναγκαίως τὸ προδιατεταγμένον τῆς ζωῆς τέλος ἐχώρισε καὶ διέλυσεν.

Id., *mor.* 11 / *mort*. 32 (1269A-B): Αὐτὸς γὰρ οἶδε πῶς ἑκάστῳ διατίθησι τὸ συμφέρον καὶ διὰ τί ἄνισα τίθησιν ἡμῖν τοῦ βίου τὰ πέρατα. Ἔστι γάρ τις ἀνθρώποις αἰτία ἀκατάληπτος, δι' ἣν οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται, οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται.

35–37 Ὅτι…ἄδικον

Max., *Cap. theol.* II (90, 1228D): Ὃ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου διορίσας ζωὴν πρὸ τῶν αἰώνων Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον, εἴτε ἄδικον

Max., *Quaest. ad Thalass.* XXXII (90, 384C): Ὅτι γὰρ τρόπῳ βούλεται ὁ τὴν ἑκάστου πρὸ τῶν αἰώνων συμφερόντως διορίσας ζωὴν Θεός, ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς ζωῆς ἄγει τέλος, εἴτε δίκαιον εἴτε ἄδικον.

38–39 τοὺς…παραιτούμενος

I Tim. 4, 7: Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. Γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν.

Λόγος Ε΄

2.2.,2 εἰκόνα

Gen. 1,26: καὶ εἶπεν ὁ Θεός· 'Ποιήσωμεν ἄνθρωπον κατ'εἰκόν αἡμῶν καὶ καθ'ὁμοίωσιν'.

3. 8–9 πάντας…ἐλθεῖν

I Tim. 2, 3–4: …τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

Theoph. Nic., *de aet. mundi* 36 (33,23–25): οἷον θέλει ὁ Θεὸς πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πλὴν συνεργούσης καὶ τῆς ἡμετέρας θελήσεως.

13–14 λάμπειν… ἀδίκους

Mat. 5, 44–45: …τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

19–21 δόξα…ἀπίστῳ

Rom. 2, 10: Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι·

24–27 προνοεῖ…σπουδῇ

I Tim. 4, 10: Εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ἀγωνιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.

4.1. 1–4 Οὐκοῦν… τυγχάνουσιν

Dem. Cyd., *de contemn. morte* XVI (31, 1–3): …ἢ τὰς σωματικὰς ἡδονάς, εἴ τις παραβάλλειν ἐθέλοι, εἴδωλα μᾶλλον ἡδονῶν, ἢ τοῦθ' ὃ καλοῦνται μετ' ἀληθείας ἐρεῖ.

Marc. Eug., *ad Reg.* 24 (379–380): Τοῖς τοίνυν ἐνταῦθα μὴ διαπλάσασιν ἑαυτοὺς κατὰ τὴν ἀρετὴν προαιρετικῶς, μηδὲ πρὸς ἐκεῖνον μορφωθεῖσι τὸν βίον, ἀδύνατον ἐκεῖ τὸ τέλειον ἀπολαβεῖν.

28–30 ἐν…γινώσκονται

Pleth., *fat.* 68: Νῦν δ' οἵ τε θεοὶ ἴσασι δήπου τὰ ἐσόμενα, οἵπερ καὶ ὁρίζουσί τε αὐτὰ, καὶ ἐν σφίσιν αὐτοῖς ἔχουσι παρόντα ἀεὶ τῇ αἰτίᾳ, κἂν μήπω τήν γε αὐτῶν γένεσιν ἀπειληφότα ᾖ· ἴσασι δὲ οὐκ ἄλλως, ἢ τῷ διατιθέναι τε καὶ αἴτιοι εἶναι αὐτῶν· οὐ γὰρ ἂν τῷ διατίθεσθαί πη ὑπὸ τῶν τῇδε γινώσκοιεν αὐτά.

32–34 τὸ[2]…παρεῖναι

Nic. Meth., *vit. term.* I, 234: Οὐχ οἱ ὅροι δὲ ὑφιστάνουσι τὰ γινόμενα, ἀλλ' αὐτοὶ διὰ ταῦτα μᾶλλον τὴν ὑπόστασιν ἔχουσι.

4.2.,19 Ὀλίγον…ἐστι

Bas., *mor.* 14 / *jud*. 32 (1300D): Ὀλίγων δέ ἐστι τὸ προσελθεῖν τῷ φωτὶ τῷ ἀληθινῷ, καὶ ἀποκαλύψαι, καὶ μετὰ τὴν ἀποκάλυψιν τῶν κρυπτῶν, μὴ ἀπελθεῖν αἰσχυνθέντας τὰ πρόσωπα.

5. 3–4 καὶ… Θεός

Hesych., *fr. Ps.* 103 (1031D): Κραυγὴν ὁ Θεὸς οὐ τὴν διὰ φωνῆς γενομένην, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας λογίζεται· ἐπεὶ καὶ Μωϋσέως σιωπῶντος ἔλεγε, «Τί βοᾷς πρός με;» (Ex. 14,15).

24–25 Αἰτεῖτε…ὑμῖν

Mat. 7, 7: Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

29–30 Αἰτεῖτε… αἰτεῖσθε

Iac. 4, 3: Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.

37–38 Σπουδάσατε…ποιεῖσθαι

II Pet. 1, 10: Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε.

6.,7 τὰ…πάντα

Mat. 6, 33: Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

13–14 προορᾶν…σαλευθῶσιν

Ps. 15, 8: Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ.

15-16 ἄνευ…Θεοῦ

Act. 14, 21-22: …διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

18 μὴ[1]…πειρασμόν

Mat. 6, 13: Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Luc. 11, 4: Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

27–28 Πιστός…δυνάμεθα

I Cor. 10, 13: πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν.

β) *Apparatus fontium Thomisticorum*

Λόγος Α΄

1–7 Τὴν…ἐξομοιοῖ

SG III, 93.5 (*Taurin.* XXIII, 236v, 8–19) = *FT II* 5 (357,19–32): Τινὲς δὲ εἰς τὴν τῆς θείας προνοίας διοίκησιν πάντα ἀνάγειν ἠθέλησαν, ὅσα ἐν τοῖς ὑποκάτω τούτοις ἀπὸ τύχης συμβαίνειν δοκεῖ. Ὅθεν ὑπὸ τῆς εἱμαρμένης εἶπον ἄγεσθαι πάντα, τὴν ἐν τοῖς πράγμασιν οὖσαν ἐκ τῆς θείας προνοίας τάξιν ὀνομάζοντες ‘εἱμαρμένην’. Ὅθεν φησὶ καὶ ὁ Βοήτιος ὅτι “εἱμαρμένη ἐστὶν ἡ τοῖς κινουμένοις πράγμασι συντεταγμένη διάθεσις, δι᾽ ἧς ἡ πρόνοια πάντα ταῖς ἑαυτῆς τάξεσι στρέφει”. Ἐν ταύτῃ τοίνυν τῇ τῆς εἱμαρμένης ὑπογραφῇ ἡ ‘διάθεσις’ ἀντὶ τῆς ‘τάξεως’ κεῖται, τὸ δὲ “συντετάχθαι τοῖς πράγμασι” κεῖται, ἵνα τῆς προνοίας αὐτὴν διακρίνῃ· αὐτὴ γὰρ ἡ τάξις, καθόσον ἐστὶν ἐν τῷ θείῳ νῷ, οὔπω τοῖς πράγμασιν ἐντεθεῖσα, πρόνοια ἐστί· καθόσον δὲ τοῖς πράγμασι προσάγεται, ‘‘εἱμαρμένη’’ καλεῖται. “Κινουμένοις” δὲ λέγει, ἵνα δείξῃ ὡς ἡ τῆς προνοίας τάξις τῶν πραγμάτων τὸ συμβεβηκὸς καὶ τὸ δύνασθαι κινεῖσθαι οὐκ ἀναιρεῖ, ὥς τινες ὑπέλαβον.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 7–11): Ἐπεὶ δ’ ὁ Θεὸς, αἴτιός ἐστι διὰ νοῦ τῶν πραγμάτων, ἑκάστου τῶν ἀποτελεσμάτων αὐτοῦ, ἀνάγκη ἐν αὐτῷ τὸν λόγον προϋφεστάναι, ὡς δῆλον ἐκ τῶν ἀνωτέρω· ἀνάγκη ἄρα τὸν λόγον τῆς εἰς τὸ τέλος τάξεως τῶν πραγμάτων ἐν τῷ θείῳ νῷ προϋφεστάναι· ὁ δὲ λόγος τῶν εἰς τὸ τέλος ταχθησομένων ἡ κυρίως πρόνοια ἐστίν.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 20–24): Αὐτὸς τοίνυν ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πράγμάτων ‘πρόνοια’ ἐν τῷ Θεῷ ὀνομάζεται· ὅθεν ὁ Βοήτιος ἐν τῷ τετάρτῳ τῶν *Παραμυθητικῶν* φησί “πρόνοια γάρ ἐστιν, ὁ ἐν τῷ ἄκρῳ ἄρχοντι πάντων, καθεστὼς θεῖος λόγος καὶ πάντα διοικῶν”· ‘διοίκησις’ δὲ δύναται λέγεσθαι καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως τῶν πραγμάτων, καὶ ὁ τῶν ἐν τοῖς πράγμασι μερῶν λόγος τῆς τάξεως.

ST Ia, Q. 22, A. 3 Resp. (*Vatop*. 254, 115r, 27–115v, 1): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τῇ προνοίᾳ δύο ἀνήκει, ὅ τε λόγος τῆς τάξεως τῶν προνοουμένων πραγμάτων καὶ ἡ τῆς τοιαύτης τάξεως διαχείρισις, ἥτις ‘διεξαγωγὴ’ λέγεται· ὅσον τοίνυν πρὸς τὸ πρότερον, ἀμέσως πάντων ὁ Θεὸς προνοεῖ, διὰ τὸ ἐν τῷ θείῳ νῷ τὸν λόγον εἶναι τῆς τάξεως πάντων καὶ τῶν ἐλαχίστων καὶ ὅσας αἰτίας τινῶν ἀποτελεσμάτων δέδωκεν αὐταῖς δύναμιν πρὸς τὸ παράγειν ἐκεῖνα τὰ ἀποτελέσματα· ὅθεν ἀνάγκη τὴν τάξιν τῶν ἀποτελεσμάτων ἐκείνων ἐν τῷ αὐτοῦ λόγω προειληφέναι.

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 31–117r, 4–60): …ὥσπερ ἐστὶν ἐν αὐτῷ καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὃν φαμὲν ‘πρόνοιαν’, ὁ δὲ τοῦ γενησομένου λόγος ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων προϋπόστασίς τίς ἐστι τοῦ γενησομένου πράγματος.

7–10 ἀλλὰ…διδασκαλείου

ST Ia, Q. 116, A. 1 Resp. (*Coisl*. 280, 404v 15–19) = *FT I* 10 (134,25–30): Τοῦτο δὲ τῷ ὀνόματι παρῃτήσαντο χρήσασθαι οἱ θεῖοι διδάσκαλοι, διὰ τοὺς τοῦτο τὸ ὄνομα ἐπὶ τὴν δύναμιν τῆς τῶν ἄστρων θέσεως τοῦτο μεθέλκοντας· ὅθεν Αὐγουστῖνος φησὶν ἐν τῷ *περὶ τῆς Πολιτείας τοῦ Θεοῦ* “εἰ διὰ τοῦτο τις τῇ εἱμαρμένῃ τὰ ἀνθρώπινα ἀποδίδωσιν, ὅτι καὶ αὐτὴν τὴν τοῦ Θεοῦ βούλησιν ἢ δύναμιν τῷ τῆς εἱμαρμένης ὀνόματι καλεῖ, τῆς μὲν δόξης ἐχέσθω, τὴν δὲ γλῶτταν σωφρονιζέτω”.

SG III, 93.6 (*Taurin.* XXIII, 236v, 19–28) = *FT II* 5 (356,33–358,43): Κατὰ ταύτην τοίνυν τὴν ἐκδοχὴν τὴν εἱμαρμένην ἀρνεῖσθαι τὴν θείαν ἐστὶ πρόνοιαν ἀρνουμένων. Ἀλλ᾽ ἐπεὶ “οὐδ᾽ ὀνόματα κοινὰ τοῖς ἀπίστοις ὀφείλομεν ἔχειν”, ἵνα μὴ ἐκ τῆς κοινωνίας τῶν ὀνομάτων

ἀφορμὴ γένηται πλάνης, τοὺς πιστοὺς οὐ δεῖ τῷ τῆς ‘εἱμαρμένης’ ὀνόματι χρῆσθαι, ἵνα μὴ δοκῶμεν ἐκείνοις συντίθεσθαι, οἳ κακῶς περὶ τῆς εἱμαρμένης ὑπέλαβον πάντα ταῖς ἀνάγκαις τῶν ἀστέρων ὑποτιθέντες. Ὅθεν Αὐγουστῖνος φησὶν ἐν τῷ πέμπτῳ τοῦ *Περὶ τῆς πόλεως τοῦ Θεοῦ*· “εἴ τις τὴν τοῦ Θεοῦ δύναμιν ἢ τὴν ἐξουσίαν τῷ τῆς ‘εἱμαρμένης’ ὀνόματι καλοίη, τῆς δόξης ἐχέσθω, τὴν δὲ γλῶσσαν σωφρονιζέτω”. Καὶ Γρηγόριος κατὰ τὴν αὐτὴν δόξαν φησίν· “ἀπείη τῆς τῶν πιστῶν διανοίας εἱμαρμένην εἶναί τι λέγειν”.

SG III, 73.7 (*Taurin.* XXIII, 217v, 7–9): Διὰ τούτων δὲ καὶ ἡ τῶν Στωϊκῶν αἵρεσις ἀναιρεῖται, οἳ κατά τινα τῶν αἰτίων τάξιν ἀμεταποίητον, ἣν ἑλληνικῶς ‘εἱμαρμένην’ ὠνόμαζον, πάντα ἐξ ἀνάγκης ἔλεγον προϊέναι.

SG III, 84.10 (*Taurin.* XXIII, 227r, 21–23): Ὅθεν καὶ οἱ Στωϊκοὶ γεγόνασιν, οἵτινες ἀνάγκῃ τινὶ εἱμαρμένῃ ὑπέθεντο τὴν τῶν ἀνθρώπων ἄγεσθαι ζωήν.

9 προνοίας

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 20–21): Αὐτὸς γάρ ἐστι τὸ ἔσχατον τέλος· αὐτὸς τοίνυν ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πραγμάτων, ‘πρόνοια’ ἐν τῷ Θεῷ ὀνομάζεται.

9 προορισμοῦ

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 7–8): Ὅθεν ὁ λόγος τῆς ὁδηγίας τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν τῆς λογικῆς κτίσεως ‘προορισμὸς’ ὀνομάζεται.

10–12 Ἔπειτα … τιθεῖσι

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 113v, 28–32): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τὴν πρόνοιάν τινες μὲν παντελῶς ἀπηρνήσαντο, ὥσπερ Δημόκριτος καὶ Ἐπίκουρος, ὑποτιθέμενοι τὸν κόσμον αὐτομάτως γενέσθαι· τινὲς δὲ ἐνόμισαν τὰ ἄφθαρτα μόνον τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ, τὰ δὲ φθαρτὰ καὶ αὐτὰ μὲν κατὰ τὰ ἄτομα οὐδαμῶς, ἀλλὰ μόνον κατὰ τὰ εἴδη· οὕτω γὰρ κἀκεῖνα ἄφθαρτα εἰσίν.

ST Ia, Q. 116, A. 1 Resp. (*Coisl*. 280, 404r, 13–16): Τινὲς δὲ πάντα τὰ ἀπὸ τύχης καὶ αὐτομάτου ἐν τοῖς ὑποκάτω τούτοις συμβαίνοντα, εἴτε ἐν τοῖς φυσικοῖς εἴτε ἀνθρωπίνοις, εἰς ὑψηλοτέραν τινὰ αἰτίαν ἀνάγειν ἠθέλησαν, τουτέστιν εἰς τὰ οὐράνια σώματα· καὶ κατὰ τοῦτο οὐδὲν ἄλλο ἐστὶν ἡ εἱμαρμένη ἢ ἡ τῶν ἄστρων διάθεσις.

21–25 Προϋποτιθέμεθα … συμφωνεῖ

ST II^{a} II^{ae}, Q. 1, A. 8 Resp. (t. 15, 49,11–14) =*Par. Gr.* 1237, f. 6r / 9r), 22–24: Πρὸς τὸ πρῶτον τοίνυν λεκτέον ὅτι πολλὰ διὰ πίστεως κατέχομεν περὶ Θεοῦ, ἃ τῷ φυσικῷ λόγῳ οὐκ ἴσχυσαν ἐξευρεῖν οἱ φιλόσοφοι, οἷον περὶ τὴν αὐτοῦ πρόνοιαν καὶ τὸ παντοδύναμον καὶ τὸ μόνον ἐκεῖνον δεῖν λατρεύειν.

21–33 Προϋποτιθέμεθα … μόνοις

SG III, 49.8 (*Taurin.* XXIII, 192r, 10–18): Ἧς δὴ περὶ Θεοῦ γνώσεως ἀμηγέπη καὶ ἡμεῖς ἅψασθαι δυνάμεθα· διὰ γὰρ τῶν ἀποτελεσμάτων γινώσκομεν περὶ Θεοῦ ὅτι ἐστὶ καὶ ὅτι αἰτία τῶν ἄλλων ἐστί, τῶν ἄλλων ὑπερέχουσα καὶ “πάντων ἐξῃρημένη”. Καὶ τοῦτ’ ἐστὶν ἔσχατον καὶ τελειότατον τῆς ἡμετέρας γνώσεως, ὡς Διονύσιος φησὶν ἐν τῷ *Περὶ μυστικῆς θεολογίας* βιβλίῳ, ὅταν ὡς ἀγνώστως τῷ Θεῷ συναπτώμεθα· ὃ δὴ συμβαίνει, ὅταν περὶ Θεοῦ τὸ τί οὐκ ἔστι γινώσκομεν, τί δέ ἐστι παντελῶς ἄγνωστον μένει. Ὅθεν πρὸς τὸ τὴν ἐξοχωτάτην ἄγνοιαν ταύτην ἀποδειχθῆναι λέγεται περὶ τοῦ Μωϋσέως ἐν τῷ εἰκοστῷ τῆς Ἐξόδου ὅτι “εἰσέδυ εἰς τὸν γνόφον, ἐν ᾧ ἦν ὁ Θεός”.

SG III, 52.7 (*Taurin.* XXIII, 199v, 3–10): Ἐντεῦθεν ἐστὶν ὅπερ ἐν τῷ ἑνδεκάτῳ τῆς *Πρὸς Ῥωμαίους* λέγεται· “ἡ τοῦ Θεοῦ χάρις ζωὴ αἰώνιος”. Ἐν αὐτῇ γὰρ τῇ θεία θεωρίᾳ δείκνυμεν οὖσαν τὴν τοῦ ἀνθρώπου μακαριότητα, ἥτις “ζωὴ αἰώνιος” λέγεται. Πρὸς ἣν μόνῃ “τῇ τοῦ

Θεοῦ χάριτι" λεγόμεθα φθάνειν, ὅτι καὶ ἡ τοιαύτη θεωρία πᾶσαν εὐπορίαν κτιστὴν ὑπεραίρει καὶ πρὸς ταύτην ἀδύνατόν ἐστιν ἐλθεῖν εἰμὴ διὰ τῆς θείας δωρεᾶς. Τὸ δ' οὕτως τὰ κτίσματα ἀνάγεσθαι τῇ τοῦ Θεοῦ λογιζόμεθα χάριτι, ὡς καὶ ὁ Κύριος ἐν τῷ τρισκαιδεκάτῳ τοῦ *Ἰωάννου* φησίν· "ἐγὼ ἐμφανίσω αὐτῷ ἐμαυτόν".

SG III, 54.9 (*Taurin.* XXIII, 200v, 26–30): Ὅθεν καὶ ὁ Φιλόσοφός φησιν ἐν τῷ δευτέρῳ τῶν *Μετὰ τὰ φυσικὰ* ὡς "ὁ ἡμέτερος νοῦς οὕτως ἔχει πρὸς τὰ φανερώτατα τῶν πραγμάτων, ὥσπερ ὁ τῆς νυκτερίδος ὀφθαλμὸς πρὸς τὸν ἥλιον". Δεῖται τοίνυν ὁ κτιστὸς νοῦς θείῳ τινὶ φωτὶ πρὸς τὸ τὴν θείαν οὐσίαν ἰδεῖν δυνηθῆναι.

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 20–23): Ἔτι τὰ διδόμενα ὑπὸ τοῦ Θεοῦ τοῖς ἀνθρώποις χαρίσματα ἀποκαλύπτονται τοῖς ἁγίοις ἀνδράσι, καθώς φησιν ὁ Ἀπόστολος ἐν τῷ πέμπτῳ τῆς *Πρὸς Κορινθίους* δευτέρας, "ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου τούτου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν".

ST Ia, Q. 23, A. 8 Resp. (*Vatop*. 254, 122v, 29–30): Ὅθεν λέγεται ἐν τῷ ἐνδεκάτῳ τῆς *Πρὸς Ῥωμαίους*· "τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;".

2.1., 1–10 Αἴτιος…ἡγησάμενος

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 114r, 10–122): τὸ δὲ τοῦ Θεοῦ αἰτιῶδες, ὅς ἐστι πρῶτον ποιητικόν, ἑαυτὸ εἰς πάντα τὰ ὄντα ἐκτείνει, καὶ οὐχὶ μόνον μέχρι τῶν τοῦ εἴδους ἀρχῶν, ἀλλὰ καὶ μέχρι τῶν τοῦ ἀτόμου ἀρχῶν· οὐ τῶν ἀφθάρτων μόνον, ἀλλὰ καὶ τῶν φθαρτῶν.

SG III, 49.12 (*Taurin.* XXIII, 197v, 5–9): Καὶ περαιτέρω δὲ φανερὸν ὅτι τὸ αἰτιῶδες τινὸς καὶ ἡ δύναμις τοσούτῳ μᾶλλον γινώσκεται, ὅσῳ πλείω καὶ μείζω τούτου ἀποτελέσματα εἴη φανερά. Ἐξ οὗ φανερὸν ὡς αἱ χωρισταὶ οὐσίαι τὸ αἰτιῶδες τοῦ Θεοῦ καὶ τὴν αὐτοῦ δύναμιν ἡμῶν μᾶλλον γινώσκουσιν, εἰ καὶ ἡμεῖς πάντων τῶν ὄντων αἰτίαν ἴσμεν αὐτόν.

SG III, 64.8 (*Taurin.* XXIII, 208v, 9–10): Φανερὸν τοίνυν ὅτι ὁ Θεός ἐστιν αἴτιος τῆς ὅλης τάξεως τῶν πραγμάτων.

SG III, 69.27 (*Taurin.* XXIII, 214v, 31–34): Τὰ δὲ σώματα, σύνθετα ὄντα ἐξ ὕλης καὶ εἴδους, τῇ θείᾳ προσχωροῦσιν ὁμοιότητι, καθόσον ἔχουσιν εἶδος, ὅπερ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν *Φυσικῶν* "θεῖον τι" ὀνομάζει. Καὶ δια τοῦτο, καθόσον ἔχουσιν εἶδος, ποιοῦσι· πάσχουσι δέ, καθόσον ἔχουσιν ὕλην.

SG III, 70.6 (*Taurin.* XXIII, 214v, 38–215, 5): Ἀλλ' οὐδὲ μάταιόν ἐστιν, εἰ δι' ἑαυτοῦ πάντα τὰ φυσικὰ παράγειν δύναται ὁ Θεὸς, καὶ διά τινων ἄλλων αἰτίων ταῦτα παράγεσθαι. Οὐ γὰρ ἐκ τοῦ τὴν θείαν δύναμιν οὐκ ἀρκεῖν τοῦτ' ἐστίν, ἀλλὰ διὰ τὸ ἄπειρον τῆς ἀγαθότητος ταύτης, δι' ἣν τῆς ἑαυτοῦ ὁμοιότητος πᾶσιν κοινωνῆσαι οὐ μόνον κατὰ τὸ εἶναι, ἀλλὰ καὶ κατὰ τὸ ἑτέρων αἴτια δύνασθαι εἶναι· κατὰ γὰρ τούτους τοὺς δύο τρόπους πάντα κοινῶς τὰ κτίσματα τῆς θείας τυγχάνουσιν ὁμοιότητος, ὡς προαποδέδεικται.

ST I, Q. 22 A. 3 Resp. (*Vatop*. 254, 115r, 29–32): ὅσον τοίνυν πρὸς τὸ πρότερον, ἀμέσως πάντων ὁ Θεὸς προνοεῖ διὰ τὸ ἐν τῷ θείῳ νῷ τὸν λόγον εἶναι τῆς τάξεως πάντων καὶ τῶν ἐλαχίστων καὶ ὅσας αἰτίας τινῶν ἀποτελεσμάτων δέδωκεν αὐταῖς δύναμιν πρὸς τὸ παράγειν ἐκεῖνα τὰ ἀποτελέσματα.

ST Ia, Q. 22, A. 3 Resp. (*Vatop*. 254, 115v, 16–18): Πρὸς τὸ δεύτερον, διὰ τοῦ τὸν Θεὸν ἀμέσως ἔχειν πρόνοιαν πάντων, αἱ δεύτεραι αἰτίαι οὐκ ἀναιροῦνται· ἀποπληρωτικαὶ γάρ εἰσι τῆς τοιαύτης τάξεως, ὡς δῆλον ἐκ τῶν εἰρημένων.

10–13 διὰ…φυτά

SG III, 64.8 (*Taurin.* XXIII, 208r, 5–9): Ἐν μὲν γὰρ τοῖς ὑποκάτω σώμασι, ἃ δὴ μάλιστα τῇ τῆς φύσεως ἀνομοιότητι διίστανται τοῦ Θεοῦ, πολύ ἐστι τὸ ἀσθενὲς καὶ ἐνδέον τῆς κατὰ φύσιν ἀκολουθίας, ὥσπερ ἐν τοῖς ἀμβλώμασι καὶ τοῖς ἄλλοις τοῖς ἀπὸ τύχης· ὅπερ οὐδέποτε τοῖς οὐρανίοις συμβαίνει σώμασι, καίτοι ταῦτα μεταβλητά εἰσι τινὰ τρόπον, ὅπερ ἐν ταῖς νοεραῖς οὐσίαις οὐ συμβαίνει.

12 κἀν…τούτοις

ST Ia, Q. 116, A.1 Resp. (*Coisl*. 280, 404r, 13–16): τινὲς δὲ πάντα τὰ ἀπὸ τύχης καὶ αὐτομάτου ἐν τοῖς ὑποκάτω τούτοις συμβαίνοντα, εἴτε ἐν τοῖς φυσικοῖς εἴτε ἀνθρωπίνοις εἰς ὑψηλοτέραν τινὰ αἰτίαν ἀνάγειν ἠθέλησαν· τουτέστιν εἰς τὰ οὐράνια σώματα· καὶ κατὰ τοῦτο οὐδὲν ἄλλο ἐστὶν ἡ εἱμαρμένη ἢ ἡ τῶν ἄστρων διάθεσις.

13–21 ὁμοειδῶς…ἁπάντων

ST Ia, Q. 22, A. 3 Resp. (*Vatop*. 254, 98v, 10–12 =*Vat. Gr.* 609, 44v, 36–38): …ὅσον δὲ πρὸς τὸ δεύτερον, εἰσί τινα μέσα τῆς θείας προνοίας· τὰ γὰρ ταπεινότερα διὰ τῶν ὑψηλοτέρων κυβερνῶνται, οὐ δι' ἀσθένειαν τῆς τῆς προνοίας δυνάμεως, ἀλλὰ διὰ τὴν ὑπερβολὴν τῆς ἀγαθότητος, ἵνα καὶ τὴν τοῦ αἰτιώδους ἀξίας καὶ τοῖς κτίσμασι μεταδοίη.

18–23 αὕτη…παραγομένων

SG III, 69.29 (*Taurin.* XXIII, 214v, 3–5): Μὴ τοίνυν ἀνέλωμεν τὰς ἰδίας ἐνεργείας τῶν κτιστῶν πραγμάτων, εἰ καὶ πάντα τὰ τούτων ἀποτελέσματα ἀνατιθέαμεν τῷ Θεῷ ὥσπερ ἐν ἅπασιν ἐνεργοῦντι.

SG III, 70.5 (*Taurin.* XXIII, 214v, 25–36): Ἀνάγκη τοίνυν τὴν τοῦ κάτω ποιοῦντος ἐνέργειαν μὴ ἐκ τῆς αὐτοῦ μόνον ἰδίας δυνάμεως εἶναι, ἀλλὰ καὶ ἐκ τῆς πάντων τῶν ἀνωτέρω ποιούντων δυνάμεως· ἐνεργεῖ γὰρ τῇ πάντων δυνάμει. Καὶ ὥσπερ τὸ ἔσχατον τῶν ποιούντων ἄμεσόν ἐστι ποιητικόν, οὕτως ἡ δύναμις τοῦ πρώτως ποιούντως ἄμεσόν ἐστι πρὸς τὸ παραχθησόμενον ἀποτέλεσμα. Ἡ γὰρ τοῦ ἐσχάτου ποιοῦντος δύναμις οὐχ ἀφ' ἑαυτῆς ἔχει παράγειν τὸ τοδὶ παράγειν, ἀλλ' ἐκ τῆς δυνάμεως τοῦ προσεχῶς ὑπεράνω, κἀκείνου ἡ δύναμις ἐκ τῆς τοῦ ὑπεράνω αὐτῆς· καὶ οὕτως ἡ δύναμις τοῦ πρώτως ποιοῦντος ἀφ' ἑαυτῆς ἐστι παρακτική· ὃ δῆλον ἐν ταῖς ἀρχαῖς τῶν ἀποδείξεων, ὧν τὸ πρῶτόν ἐστιν ἄμεσον. Ὥσπερ τοίνυν οὐκ ἔστιν ἄτοπον ταὐτὸ καὶ ἓν ἀποτέλεσμα ἔκ τινος ποιοῦντος καὶ τῆς δυνάμεως ἐκείνου παράγεσθαι, οὕτως οὐκ ἔστιν ἄτοπον ταὐτὸ καὶ ἓν ἀποτέλεσμα παράγεσθαι ἔκ τε τοῦ Θεοῦ καὶ τοῦ κάτω ποιοῦντος ἀμέσως ἐξ ἑκατέρου, εἰ καὶ ἕτερον καὶ ἕτερον τρόπον.

SG III, 100.3 (*Taurin.* XXIII, 244v, 35–245r, 4): Ἔτι, ἐπεὶ ὁ Θεὸς πρῶτον ἐστὶ ποιοῦν, ὡς προαποδέδεικται, πάντα τὰ μετ' αὐτὸν ὥσπέρ τινά εἰσιν ὄργανα αὐτοῦ. Τὰ δὲ ὄργανα πρὸς τοῦτο γεγόνασιν, ὥστε τῇ τοῦ πρώτως ποιοῦντος ἐνεργείᾳ δουλεύειν, ὅταν ὑπ' ἐκείνου κινῶνται· ὥστε τοιαύτη τις ἡ τοῦ ὀργάνου ὕλη καὶ τὸ εἶδος ὀφείλει εἶναι, ὡς ἁρμόζον τῇ ἐνεργείᾳ ἣν σκοπεῖ τὸ πρώτως ποιοῦν. Καὶ διατοῦτο οὐκ ἔστι παρὰ τὴν τοῦ ὀργάνου φύσιν τὸ ὑπὸ τοῦ πρώτου ποιοῦντος κινεῖσθαι, ἔστι δὲ μάλιστα οἰκεῖον αὐτῷ. Οὐκ ἄρα παρὰ φύσιν ἐστίν, ὅταν ὀπωσοῦν ὑπὸ τοῦ Θεοῦ κινῶνται τὰ κτίσματα· οὕτω γὰρ γεγόνασιν, ὥστε δουλεύειν αὐτῷ.

2.2., 1–10 Ταῦτα…αἴτιον

SG III, 67.5 (*Taurin.* XXIII, 210v, 34–211r, 5): Ἔτι, ἐν πάσαις ταῖς ποιητικαῖς καὶ τεταγμέναις αἰτίαις ἀνάγκη ἀεὶ τὰς ἑπομένας αἰτίας τῇ δυνάμει τῆς πρώτης αἰτίας ποιεῖν. Ὥσπερ ἐν τοῖς φυσικοῖς τὰ ὑπὸ κάτω σώματα δρῶσι τῇ δυνάμει τῶν οὐρανίων σωμάτων· καὶ ἐν τοῖς ἑκουσίοις πάντες οἱ τεχνῖται ποιοῦσι κατὰ τὸ πρόσταγμα τοῦ ἀρχιτέκτονος. Ἐν δὲ τῇ τάξει τῶν ποιητικῶν αἰτίων ὁ Θεός ἐστι πρώτη αἰτία, ὡς ἐν τῷ πρώτῳ δέδεικται. Πάσαι τοίνυν αἱ ὑπὸ κάτω αἰτίαι ποιητικαὶ τῇ τούτου δυνάμει ποιοῦσι. Τῆς δὲ ἐνεργείας αἴτιον μᾶλλον ἐστὶν ἐκεῖνο, οὗ τῇ δυνάμει γίνεται τὸ γινόμενον ἢ τὸ ποιοῦν· ὥσπερ τὸ πρώτως ποιοῦν μᾶλλον ἢ τὸ ὄργανον. Ὁ Θεὸς ἄρα ἀρχικώτερόν ἐστιν ὑπερέχουσα αἰτία πάσης ἐνεργείας ἢ αἱ δεύτεραι ποιητικαὶ αἰτίαι.

3–4 τὸ…Θεοῦ

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 114r, 10–12): Τὸ δὲ τοῦ Θεοῦ αἰτιῶδες, ὅς ἐστι πρῶτον ποιητικόν, ἑαυτὸ εἰς πάντα τὰ ὄντα ἐκτείνει, καὶ οὐχὶ μόνον μέχρι τῶν τοῦ εἴδους ἀρχῶν, ἀλλὰ καὶ μέχρι τῶν τοῦ ἀτόμου ἀρχῶν, οὐ τῶν ἀφθάρτων μόνον, ἀλλὰ καὶ τῶν φθαρτῶν.

11–29 Κοινότατος… παραγωγήν

SG III, 14.4 (*Taurin.* XXIII, 169v, 15–18): Ἡ δὲ ἐν τῇ αἰτίᾳ ἀσθένειᾳ κακόν τί ἐστιν. Οὐ δύναται μέντοι αἰτία εἶναι καθ' αὑτήν, ἐπεὶ οὐκ ἐστί τι αἴτιον καθὸ ἐστὶν ἀσθενές, ἀλλὰ καθό ἐστιν ὄν· εἰ γὰρ ὅλον ἀσθενήσει, οὐδενὸς δυνήσεται αἴτιον εἶναι.

SG III, 17.4 (*Taurin.* XXIII, 170v, 2–7): Ἔτι, ἐν παντὶ γένει αἰτίων ἡ πρώτη αἰτία τῆς δευτέρας ἐστὶ μᾶλλον αἰτία· ἡ γὰρ δευτέρα οὐκ ἔστιν αἰτία εἰμὴ διὰ τὴν πρώτην. Ὃ ἄρα ἐστὶ πρώτη αἰτία ἐν τῇ τῶν τελικῶν αἰτίων τάξει, ἀνάγκη μᾶλλον εἶναι τελικὴν ἑκάστου ἢ ἡ προσεχὴς τελικὴ αἰτία. Ἀλλ' ὁ Θεὸς ἐν τῇ τάξει τῶν τελικῶν αἰτίων πρώτη ἐστὶν αἰτία· ἐπεὶ καὶ ἔσχατόν ἐστι ἐν τῇ τάξει τῶν ἀγαθῶν. Ἔστιν ἄρα καὶ μᾶλλον τέλος ἑκάστου παντὸς ἄλλου τέλους προσεχοῦς.

SG III, 65.3 (*Taurin.* XXIII, 208v, 22–24): Ἔτι, ἀνάγκη ταὐτὸν αἴτιον εἶναι τοῦ τε πράγματος καὶ τῆς διοικήσεως αὐτοῦ ἢ συντηρήσεως· ἡ γὰρ τοῦ πράγματος συντήρησις οὐδὲν ἕτερόν ἐστιν ἢ ἡ τοῦ εἶναι αὐτὸ συνέχεια.

SG III, 65.4 (*Taurin.* XXIII, 209r, 2–7): Αὕτη δὲ ἡ αἰτία ὁ Θεός ἐστιν, ἢ ἀμέσως ἢ ἐμμέσως· δέδεικται γὰρ ὅτι αὐτός ἐστι πάντων πρώτη αἰτία. Ἀνάγκη τοίνυν αὐτὸν πρὸς τὴν τῶν εἰδῶν συντήρησιν ἔχειν, ὥσπερ οὗτος ὁ ἐν τῇ ὕλῃ γεννῶν πρὸς τὴν γένεσιν, ἧς ἐστι καθ ἑαυτὸν αἴτιος. Ἡ δὲ γένεσις παύεται τῆς τοῦ γεννῶντος ἐνεργείας παυομένης. Ὥστε καὶ πάντα τὰ τῶν πραγμάτων εἴδη ἐπαύσαντο ἄν, τῆς θείας παυομένης ἐνέργειας. Ὁ Θεὸς τοίνυν τῇ ἑαυτοῦ ἐνεργείᾳ ἐν τῷ εἶναι τὰ πράγματα συντηρεῖ.

SG III, 65.6 (*Taurin.* XXIII, 209r, 24–25): Πάντα τοίνυν τὰ φυσικὰ τῇ τοῦ Θεοῦ μόνον δυνάμει ἐν τῷ εἶναι συντηροῦνται.

SG III, 66.6 (*Taurin.* XXIII, 210r, 27–31): Ὥστε τὸ εἶναι ἴδιόν ἐστιν ἀποτέλεσμα τοῦ πρώτου ποιοῦντος, καὶ πάντα τὰ ἄλλα ποιοῦσιν αὐτό, καθόσον ποιοῦσι τῇ δυνάμει τοῦ πρώτως ποιοῦντος. Τὰ δὲ δευτέρως ποιοῦντα, ὥσπερ καταμερίζοντα καὶ ἀφορίζοντα τὴν ἐνέργειαν τοῦ πρώτως ποιοῦντος, ποιοῦσι τὰς ἄλλας τελειότητας, αἷς τὸ εἶναι ἀφορίζεται, ὥσπερ τὰ ἴδια ἀποτελέσματα.

17–18 Οὐ… βούλεσθαι

ST Ia, Q. 19, A. 4 Resp. (*Vatop*. 254, 98r, 10–12): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἀνάγκη τὴν τοῦ Θεοῦ βούλησιν αἰτίαν λέγειν τῶν ὄντων, καὶ τὸν Θεὸν θελήσει ποιεῖν, ἀλλ' οὐκ ἀνάγκη φύσεως ὥς τινες ὠήθησαν.

SG III, 1.2 (*Taurin.* XXIII, 160r, 8–10): Τοῖς δὲ ἄλλοις οὐ φύσεως ἀνάγκῃ τὸ εἶναι διένειμεν, ἀλλὰ κατὰ τὸ τῆς αὐτῆς θελήσεως αὐτεξούσιον…

SG III, 64.9 (*Taurin.* XXIII, 208r, 11–13): Ἔτι, ὡς προαποδέδεικται, ὁ Θεὸς εἰς τὸ εἶναι τὰ πάντα παρήγαγεν οὐκ ἐξ ἀνάγκης τῆς φύσεως, ἀλλὰ κατὰ βούλησιν καὶ νοῦν.

SG III, 75.5 (*Taurin.* XXIII, 218v, 4–5): Ἔτι, δέδεικται ἀνωτέρω ὡς ὁ Θεὸς ἐν τοῖς κτιστοῖς πράγμασιν οὐκ ἐκ φυσικῆς ἀνάγκης ποιεῖ, ἀλλὰ διὰ νοῦ καὶ θελήσεως.

SG III, 98.4 (*Taurin.* XXIII, 243r, 21–22): Οὐ δυνατὸν δὲ ποιεῖν τι τὸν Θεόν, ὃ μὴ ἔστι θελητὸν ὑπ' αὐτοῦ· ἐπεὶ τὰ κτίσματα οὐ φυσικῶς προΐασιν ἐξ αὐτοῦ, ἀλλὰ θελήσει, ὡς δέδεικται.

SG III, 99.10 (*Taurin.* XXIII, 244v, 14–19): Τοῦτο γὰρ καὶ πρὸς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως πολλάκις ποιεῖ. Οὐδένα γὰρ τρόπον φανερώτερον γενέσθαι δυνατὸν τὸ τὴν φύσιν ὅλην τῇ θείᾳ ὑποτετάχθαι βουλήσει ἢ ἐκ τοῦ τοῦτόν ποτε παρὰ τὴν τάξιν τῆς φύσεως ἐνεργεῖν τι· ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν τῶν πραγμάτων τάξιν ἀπὸ τοῦ Θεοῦ οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ' ἀπὸ ἐλευθέρας βουλήσεως προελθεῖν.

22–29 Καὶ…παραγωγήν

SG III, 20.4 (*Taurin.* XXIII, 172r, 9–15): Τινῶν μὲν γὰρ ἐξ ὕλης καὶ εἴδους συγκειμένων ὅλην τὴν δύναμιν τὸ εἶδος ἀποπληροῖ, οὕτως ὥστε μὴ ὑπολείπεσθαι ἐν τῇ ὕλῃ δύναμιν πρὸς ἐκεῖνο τὸ εἶδος. Τοιαῦτα δέ εἰσι τὰ οὐράνια σώματα, ἅτινα ἐξ ὅλης τῆς ἑαυτῶν ὑφεστήκασιν ὕλης. Τινῶν δὲ εἴδη οὐχ ὅλην τὴν δύναμιν τῆς ὕλης ἀποπληροῖ. Ὅθεν ἐν τῇ ὕλῃ μένει δύναμις πρὸς ἕτερον εἶδος· ὥσπερ φανερὸν ἐν τοῖς στοιχείοις καὶ τοῖς στοιχειωτοῖς.

SG III, 1.5 (*Taurin.* XXIII, 160r, 35–160v, 1): Ἕτερα δέ, φθαρτὰ ὄντα, τοῦ κατὰ φύσιν εἶναι ἔνδειαν δύνανται πάσχειν, ἥτις ἄλλου αὐξήσει ἀναπληροῦται· ἑνὸς γὰρ φθαρέντος ἄλλο γεννᾶται.

2.3., 1–7 Εἰ…οὐσιῶν

SG III, 69.23 (*Taurin.* XXIII, 213v, 25–29): Ὃ δὲ διὰ τῆς ἑτέρου δυνάμεως δρᾷ, προάγει ἀποτέλεσμα ὅμοιον οὐκ ἑαυτῷ μόνον, ἀλλὰ μᾶλλον ἐκείνῳ οὗ τῇ δυνάμει ποιεῖ· ὥσπερ ἐκ τῆς τοῦ ὀργάνου ἐνεργείας γίνεται ἐν τῷ τεχνητῷ ὁμοιότης τοῦ τῆς τέχνης εἴδους. Ἐξ οὗ συνάγεται τὸ ἐκ τῆς τῶν συμβεβηκότων εἰδῶν ἐνεργείας τὰ οὐσιώδη προάγεσθαι εἴδη, καθόσον ὀργανικῶς δρῶσι τῇ τῶν οὐσιωδῶν εἰδῶν δυνάμει.

ST Ia, Q. 22, A. 3 Resp. (*Vatop*. 254, 114r, 10–15): Τὸ δὲ τοῦ Θεοῦ αἰτιῶδες, ὅς ἐστι πρῶτον ποιητικόν, ἑαυτὸ εἰς πάντα τὰ ὄντα ἐκτείνει, καὶ οὐχὶ μόνον μέχρι τῶν τοῦ εἴδους ἀρχῶν, ἀλλὰ καὶ μέχρι τῶν τοῦ ἀτόμου ἀρχῶν, οὐ τῶν ἀφθάρτων μόνον, ἀλλὰ καὶ τῶν φθαρτῶν· ὅθεν ἀνάγκη πάντα τὰ ἀμηγέπη τοῦ εἶναι μετέχοντα παρὰ τοῦ Θεοῦ εἰς τὸ τέλος, καθώς φησιν ὁ Ἀπόστολος ἐν τῷ τρισκαιδεκάτῳ τῆς *πρὸς Ῥωμαίους*, "τὰ παρὰ Θεοῦ, τεταγμένα εἰσὶν".

ST Ia, Q. 22, A. 3 Resp. (*Vatop*. 254, 115v, 2–4): …εἰσὶ τινὰ μέσα τῆς θείας προνοίας· τὰ γὰρ ταπεινότερα διὰ τῶν ὑψηλοτέρων κυβερνῶνται, οὐ δι' ἀσθένειαν τῆς τῆς προνοίας δυνάμεως, ἀλλὰ διὰ τὴν ὑπερβολὴν τῆς ἀγαθότητος, ἵνα καὶ τὴν τοῦ αἰτιώδους ἀξίας καὶ τοῖς κτίσμασι μεταδοίη.

ST Ia, Q. 22, A. 4 Resp. (*Vatop*. 254, 116r, 7–17): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἡ θεία πρόνοιά τισι μὲν τῶν ὄντων ἀνάγκην ἐπιτίθησιν, οὐ μὴν ἅπασιν, ὥς τινες ἐπίστευσαν· τῆς γὰρ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν· μετὰ δὲ τὴν θείαν ἀγαθότητα χωριστὸν τέλος τῶν πραγμάτων ὑπάρχουσαν, ἀρχοειδὲς καὶ ἐν τοῖς πράγμασιν ὑφεστὼς ἀγαθόν, ἡ τελειότης ἐστὶ τοῦ παντὸς, ἥτις οὐκ ἂν ἦν, μὴ πάντων τῶν τοῦ εἶναι βαθμῶν, ἐν τοῖς πράγμασιν εὑρισκομένων· ὅθεν τῆς θείας προνοίας ἐστὶν προάγειν πάντας τοὺς τῶν ὄντων βαθμούς Καὶ διὰ τοῦτό τισι μὲν τῶν ἀποτελεσμάτων προητοίμασεν ἀναγκαίας αἰτίας, ὥστ' ἐξ ἀνάγκης ἀποβαίνειν, ἄλλοις δὲ ἐνδεχομένας, ὥστ' ἀποβαίνειν ἐνδεχομένως κατὰ τὴν ἕξιν τῶν προσεχῶν αἰτίων.

ST Ia, Q. 23, A. 6 Resp. (*Vatop*. 254, 121r, 20–24): …ὁ προορισμὸς μέρος προνοίας ἐστίν· οὐ πάντα δὲ τὰ τῇ προνοίᾳ ὑποκείμενα καὶ ἀναγκαῖα εἰσίν, ἀλλὰ τινὰ καὶ ἐνδεχομένως ἀποβαίνει κατὰ τὴν ἕξιν τῶν δευτέρων αἰτίων, ἃς ἔταξεν ἡ θεία πρόνοια πρὸς τὰ τοιαῦτα ἀποτελέσματα· ἀλλ' ὅμως ἡ τῆς προνοίας τάξις ἀσφαλής ἐστιν.

5–7 Ἐκείνων…μόνον

SG III, 67.5 (*Taurin.* XXIII, 211r, 2): Πᾶσαι τοίνυν αἱ ὑποκάτω αἰτίαι ποιητικαὶ τῇ τούτου δυνάμει ποιοῦσι.

7–13 Δημιουργεῖ…δηλονότι

SG III, 71.2 (*Taurin.* XXIII, 215r, 12–17): Ἡ γὰρ θεία κυβέρνησις, δι' ἧς ὁ Θεὸς ἐν τοῖς πράγμασιν ἐνεργεῖ, τὴν τῶν δευτέρων αἰτίων ἐνέργειαν οὐ κωλύει… Συμβαίνει δὲ προϊέναί τινα ἐν τῷ ἀποτελέσματι στέρησιν διά τινα ἀσθένειαν τῆς δευτέρας ποιητικῆς αἰτίας, ἐν τῷ

πρώτῳ ποιοῦντι μηδενὸς ὄντος τοιούτου. Ὥσπερ ἐν τῷ τοῦ τεχνίτου ἀποτελέσματι ἔχοντος τελείαν τὴν τέχνην συμβαίνει τις στέρησις διὰ τὴν τοῦ ὀργάνου ἀνεπιτηδειότητα.

SG III, 100.6 (*Taurin.* XXIII, 245r, 17–22): Ἔτι, πάντα τὰ κτίσματα οὕτω πρὸς τὸν Θεὸν παραβάλλεται, ὥσπερ τὰ τεχνητὰ πρὸς τὸν τεχνίτην… Ὅθεν ὅλη ἡ φύσις ὥσπερ τι τεχνητόν ἐστι πρὸς τὴν θείαν τέχνην. Οὐκ ἔστι δὲ παρὰ τὸν λόγον τοῦ τεχνητοῦ, εἴ τις τεχνίτης ἄλλως τι ἐν τῷ ἑαυτοῦ τεχνητῷ ἐνεργεῖ μετὰ τὸ δοῦναι αὐτῷ τὸ πρῶτον εἶδος. Οὐδ' ἄρα παρὰ φύσιν ἐστὶν εἰ ἐν τοῖς φυσικοῖς ὁ Θεὸς ἑτέρως ἐνεργεῖ ἢ ὡς ὁ εἰωθὼς ἔχει τῆς φύσεως δρόμος.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 7–9): Ἐπεὶ δ' ὁ Θεὸς αἴτιός ἐστι διὰ νοῦ τῶν πραγμάτων ἑκάστου τῶν ἀποτελεσμάτων αὐτοῦ, ἀνάγκη ἐν αὐτῷ τὸν λόγον προϋφεστάναι…

13–22 Ταύτῃ…πρέποι

SG III, 10.15 (*Taurin.* XXIII, 167v, 10–14): Ἡ γὰρ τελειότης τῆς ποιητικῆς δυνάμεως πάσης ἀρχῆς τοῦ ἀνωτέρου ἤρτηται ποιητικοῦ· τὸ γὰρ δευτέρως ποιοῦν τῇ τοῦ πρώτου ποιοῦντος δυνάμει ποιεῖ. Ὅταν τοίνυν τὸ δευτέρως ποιοῦν ὑπὸ τὴν τάξιν μένῃ τοῦ πρώτου ποιοῦντος, τελείως ποιεῖ· ἀτελῶς δὲ ποιεῖ, ἂν συμβῇ τοῦτο τῆς πρὸς τὸ πρῶτον τάξεως ἐκπεσεῖν· ὡς φανερὸν ἐπὶ τοῦ ὀργάνου, ὅταν ἀνεπιτήδειον ᾖ πρὸς τὴν κίνησιν τοῦ ποιοῦντος.

SG III, 25.1 (*Taurin.* XXIII, 177r, 30–34): Ἐπεὶ δὲ πάντα, καὶ τὰ νοῦ ἐστερημένα, κτίσματα ὥσπερ εἰς ἔσχατον τέλος τὸν Θεόν εἰσι τεταγμένα, πρὸς δὲ τοῦτ' ἀφικνοῦνται πάντα τὸ τέλος, καθόσον τῆς θείας ὁμοιότητός τι μετέχουσι, τὰ νοερὰ κτίσματα ὑψηλοτέρῳ τινὶ καὶ ἰδικοτέρῳ τρόπῳ πρὸς τὸν Θεὸν ἀφικνοῦνται, τουτέστι τῷ διὰ τῆς ἰδίας ἐνεργείας αὐτὸν νοεῖν. Ὥστ' ἀνάγκη τοῦτ' εἶναι τοῦ νοεροῦ κτίσματος τέλος, τὸ τὸν Θεὸν δηλονότι νοεῖν.

SG III, 25.6 (*Taurin.* XXIII, 177v, 29–37): Ἔτι, ὥσπερ τὰ ἐστερημένα νοῦ εἰς τὸν Θεὸν ὡς εἰς τέλος τείνει διὰ τῆς ὁδοῦ τῆς ἀφομοιώσεως, οὕτως αἱ νοεραὶ οὐσίαι διὰ τῆς ὁδοῦ τῆς γνώσεως… Τὰ δὲ ἐστερημένα νοῦ, καὶ εἰ πρὸς τὴν τῶν προσεχῶν ποιούντων ὁμοίωσιν τείνει, οὐ μέντοι ἐκεῖ ἠρεμεῖ ὁ τῆς φύσεως σκοπός, ἀλλ' ἀντὶ τέλους τὴν πρὸς τὸ ἔσχατον ἀγαθὸν ἀφομοίωσιν ἔχει, εἰ καὶ λίαν ἀτελῶς τῆς ὁμοιότητος ἅπτοιτο ταύτης. Ὁ ἄρα νοῦς, ὅσον ἂν ἐλάχιστον μετέχειν τῆς θείας γνώσεως δύναιτο, ἀντὶ ἐσχάτου τέλους αὐτῷ τοῦτ' ἔσται, μᾶλλον τῆς τελείας τῶν ὑποκάτω νοητῶν γνώσεως.

SG III, 69.14 (*Taurin.* XXIII, 213r, 1–3): Εἰ τοίνυν τοῖς ἄλλοις ὅσον πρὸς τὸ εἶναι τῆς ἑαυτοῦ ὁμοιότητος ἐκοινώνησε, καθόσον εἰς τὸ εἶναι ταῦτα παρήγαγεν, ἐπόμενόν ἐστι τούτοις τῆς ἑαυτοῦ ὁμοιότητος κοινωνῆσαι κατὰ τὸ ποιεῖν, ὥστε καὶ τὰ κτίσματα ἰδίας ἔχειν ἐνεργείας.

SG III, 70.6 (*Taurin.* XXIII, 214v, 38–215r, 5): Ἀλλ' οὐδὲ μάταιόν ἐστιν, εἰ δι' ἑαυτοῦ πάντα τὰ φυσικὰ παράγειν δύναται ὁ Θεὸς, καὶ διά τινων ἄλλων αἰτίων ταῦτα παράγεσθαι. Οὐ γὰρ ἐκ τοῦ τὴν θείαν δύναμιν οὐκ ἀρκεῖν τοῦτ' ἐστίν, ἀλλὰ διὰ τὸ ἄπειρον τῆς ἀγαθότητος ταύτης, δι' ἣν τῆς ἑαυτοῦ ὁμοιότητος πᾶσιν κοινωνῆσαι οὐ μόνον κατὰ τὸ εἶναι, ἀλλὰ καὶ κατὰ τὸ ἑτέρων αἴτια δύνασθαι εἶναι· κατὰ γὰρ τούτους τοὺς δύο τρόπους πάντα κοινῶς τὰ κτίσματα τῆς θείας τυγχάνουσιν ὁμοιότητος…

SG III, 77.5 (*Taurin.* XXIII, 221r, 18–26): Ἔτι, τὸ τῆς τάξεως διὰ πάντων ἁρμόζον τὴν τελειότητα δείκνυσι τῆς προνοίας· ἡ γὰρ τάξις τῆς προνοίας ἴδιόν ἐστιν ἔργον. Τῇ δὲ τῆς τάξεως εὐφυΐα προσήκει τὸ μηδὲν ἄτακτον καταλείπεσθαι. Ἡ τελειότης ἄρα τῆς θείας προνοίας ἀπαιτεῖ τὸ τήν τινων ὑπεροχὴν πρὸς τὰ ἄλλα ἄγειν εἰς ἁρμόζουσαν τάξιν. Τοῦτο δὲ γίνεται, ὅταν ἐκ τοῦ πληρώματός τινων τῶν μᾶλλον ἐχόντων ἀγαθόν τι προΐῃ τοῖς ἧττον ἔχουσιν. Ἐπεὶ τοίνυν ἡ τελειότης τοῦ παντὸς ἀπαιτεῖ τῆς θείας προνοίας τό τινα μᾶλλον τῆς θείας μετέχειν ἀγαθότητος…, ἡ τελειότης ἀπαιτεῖ τῆς θείας προνοίας τὸ διὰ τῶν μᾶλλον τῆς θείας ἀγαθότητος μετεχόντων τὴν τῆς θείας ἀρχῆς ὑπηρεσίαν πληροῦσθαι.

ST Ia, Q. 19, A. 2 Resp. (*Vatop*. 254, 97r, 22–31): Ὅθεν ὁρῶμεν καὶ πᾶν τὸ ποιοῦν, καθόσον ἐστὶν ἐνεργεία καὶ τέλειον, ποιεῖν ὅμοιον ἑαυτοῦ· ὅθεν καὶ τοῦτο τῷ τῆς ἀγαθότητος λόγῳ προσήκει, τὸ καὶ τοῖς ἄλλοις κοινωνεῖν τοῦ ἀγαθοῦ, ὅπέρ τις ἔχει, κατὰ τὸ δυνατόν. Καὶ

τοῦτο μάλιστα τῇ θείᾳ βουλήσει προσήκει· ἀφ' ἧς διά τινος ὁμοιώσεως πᾶσα πρόεισι τελειότης. Ὅθεν, εἰ πάντα τὰ φυσικὰ, καθόσον εἰσὶ τέλεια, τοῖς ἄλλοις τοῦ ἰδίου ἀγαθοῦ κοινωνεῖ, πολλῷ μᾶλλον τῷ Θεῷ προσήκει ἵνα τοῦ ἰδίου ἀγαθοῦ τοῖς ἄλλοις κατὰ τὸ δυνατὸν κοινωνῇ. Καὶ τοῦτον τὸν τρόπον βούλεται καὶ ἑαυτὸν καὶ τὰ ἄλλα, ἀλλ' ἑαυτὸν μὲν ὡς τέλος, τὰ δ' ἄλλα ὡς πρὸς τὸ τέλος, καθόσον τῇ θείᾳ ἀγαθότητι πρέπον ἐστὶ τὸ τὰ ἄλλα ταύτης μετέχειν.

14–15 κοινωνεῖ… τεχνίτῃ

SG III, 19.1 (*Taurin.* XXIII, 171v, 7–8): Εἰ γὰρ πάντα ὥσπερ εἰς ἔσχατον τέλος φέρονται τὸν Θεόν, ὥστε τυχεῖν τῆς αὐτοῦ ἀγαθότητος, ἔπεται τὸ τῶν πραγμάτων ἔσχατον τέλος εἶναι τὸ τῷ Θεῷ ὁμοιοῦσθαι.

SG III, 69.22 (*Taurin.* XXIII, 213v, 19): Οὕτω γὰρ τὸ ποιοῦν ὅμοιον ἑαυτῷ ἀποτέλεσμα προάγει.

16–17 εἴ[1]… πηγῆς

SG III, 66.5 (*Taurin.* XXIII, 210r, 19–20): Ἡ γὰρ τελειότης τῆς τοῦ δευτέρως ποιοῦντος δυνάμεως ἐκ τῆς τοῦ πρώτως ποιοῦντος δυνάμεως ἐστί.

SG III, 66.6 (*Taurin.* XXIII, 210r, 28–31): Τὰ δὲ δευτέρως ποιοῦντα, ὥσπερ καταμερίζονται καὶ ἀφορίζονται τὴν ἐνέργειαν τοῦ πρώτου ποιοῦντος, ποιοῦσι τὰς ἄλλας τελειότητας, αἷς τὸ εἶναι ἀφορίζεται, ὥσπερ ἴδια ἀποτελέσματα.

17–22 Ὡμοίωται… πρέποι

SG III, 77.4 (*Taurin.* XXIII, 221r, 13–18): Ἔτι, τῇ τοῦ ἄρχοντος ἀξίᾳ προσήκει τὸ πολλοὺς ἔχειν διαφόρους καὶ ταπεινοτέρους τῆς ἑαυτοῦ ἀρχῆς ὑπηρέτας· ἐπεὶ τοσοῦτον ὑψηλοτέρα καὶ μείζων δειχθήσεται ἡ ἀρχή, ὅσῳ πλείους αὐτῷ διαφόρων βαθμῶν ὄντες ὑπόκεινται. Οὐδεμία δ' ἀξία τινὸς ἀρχῆς δύναιντο ἂν παραβάλλεσθαι τῇ τῆς θείας ἀρχῆς ἀξίᾳ. Προσῆκον τοίνυν ἐστὶν ἐν διαφόροις βαθμοῖς τῶν ποιούντων γίνεσθαι τὴν ἀποπλήρωσιν τῆς θείας προνοίας.

22–27 Ταύτῃ… φύσει

SG III, 100.3 (*Taurin.* XXIII, 244v, 35–245r, 4): Ἔτι, ἐπεὶ ὁ Θεὸς πρῶτον ἐστὶ ποιοῦν…, πάντα τὰ μετ' αὐτὸν ὥσπέρ τινά εἰσιν ὄργανα αὐτοῦ. Τὰ δὲ ὄργανα πρὸς τοῦτο γεγόνασιν, ὥστε τῇ τοῦ πρώτως ποιοῦντος ἐνεργείᾳ δουλεύειν, ὅταν ὑπ' ἐκείνου κινῶνται· ὥστε τοιαύτη τις ἡ τοῦ ὀργάνου ὕλη καὶ τὸ εἶδος ὀφείλει εἶναι, ὡς ἁρμόζον τῇ ἐνεργείᾳ ἣν σκοπεῖ τὸ πρώτως ποιοῦν. Καὶ διὰ τοῦτο οὐκ ἔστι παρὰ τὴν τοῦ ὀργάνου φύσιν τὸ ὑπὸ τοῦ πρώτου ποιοῦντος κινεῖσθαι, ἔστι δὲ μάλιστα οἰκεῖον αὐτοῦ. Οὐκ ἄρα παρὰ φύσιν ἐστίν, ὅταν ὀπωσοῦν ὑπὸ τοῦ Θεοῦ κινῶνται τὰ κτίσματα· οὕτω γὰρ γεγόνασιν, ὥστε δουλεύειν αὐτῷ.

SG III, 67.5: Ὁ Θεὸς ἄρα ἀρχικότερόν ἐστιν ὑπερέχουσα αἰτία πάσης ἐνεργείας ἢ αἱ δεύτεραι ποιητικαὶ αἰτίαι.

28–29 καὶ[1]… ἐφίεται

SG III, 3.3 (*Taurin.* XXIII, 162r, 5): Ὃ δὲ τὴν ἔφεσιν ὁρίζει, τοῦτο ἀγαθοῦ λόγον ἔχει· "ἀγαθὸν" γάρ ἐστιν "οὗ πάντα ἐφίεται".

SG III, 3.11 (*Taurin.* XXIII, 162v 8–9): Ἐντεῦθεν ἐστὶν ὅ φασιν οἱ φιλόσοφοι τἀγαθὸν ὁριζόμενοι, "ἀγαθόν ἐστιν, οὗ πάντα ἐφίεται".

SG III, 16.2 (*Taurin.* XXIII, 170r, 16–18): Ἔτι, παντὸς πράγματος τέλος ἐστὶν εἰς ὃ ἡ ἔφεσις αὐτοῦ τελευτᾷ· οὕτω γὰρ ὁρίζονται οἱ φιλόσοφοι, "οὗ πάντα ἐφίενται". Τὸ ἀγαθὸν ἄρα ἐστὶν ἑκάστου πράγματος τέλος.

3. 1–4 Τῇ… ἐποίησε

SG III, 1.4–5 (*Taurin.* XXIII, 160r, 23–25): Ὥσπερ τοίνυν τέλειός ἐστιν ἐν τῷ εἶναι ἔν τε τῷ δημιουργεῖν, οὕτω δὴ κἀν τῷ διοικεῖν. Τῆς δὲ διοικήσεως ταύτης τὸ ἀποτέλεσμα διαφόρως ἐν τοῖς ἐν τοῖς διαφόροις ὁρᾶται κατὰ τῶν φύσεων διαφοράν.

SG III, 1.6 (*Taurin.* XXIII, 160v, 20–21): Τρίτον δὲ τῆς τοιαύτης καθόλου ἀρχῆς ἀποδίδωσι τὸν λόγον, ὅτι ἀναγκαῖόν ἐστι τὰ ὑπὸ Θεοῦ παρηγμένα καὶ ὑπ᾽ αὐτοῦ διοικεῖσθαι.

SG III, 22.6 (*Taurin.* XXIII, 174r, 8–11): Θεωρητέον δὲ ὡς ἕκαστον, καθόσον μετέχει τῆς ὁμοιότητος τῆς θείας ἀγαθότητος, ἥτις ἐστὶν ἀντικείμενον τῆς θελήσεως αὐτοῦ, κατὰ τοσοῦτον μετέχει τῆς ὁμοιότητος τῆς θείας θελήσεως, δι᾽ ἧς τὰ πράγματα εἰς τὸ εἶναι παράγονται καὶ συντηροῦνται.

SG III, 64.8 (*Taurin.* XXIII, 208r, 9–11): Φανερὸν τοίνυν ὅτι ὁ Θεός ἐστιν αἴτιος τῆς ὅλης τάξεως τῶν πραγμάτων. Αὐτὸς ἄρα τῇ ἑαυτοῦ προνοίᾳ κυβερνήτης ἐστὶ τῆς ὁλότητος τῶν πραγμάτων.

SG III, 76.6 (*Taurin.* XXIII, 220r, 24): Αὐτὸς ἄρα ὁ Θεὸς ἀμέσως τῇ ἑαυτοῦ προνοίᾳ διοικεῖ πάντα.

SG III, 90.6 (*Taurin.* XXIII, 233r, 33–34): Ἔτι, ἡ τῆς προνοίας κυβέρνησις ἐκ τῆς θείας πρόεισιν ἀγάπης, ᾗ τὰ ὑπ᾽ αὐτοῦ κτισθέντα ἀγαπᾷ.

SG III, 97.13 (*Taurin.* XXIII, 242r, 38–242v, 2): Ὅθεν καὶ τὸ τὰ κτίσματα εἰς τὸ εἶναι παραχθῆναι, εἰ καὶ ἐκ τοῦ τῆς θείας ἀγαθότητος λόγου τὸ αἴτιον ἔχει, ὅμως καὶ τῆς ἁπλῆς τοῦ Θεοῦ βουλήσεως ἤρτηται.

SG III, 98.3 (*Taurin.* XXIII, 243r, 12–15): Δέδεικται δὲ ἐν τῷ δευτέρῳ ὅτι τὰ ἀπὸ τοῦ Θεοῦ ὑπὸ τὴν τάξιν τιθέμενα πράγματα οὐχ ὥσπερ ἀπὸ ποιοῦντος ἐξ ἀνάγκης φύσεως ἢ ἑτέρου τινός, ἀλλ᾽ ἐξ ἁπλῆς θελήσεως προΐασι, μάλιστα ὅσον πρὸς τὴν πρώτην τῶν πραγμάτων ὑπόστασιν.

ST Ia, Q. 22, A. s.c. (*Vatop*. 254, 115r, 24–27): Ἀλλὰ τοὐναντίον λέγεται ἐν τῷ τεσσαρακοστῷ τοῦ Ἰὼβ, “ἢ τίνα τέθεικεν εἰς τὴν οἰκουμένην ἣν ὠκοδόμησεν;”· ἐπὶ δὲ τούτῳ τῷ ῥητῷ φησιν ὁ Γρηγόριος, “τὸν κόσμον δι᾽ ἑαυτοῦ διοικεῖ ὁ δι᾽ ἑαυτοῦ τοῦτον δημιουργήσας”.

4–17 Τάττει… εὐαρμοστίας

SG III, 3.2 (*Taurin.* XXIII, 162r, 1–3): Πρὸς ὃ δὲ τὸ ποιοῦν τείνει, ἀνάγκη οἰκεῖον εἶναι αὐτῷ· οὐ γὰρ ἂν ἐφέρετο πρὸς ἐκεῖνο εἰμὴ διά τινα πρὸς αὐτὸ οἰκειότητα. Ὃ δέ ἐστιν οἰκεῖον τινι, ἀγαθόν ἐστιν αὐτῷ.

SG III, 22.8 (*Taurin.* XXIII, 174r, 38–174v, 14): Ἐπεὶ δὲ διὰ τῶν αὐτῶν τὸ πρᾶγμα γίνεται καὶ συντηρεῖται ἐν τῷ εἶναι, κατὰ τὴν προειρημένην ἐν ταῖς τῶν πραγμάτων γενέσεσι τάξιν ἔστιν ἐν τῷ πράγματι καὶ κοινῶς τῆς αὐτῶν συντηρήσεως τρόπος. Ὅθεν ὁρῶμεν τὰ μὲν μικτὰ ὑπὸ τῶν στοιχείων εὐαρμόστων ποιοτήτων διακρατούμενα, τὰ δὲ φυτὰ ἐκ τῶν μικτῶν σωμάτων τρεφόμενα, τὰ δὲ ζῷα ἐκ τῶν φυτῶν τὴν τροφὴν ἔχοντα, ἔτι τέ τινα τελειότερα καὶ ἰσχυρότερα ἔκ τινων ἀτελεστέρων καὶ ἀσθενεστέρων. Ὁ δὲ ἄνθρωπος χρῆται πρὸς τὴν ἑαυτοῦ ὠφέλειαν ταῖς γενέσεσι πάντων, τινῶν μὲν πρὸς τροφήν, τινῶν δὲ πρὸς ἱμάτιον. [...] Τισὶ δὲ καὶ πρὸς ὄχημα χρῆται [...]. Καὶ ἐπὶ πᾶσι χρῆται τοῖς αἰσθητοῖς πρὸς τὴν τῆς νοερᾶς αὐτοῦ γνώσεως τελείωσιν.

SG III, 24.9 (*Taurin.* XXIII, 177r, 24–28): Οὐκ ἄρα ἄτοπον εἰ αἱ κινήσεις τῶν οὐρανίων σωμάτων καὶ αἱ ἐνέργειαι τῶν κινούντων αὐτὰς ἀμηγέπη λέγοιντο εἶναι τῶν γεννωμένων καὶ φθειρομένων σωμάτων εἵνεκα, ἅπερ ἐκείνων εἰσὶν ἀτιμότερα. Οὐ γάρ εἰσι τούτων ἕνεκα ὥσπερ ἐσχάτου τέλους, ἀλλὰ τὴν γένεσιν τούτων σκοποῦντα τὸ ἴδιον σκοποῦσι ἀγαθὸν καὶ τὴν θείαν ὁμοιότητα ὥσπερ ἔσχατον τέλος.

SG III, 71.8 (*Taurin.* XXIII, 215v, 38–216r, 1): Ἔτι, τὰ ἄλλα πράγματα, καὶ μάλιστα τὰ κάτω ταῦτα, πρὸς τὸ τοῦ ἀνθρώπου τάττονται τἀγαθὸν ὥσπερ πρὸς τέλος.

SG III, 75.1–2 (*Taurin.* XXIII, 218r, 19–26): Ἐκ τῶν δεδειγμένων δὲ φανερὸν τὴν τοῦ Θεοῦ πρόνοιαν φθάνειν καὶ μέχρι τῶν καθέκαστα γενητῶν καὶ φθαρτῶν. Τούτων γὰρ οὐκ

ἄλλως δοκεῖ μὴ εἶναι πρόνοιαν εἰμὴ διὰ τὸ ἐν τούτοις συμβεβηκός, καὶ ὅτι ἐν αὐτοῖς πολλὰ ἐκ ταὐτομάτου καὶ ἀπὸ τύχης ἀποβαίνειν· τούτῳ γὰρ μόνῳ τῶν ἀφθάρτων διαφέρει καὶ τῶν καθόλου μέν, φθαρτῶν δέ, ὧν φασιν εἶναι πρόνοιαν. Τῇ δὲ προνοίᾳ οὐ μάχεται τὰ συμβεβηκότα καὶ τὸ αὐτόματον καὶ ἡ τύχη καὶ τὸ ἐκούσιον, ὡς δέδεικται. Οὐδὲν ἄρα κωλεύει καὶ τούτων πρόνοιαν εἶναι, ὥσπερ τῶν ἀφθάρτων καὶ καθόλου.

SG III, 75.6–7 (*Taurin.* XXIII, 218v, 12–21): Ἔτι, ἀνόητός ἐστι τινὸς πρόνοια, ὃς οὐ φροντίζει τούτων ὧν ἄνευ ἀδύνατον εἶναι τὰ ὑπὲρ ὧν φροντίζει. Συμβαίνει δὲ πάντων ἀπολωλότων τῶν μερικῶν καὶ τὰ καθόλου μὴ δύνασθαι μένειν. Εἰ τοίνυν ὁ Θεὸς τῶν καθόλου μόνον φροντίζει, τὰ δὲ μερικὰ ταῦτα παντάπασιν καταλέλοιπεν, ἀνόητος ἔσται καὶ ἀτελὴς ἡ τούτου πρόνοια. Εἰ δέ τι<ς> λέγοι τὸν Θεὸν τῶν μερικῶν τούτων φροντίζειν μέχρι τοῦ συντηρεῖν αὐτὰ ἐν τῷ εἶναι, οὐ μέντοι καὶ μέχρι τῶν ἄλλων, ἀδύνατα πάντως ἐρεῖ. Πάντα γὰρ τὰ συμβαίνοντα περὶ τὰ καθέκαστα πρὸς τὴν αὐτῶν συντήρησιν ἢ τὴν φθοράν εἰσι τεταγμένα. Εἰ τοίνυν ὁ Θεὸς πρόνοιαν ποιεῖται τῶν μερικῶν μέχρι τῆς ἐν τῷ εἶναι αὐτῶν συντηρήσεως, προνοεῖται καὶ πάντων τῶν περὶ αὐτὰ συμβαινόντων.

SG III, 75.10 *Taurin.* XXIII, 219r, 2–4): Ἐπεὶ δὲ ἡ πρόνοια πάντα πρὸς τὸ τέλος τάττει, ἀνάγκη τῇ προνοίᾳ προσήκειν καὶ τὰ τέλη καὶ τὰ πρὸς τὸ τέλος. Ὑπόκεινται τοίνυν τῇ προνοίᾳ οὐ τὰ καθόλου μόνον, ἀλλὰ καὶ τὰ καθέκαστον.

SG III, 75.14 (*Taurin.* XXIII, 219r, 30–234): Ἔτι, τὰ κτίσματα τῇ θείᾳ προνοίᾳ ὑπόκεινται, καθόσον ὑπ' αὐτῆς τάττονται πρὸς τὸ ἔσχατον τέλος, ἥτις ἐστὶν ἡ τοῦ Θεοῦ ἀγαθότης. Ἡ τῆς θείας ἄρα ἀγαθότητος μετοχὴ τοῖς κτίσμασι διὰ τῆς θείας προνοίας ἐστί. Τῆς δὲ θείας ἀγαθότητος μετέχει καὶ τὰ καθέκαστον καὶ τὰ συμβεβηκότα. Ἀνάγκη τοίνυν τὴν θείαν πρόνοιαν ἑαυτὴν καὶ πρὸς ταῦτα ἐκτείνειν.

SG III, 76.3 (*Taurin.* XXIII, 219v, 23–24): Ἀνάγκη τοίνυν, ὥσπερ ἀμέσως γινώσκει τὰ μερικά, οὕτω καὶ ἀμέσως τὴν τάξιν ὑφιστάνειν.

SG III, 77.1 (*Taurin.* XXIII, 220v, 30–221r, 4): Προσεκτέον δ' ἂν εἴη ὡς δύο ζητοῦνται περὶ τὴν πρόνοιαν, ἡ τάξις καὶ ἡ τῆς τάξεως ἀποπλήρωσις. [...] "τοῦ γὰρ σοφοῦ ἐστι τὸ τάττειν". [...] ἀποπληροῖ δὲ τὰ ἐλάχιστα διὰ τῶν ταπεινοτέρων δυνάμεων, δι' ὧν ἐνεργεῖ [...]. Προσῆκον τοίνυν ἐστὶ τὰς ταπεινοτέρας ποιητικὰς δυνάμεις ἀποπληρωτικὰς εἶναι τῆς θείας προνοίας.

SG III, 78.1 (*Taurin.* XXIII, 221r, 36–221v, 4): Ἐπεὶ δὲ τῇ θείᾳ προνοίᾳ προσήκει τὸ σύμφωνον τὴν ἐν τοῖς πράγμασι σῴζεσθαι τάξιν, τάξις δέ ἐστι τὸ ἀπὸ τῶν ἄκρων μέχρι τῶν ἐσχάτων ἀναλόγως κατιέναι, ἀνάγκη τὴν θείαν πρόνοιαν κατά τινα ἀναλογίαν καὶ μέχρι τῶν ἐσχάτων προϊέναι πραγμάτων. Αὕτη δέ ἐστιν ἡ τάξις, ἵν', ὥσπερ ὑπὸ τὸν Θεόν εἰσι τὰ ἀκρότατα τῶν κτισμάτων καὶ ὑπ' αὐτοῦ διοικοῦνται, οὕτω καὶ τὰ ὑποκάτω ὑπὸ τὰ ὑπερέχοντα κτίσματα ὦσι καὶ ἄρχωνται ὑπ' ἐκείνων. Τῶν δὲ κτισμάτων πάντων ἀνώτερά εἰσι τὰ λογικά…

SG III, 81.3 (*Taurin.* XXIII, 224v, 23–26): Τῶν παντάπασι γνώσεως ἐστερημένων ἓν ὑπόκειται τῷ ἑτέρῳ, καθόσον ἕτερον ἑτέρου ἐν τῷ ποιεῖν ἐστι δυνατώτερον. Οὐδὲν γὰρ μετέχει τῆς διοικήσεως τῆς θείας προνοίας, ἀλλὰ μόνον τῆς διακονίας.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 12–14): Ἴδιον δὲ προνοίας ἐστὶ κατὰ τὸν φιλόσοφον ἐν τῷ πέμπτῳ τῶν *Ἠθικῶν* τὸ εἰς τὸ τέλος τάττειν τὰ ἄλλα.

ST Ia, Q. 22 A. 2 Resp. (*Vatop*. 254, 114r, 12–17): Ὅθεν ἀνάγκη πάντα τὰ ἀμηγέπη τοῦ εἶναι μετέχειν παρὰ τοῦ Θεοῦ εἰς τὸ τέλος, καθώς φησιν ὁ ἀπόστολος ἐν τῷ τρισκαιδεκάτῳ τῆς *πρὸς Ῥωμαίους*, "τὰ παρὰ Θεοῦ, τεταγμένα εἰσὶν"· ἐπεὶ τοίνυν ἡ πρόνοια οὐδὲν ἄλλο ἐστὶν ἢ λόγος τῆς εἰς τὸ τέλος τῶν ὄντων τάξεως ὥσπερ εἴρηται, ἀνάγκη πάντα, καθόσον τοῦ εἶναι μετέχει, κατὰ τοσοῦτον καὶ τῇ θείᾳ ὑποτετάχθαι προνοίᾳ.

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 114v, 19–22): Ἐπὶ ταῦτα μέντοι ἑαυτὴν ἐκτείνει ἡ τοῦ Θεοῦ πρόνοια, ὅς ἐστι τῆς φύσεως δημιουργός· ἐκ τούτου δὲ τοῦ λόγου κινηθῆναι δοκοῦσιν οἱ τὸν δρόμον τῶν φυσικῶν, τῆς θείας ἀφελόντες προνοίας, ἀποδιδόντες αὐτὸν τῇ ἀνάγκῃ τῆς ὕλης, ὥσπερ Δημόκριτος καὶ οἱ ἄλλοι ἀρχαῖοι φιλόσοφοι φυσικοί.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 116r, 9–10): Τῆς γὰρ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν

ST Ia, Q. 23, A. 1 (*Vatop*. 254, 116v, 14–16): Ἔτι, πάντα τὰ κτίσματα τάττονται ὑπὸ τοῦ Θεοῦ πρὸς τὰ ἑαυτῶν τέλη διὰ τῆς θείας προνοίας…

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 31–117r, 1): Ἄλλο δὲ τέλος ἐστὶν τὸ τῇ φύσει οἰκεῖον, οὗ δηλονότι τὰ κτιστὰ δύνανται ἅπτεσθαι, τῇ οἰκείᾳ δυνάμει.

9-17 Ἡ γὰρ ….εὐαρμοστίας

De pot. 424 (6.1.27), 264–267: Καὶ γὰρ ὁ Θεὸς ἐξ ἀιδίου ἔγνωκεν ἑαυτὸν ποιήσοντα ὅπερ ἐν καιρῷ ποιεῖ. Οὕτω τοίνυν τὸν τῆς φύσεως δρόμον κατεσκεύασεν, ὡς πρότερον διορίσασθαι ἐν τῇ ἀιδίῳ αὐτοῦ θελήσει, ὅτι παρὰ τοῦτον τὸν δρόμον ὀψέ ποτε ἐνεργήσει.

17–22 Ἰδικώτερον…ἑκατέρου

ST Ia, Q. 22, A. 2 ad 5um (*Vatop*. 254, 115r, 6–11): …διὰ τὸ τὴν λογικὴν κτίσιν ἔχειν διὰ τοῦ αὐτεξουσίου τὴν τῆς ἐνεργείας αὐτῆς ἐξουσίαν, ὡς εἴρηται, εἰδικῷ τινι τρόπῳ ὑποτάττεται τῇ θείᾳ προνοίᾳ· ὥστε δηλονότι ταύτη λογίζεσθαί τί εἰς ἁμαρτίαν ἢ κατόρθωμα καὶ ἀποδίδοσθαι ταύτη δίκην ἢ ἀμοιβήν. Καὶ πρὸς τοῦτο φησὶν ὁ Ἀπόστολος "μὴ μέλει τῷ Θεῷ τῶν βοῶν;", ἀλλ'οὐχ οὕτω ὥστε τὰ ἄτομα τῶν ἀλόγων μὴ ὑποκεῖσθαι τῇ θείᾳ προνοίᾳ, ὡς ὑπέλαβεν ὁ ῥαββὶ Μωυσῆς.

25–31 μέλει…ὑπηρετεῖν

SG III, 22.7 (*Taurin.* XXIII, 174r, 34–37): Τὸ ἔσχατον ἄρα τῆς γενέσεως ὅλης ἐστὶν ἡ ἀνθρωπίνη ψυχή, καὶ εἰς ταύτην ἡ ὕλη τείνει ὥσπερ εἰς ἔσχατον τέλος. Εἰσὶν ἄρα τὰ στοιχεῖα διὰ τὰ μικτὰ σώματα, ταῦτα δὲ διὰ τὰ ζῶντα, ἐν οἷς τὰ μὲν φυτά εἰσι διὰ τὰ ζῷα, τὰ δὲ ζῷα διὰ τὸν ἄνθρωπον. Ὁ ἄνθρωπος ἄρα ἐστὶ τὸ τέλος τῆς γενέσεως ὅλης.

SG III, 22.8 (*Taurin.* XXIII, 174r, 38)–174v, 14: Ἐπεὶ δὲ διὰ τῶν αὐτῶν τὸ πρᾶγμα γίνεται καὶ συντηρεῖται ἐν τῷ εἶναι, κατὰ τὴν προειρημένην ἐν ταῖς τῶν πραγμάτων γενέσεσι τάξιν ἔστιν ἐν τοῖς πράγμασι καὶ κοινὸς τῆς αὐτῶν συντηρήσεως τρόπος. Ὅθεν ὁρῶμεν τὰ μὲν μικτὰ ὑπὸ τῶν τῶν στοιχείων εὐαρμόστων ποιοτήτων διακρατούμενα, τὰ δὲ φυτὰ ἐκ τῶν μικτῶν σωμάτων τρεφόμενα, τὰ δὲ ζῷα ἐκ τῶν φυτῶν τὴν τροφὴν ἔχοντα, ἔτι τε τινὰ τελειότερα καὶ ἰσχυρότερα ἔκ τινων ἀτελεστέρων καὶ ἀσθενεστέρων. Ὁ δὲ ἄνθρωπος χρῆται πρὸς τὴν ἑαυτοῦ ὠφέλειαν ταῖς γενέσεσι πάντων, τινῶν μὲν πρὸς τροφήν, τινῶν δὲ πρὸς ἱμάτιον. [...] Τισὶ δὲ καὶ πρὸς ὄχημα χρῆται[...]. Καὶ ἐπὶ πᾶσι χρῆται τοῖς αἰσθητοῖς πρὸς τὴν τῆς νοερᾶς αὐτοῦ γνώσεως τελείωσιν.

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 114r, 12–17): …ἀνάγκη πάντα τὰ ἀμηγέπη τοῦ εἶναι μετέχοντα, παρὰ τοῦ Θεοῦ εἰς τὸ τέλος, καθώς φησιν ὁ Ἀπόστολος ἐν τῷ τρισκαιδεκάτῳ τῆς *Πρὸς Ῥωμαίους*, "τὰ παρὰ Θεοῦ, τεταγμένα εἰσὶν"· ἐπεὶ τοίνυν ἡ πρόνοια οὐδὲν ἄλλο ἐστὶν ἢ λόγος τῆς εἰς τὸ τέλος τῶν ὄντων τάξεως, ὥσπερ εἴρηται, ἀνάγκη πάντα, καθόσον τοῦ εἶναι μετέχει, κατὰ τοσοῦτον καὶ τῇ θείᾳ ὑποτετάχθαι προνοίᾳ.

30–31 οὗ[1]…ὑπηρετεῖν

SG III, 71.8 (*Taurin.* XXIII, 215v, 38–216r, 1): Ἔτι, τὰ ἄλλα πράγματα, καὶ μάλιστα τὰ κάτω ταῦτα, πρὸς τὸ τοῦ ἀνθρώπου τάττονται ἀγαθὸν ὥσπερ πρὸς τέλος.

33–38 Τοιαῦτα…γίνεται

SG III, 24.4 (*Taurin.* XXIII, 176v, 17–24): Οὕτω τοίνυν οὐ χαλεπὸν συνιδεῖν πῶς τὰ γνώσεως ἐστερημένα φυσικὰ σώματα κινοῦνται καὶ ποιοῦσιν ἕνεκα τέλους. Φέρονται γὰρ εἰς τὸ τέλος ὥσπερ ὑπὸ τῆς νοερᾶς οὐσίας ἀγόμενα ἐπ' αὐτό, ὃν τρόπον ἐπὶ τὸν σκοπὸν φέρεται τὸ βέλος ὑπὸ τοῦ τοξότου πεμπόμενον. Ὥσπερ γὰρ τὸ βέλος ἔπεται τῇ πρὸς τὸ ὡρισμένον τέλος κλίσει ἐκ τῆς ἀφέσεως τοῦ τοξότου, οὕτω καὶ τὰ φυσικὰ σώματα ἕπονται ταῖς εἰς τὰ

φυσικὰ τέλη κλίσεσιν ἐκ τῶν φυσικῶς κινούντων, ἀφ' ὧν τυγχάνουσι τῶν οἰκείων εἰδῶν καὶ τῶν δυνάμεων τῆς κινήσεως.

SG III, 81.3 (*Taurin.* XXIII, 224v, 23–26): Τῶν παντάπασι γνώσεως ἐστερημένων ἓν ὑπόκειται τῷ ἑτέρῳ, καθόσον ἕτερον ἑτέρου ποιεῖν ἐστι δυνατώτερον. Οὐδὲν γὰρ μετέχει τῆς διοικήσεως τῆς θείας προνοίας, ἀλλὰ μόνον τῆς διακονίας.

37–41 καὶ…λέοντι

SG II, 41.12 (*Taurin*. XXIII, 96v, 24–27): Λέγεται δὲ ὁ Θεὸς "ποιεῖν" ἢ "κτίζειν κακά", καθόσον κτίζει τὰ καθ' ἑαυτὰ μὲν ὄντα ἀγαθά, βλαβερὰ δὲ τοῖς ἄλλοις, ὥσπερ λύκος, εἰ καὶ κατὰ τὸ εἶδος αὐτοῦ ἀγαθόν τί ἐστι τῇ φύσει, ὅμως τῷ προβάτῳ ἐστὶ κακός· καὶ τὸ πῦρ ὁμοίως τῷ ὕδατι, καθόσον ἐστὶν φθαρτικόν.

4. 1–3 Τὸ…μόνῳ

SG II, 57.4 (*Taurin*. XXIII, 110r, 12–14): Πρὸς τὸ φυλάξασθαι τοίνυν τοῦτο, ὁ Πλάτων ὑπέθετο τὸν ἄνθρωπον μὴ συγκεῖσθαι ἐκ σώματος καὶ ψυχῆς, ἀλλ' αὐτὴν τὴν ψυχὴν χρωμένην σώματι ἄνθρωπον εἶναι· ὥσπερ ὁ Πέτρος οὐκ ἔστι τι σύνθετον, ἐξ ἀνθρώπου καὶ ἱματίου, ἀλλ' ἄνθρωπος χρώμενος ἱματίῳ.

SG III, 32.2 (*Taurin*. XXIII, 183r, 30–33): Ἔτι, ἡ ψυχὴ τοῦ σώματος βελτίων ἐστίν, ὅπερ οὔτε ζῇ οὔτε τὰ προειρημένα ἀγαθὰ ἔχει εἰμὴ διὰ ψυχῆς. Τὸ τῆς ψυχῆς ἄρα ἀγαθόν, οἷον τὸ νοεῖν καὶ τὰ τοιαῦτα, βέλτιόν ἐστιν ἢ τὸ τοῦ σώματος ἀγαθόν. Οὐκ ἄρα τὸ τοῦ σώματος ἀγαθὸν ἔσχατόν ἐστιν ἀγαθόν.

3–7 Καὶ…εἶναι

SG III, 47.1–2 (*Taurin*. XXIII, 193v, 15–24): Εἰ δὲ τὰς ἄλλας χωριστὰς οὐσίας ἐν τῷ παρόντι βίῳ νοεῖν οὐ δυνάμεθα, διὰ τὸ συμπεφυκέναι τὸν ἡμέτερον νοῦν τοῖς φαντάσμασι, πολλῷ ἔλαττον τὴν θείαν οὐσίαν ἐν τῷ παρόντι βίῳ ἰδεῖν δυνησόμεθα, ἢ πάσας χωριστὰς οὐσίας παρέρχεται. Τεκμήριον δὲ τούτου ἐντεῦθεν λαβεῖν δυνατόν. Ὅσῳ μὲν γὰρ μᾶλλον ἡ ἡμετέρα διάνοια πρὸς τὴν τῶν πνευματικῶν ἀνατείνεται θεωρίαν, τοσούτῳ τῶν αἰσθητῶν μᾶλλον ἀφέλκεται. Ἔσχατος δὲ ὅρος, οἳ τὴν θεωρίαν δυνατὸν ἀφικνεῖσθαι, ἡ θεία ἐστὶν οὐσία. Ὅθεν ἀνάγκη τὸν τὴν θείαν οὐσίαν ὁρῶντα πάντη τῶν σωματικῶν αἰσθήσεων ἀπολελυμένον ὑπάρχειν, ἢ διὰ θανάτου ἤ τινος ἁρπαγῆς. Ἐντεῦθεν ἐστὶν ὅπερ ἐν τῷ τριακοστῷ τρίτῳ τῆς *Ἐξόδου* ἐκ προσώπου λέγεται τοῦ Θεοῦ· "οὐ γὰρ ὄψεταί με ἄνθρωπος καὶ ζήσεται".

12–20 δημιουργεῖ…ἀκολουθοίη

SG II, 83.10 (*Taurin*. XXIII, 140r, 22–24): Πρότερον ἄρα τῇ ψυχῇ τῷ σώματι ἡνῶσθαι ἁρμόζει ἢ τὸ χωρὶς εἶναι σώματος. Οὐκ ἄρα πρὸ τοῦ σώματος ἔκτισται ᾧ ἑνοῦται.

SG II, 83.34-35 (*Taurin*. XXIII, 143r, 8–14): Οὐκ ἄρα ἐστὶ δυνατὸν μίαν ψυχὴν διαφόροις ἑνοῦσθαι σώμασιν· ᾧ ἕπεται μηδὲ τὰς ψυχὰς εἶναι πρὸ τῶν σωμάτων. Ταύτῃ δὲ τῇ ἀληθείᾳ καὶ ἡ τῆς καθολικῆς πίστεως ἀπόφασις συμφωνεῖ· λέγεται γὰρ ἐν τοῖς *Ψαλμοῖς*, "ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν", ὅτι δηλονότι ὁ Θεὸς ἰδίᾳ ἑκάστῳ ψυχὴν ἐποίησεν, ἀλλ' οὐχ ὁμοῦ πάσας.

SG II, 84.6 (*Taurin*. XXIII, 143v, 21–23): Ἐπεὶ πᾶσαι αἱ ἀνθρώπιναι ψυχαὶ ἑνός εἰσιν εἴδους, ὥσπερ πάντες ἄνθρωποι, οὐκ ἐναντιοῦται τῇ προειρημένῃ καταπαύσει, εἰ καθ' ἡμέραν ὁ Θεὸς νέας κτίζει ψυχάς.

17-20 Ἀλλ'….ἀκολουθοίη

FT I, 15, 116-118: Αἱ δὲ ἀνθρώπιναι ψυχαὶ οὐ κατ' εἶδος, ἀλλ' ἀτομικῶς διακρίνονται. Ὅθεν οὐ μάχεται τῇ τελειότητι τοῦ παντός, εἰ ἐκ νέου κάθ' ἡμέραν ἀνίσχυσουν αἱ ψυχαί.

26–28 τέλος…ἀγαθόν

SG III, 17.1–2 (*Taurin*. XXIII, 170r, 30–35): …πάντα εἰς ἓν ἀγαθὸν τάττονται ὥσπερ εἰς ἔσχατον τέλος. Εἰ γὰρ οὐδὲν εἴς τι φέρεται ὥσπερ εἰς τέλος, εἰ μὴ καθόσον ἐκεῖνο ἐστὶν ἀγαθόν, ἀνάγκη τέλος εἶναι τὸ ἀγαθόν, καθόσον ἐστὶν ἀγαθόν. Ὃ ἄρα ἐστὶν ἔσχατον ἀγαθόν, μάλιστα τέλος ἐστὶ πάντων. Ἀλλὰ τὰ ἔσχατον ἀγαθὸν ἕν ἐστι μόνον, ὅπέρ ἐστιν ὁ Θεός… Πάντα ἄρα τάττονται εἰς ἓν ἀγαθόν, ὅπέρ ἐστιν ὁ Θεός, ὥσπερ εἰς ἔσχατον τέλος.

SG III, 25.2. (*Taurin*. XXIII, 177r, 34–35): Ἔσχατον γὰρ τέλος παντὸς πράγματος, ὡς δέδεικται, ὁ Θεὸς ἐστί.

SG III, 25.3. (*Taurin*. XXIII, 177v, 10–11): Τὸ τῷ νοεῖν ἄρα γινώσκειν τὸν Θεὸν ἔσχατόν ἐστι τέλος πάσης οὐσίας νοερᾶς.

SG III, 25.5 (*Taurin*. XXIII, 177v, 21–29): Ἀλλ’ ἐκδηλότατον τέλος πάσης οὐσίας νοερᾶς, καὶ τῆς ταπεινοτέρας, εἶναι τὸ νοεῖν τὸν Θεόν. Δέδεικται γὰρ ἀνωτέρω πάντων τῶν ὄντων ἔσχατον τέλος καὶ εἰς ὃ πάντα τείνει τὸν Θεὸν εἶναι. Ὁ δὲ ἀνθρώπινος νοῦς, καὶ εἰ ταπεινότερός ἐστιν ἐν τῇ τάξει τῶν νοερῶν οὐσιῶν, ὑψηλότερος μέντοι πάντων ἐστὶ τῶν ἐστερημένων νοῦ. Ἐπεὶ τοίνυν τῆς τιμιωτέρας οὐσίας οὐκ ἔστιν ἀτιμότερον τέλος, ἔσται καὶ τοῦ ἀνθρωπίνου νοῦ αὐτὸς ὁ Θεὸς τέλος. Πᾶν δὲ νοοῦν τοῦ ἰδίου ἐσχάτου τέλους τυγχάνει διὰ τοῦ νοεῖν αὐτό. Ἐν τῷ νοεῖν ἄρα ὁ ἀνθρώπινος νοῦς ὥσπερ εἰς ἔσχατον τέλος εἰς τὸν Θεὸν ἀφικνεῖται.

SG III, 25.7 (*Taurin*. XXIII, 177v, 37–178r, 3): Ἔτι, ἕκαστον μάλιστα τοῦ οἰκείου ἐσχάτου τέλους ἐφίεται. Ὁ δὲ ἀνθρώπινος νοῦς μᾶλλον ἐπιθυμεῖ καὶ ἀγαπᾷ καὶ ἥδεται τῇ γνώσει τῶν θείων, εἰ καὶ βραχὺ ταύτης μετέχειν δύναται, ἢ τῇ ἀτελεῖ γνώσει, ἣν περὶ τῶν ταπεινοτέρων ἔχει πραγμάτων. Ἔστιν ἄρα τοῦ ἀνθρώπου ἔσχατον τέλος τὸ νοεῖν τὸν Θεόν, ὃν ἂν δύνηται τρόπον.

SG III, 25.10 (*Taurin*. XXIII, 178v, 7–11): Τὸ τοῦ νοῦ ἄρα τέλος, τέλος ἐστὶ πάντων τῶν ἀνθρωπίνων ἐνεργειῶν. Τὸ ἀληθὲς δέ ἐστιν ἀγαθὸν καὶ τέλος τοῦ νοῦ, καὶ ἀκολούθως ἔσχατον τέλος ἡ πρώτη ἀλήθεια. Ἔσχατον ἄρα τέλος παντὸς ἀνθρώπου καὶ πασῶν ἐνεργειῶν αὐτοῦ καὶ ἐφέσεων τὸ γινώσκειν τὴν πρώτην ἀλήθειαν, ἥτις ἐστὶν ὁ Θεός.

SG III, 26.15–16 (*Taurin*. XXIII, 180r, 32– 180v, 2): Πολλῷ τοίνυν μᾶλλον οὐδ’ ἑτέρα τις ἐνέργεια θελήσεως ἡ εὐδαιμονία ἐστίν. Ἔτι, οὗτινός ἐστί τι ἐξωτερικὸν πρᾶγμα τέλος, κἀκείνου ἡ ἐνέργεια ἔσχατον εἰρήσεται τέλος, δι’ ἧς τοῦ πράγματος ἐκείνου τυγχάνει· ὥσπερ ἐν οἷς τὰ χρήματα τέλος ἔσχατον ἐστί, καὶ τὸ κεκτῆσθαι χρήματα τέλος ἔσχατον λέγεται, οὐ μέντοι τὸ ἀγαπᾶν ἢ ἐπιθυμεῖν. Τῆς δὲ νοερᾶς φύσεως ἔσχατον τέλος ἐστὶν ὁ Θεός. Ἐκείνη τοίνυν ἡ ἐνέργεια τοῦ ἀνθρώπου οὐσιωδῶς μακαριότης καὶ εὐδαιμονία ἐστίν, δι’ ἧς φθάνει πρὸς τὸν Θεόν. Τοῦτο δέ ἐστι τὸ νοεῖν· καὶ γὰρ θέλειν οὐ δυνάμεθα, ὃ μὴ νοοῦμεν. Ἐν τῷ γινώσκειν ἄρα τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία ἐστί, καὶ οὐκ ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ.

SG III, 52.7 (*Taurin*. XXIII, 199v, 3–8): Ἐντεῦθέν ἐστι ὅπερ ἐν τῷ ἐνδεκάτῳ τῆς Πρὸς Ῥωμαίους λέγεται· “ἡ τοῦ Θεοῦ χάρις ζωὴ αἰώνιος”. Ἐν αὐτῇ γὰρ τῇ θείᾳ θεωρίᾳ δείκνυμεν οὖσαν τὴν τοῦ ἀνθρώπου μακαριότητα, ἥτις “ζωὴ αἰώνιος” λέγεται. Πρὸς ἣν μόνῃ “τῇ τοῦ Θεοῦ χάριτι” λεγόμεθα φθάνειν, ὅτι καὶ ἡ τοιαύτη θεωρία πᾶσαν εὐπορίαν κτιστὴν ὑπεραίρει καὶ πρὸς ταύτην ἀδύνατόν ἐστιν ἐλθεῖν εἰμὴ διὰ τῆς θείας δωρεᾶς.

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 113r, 20–21): Αὐτὸς γάρ ἐστι τὸ ἔσχατον τέλος· αὐτὸς τοίνυν ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πραγμάτων ‘πρόνοια’ ἐν τῷ Θεῷ ὀνομάζεται.

5., 3 οἰκεῖον ἑκάστοις

Cf. *SG* III, 3.2 (*Taurin*. XXIII, 162r, 1–3): Πρὸς ὃ δὲ τὸ ποιοῦν τείνει, ἀνάγκη οἰκεῖον εἶναι αὐτῷ· οὐ γὰρ ἂν ἐφέρετο πρὸς ἐκεῖνο εἰμὴ διά τινα πρὸς αὐτὸ οἰκειότητα. Ὃ δέ ἐστιν οἰκεῖον τινι, ἀγαθόν ἐστιν αὐτῷ.

5–7 ὅθεν…δίκῃ

SG III, 10.14 (*Taurin*. XXIII, 167v, 5–9): Ἀνάγκη τοίνυν λέγειν ὡς ἡ ἐν τῇ θελήσει προϋφισταμένη ἀσθένεια οὐκ ἔστι φυσική, ἵνα μὴ ἐν πάσῃ ἐνεργείᾳ ἔποιτο τὴν θέλησιν ἁμαρτάνειν. Ἀλλ᾽ οὐδὲ τυχηρὰ καὶ ἐξ αὐτομάτου· οὐ γὰρ ἂν ἦν ἐν ἡμῖν ἁμάρτημα ἤθους· τὰ γὰρ τυχηρὰ ἀπροβούλευτά εἰσι καὶ παρὰ τὸν λόγον. Ἔστιν ἄρα ἑκουσία.

SG III, 10.17 (*Taurin*. XXIII, 167v, 38): Ἐν γὰρ τῇ τῆς θελήσεως ἐξουσίᾳ ἐστὶ θέλειν καὶ μὴ θέλειν.

7–10 Τῶν… ὠδί

SG III, 22.5 (*Taurin*. XXIII, 173v, 30–37): Καθόσον δὲ τῷ κινεῖν κινοῦσιν, ἔστι τῆς κινήσεως αὐτῶν τέλος τὸ τῆς θείας ὁμοιότητος τυγχάνειν ἐν τῷ αἴτια εἶναι ἑτέρων. Εἰσὶ δὲ ἑτέρων αἴτια, καθόσον αἰτιά εἰσι γενέσεως καὶ φθορᾶς καὶ τῶν ἄλλων κινήσεων ἐν τοῖς ὑποκάτω τούτοις. Αἱ κινήσεις ἄρα τῶν οὐρανίων σωμάτων, καθόσον κινοῦσι, τάττονται πρὸς τὴν γένεσιν καὶ τὴν φθοράν, ἥτις ἐστὶν ἐν τοῖς ὑπὸ κάτω τούτοις. Οὐκ ἔστι δὲ ἄτοπον τὰ οὐράνια σώματα κινεῖν ἕνεκα τῆς γενέσεως τῶν ὑπὸ κάτω τούτων, εἰ καὶ τὰ ὑποκάτω σώματα τῶν οὐρανίων εἰσὶν ἀτιμότερα, τὸ δὲ τέλος τοῦ πρὸς τὸ τέλος τιμιώτερον εἶναι ἀνάγκη.

SG III, 24.9: Οὐκ ἄρα ἄτοπον, εἰ αἱ κινήσεις τῶν οὐρανίων σωμάτων καὶ αἱ ἐνέργειαι τῶν κινούντων αὐτὰς ἀμηγέπη λέγοιντο εἶναι τῶν γινομένω καὶ φθειρομένων σωμάτων ἕνεκα, ἅπερ ἐκείνων εἰσὶν ἀτιμότερα. Οὐ γάρ εἰσι τούτων ἕνεκα ὥσπερ ἐσχάτου τέλους, ἀλλὰ τὴν γένεσιν τούτων σκοποῦντα τὸ ἴδιον σκοποῦσι ἀγαθὸν καὶ τὴν θείαν ὁμοιότητα ὥσπερ ἔσχατον τέλος.

SG III, 73.2 (*Taurin*. XXIII, 217r, 8–14): Ἐν δὲ τοῖς ἀψύχοις τὸ τῶν αἰτίων συμβεβηκὸς διὰ τὸ ἀτελές ἐστι καὶ τὴν ἔνδειαν. Κατὰ γὰρ τὴν αὐτῶν φύσιν πρὸς ἓν ἀποτέλεσμά εἰσιν ὡρισμένα, ᾧ ἀεὶ ἕπονται, ἂν μή τι ᾖ κώλυμα ἢ διὰ τὸ τῆς δυνάμεως ἀσθενὲς ἢ (sc. ἔκ τινος) ἔξωθεν ποιοῦντος ἢ διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα· καὶ διατοῦτο αἱ φύσει ποιητικαὶ αἰτίαι οὐκ εἰσὶν ἐφ᾽ ἑκάτερον, ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον τὸν αὐτὸν τρόπον τὸ ἴδιον προάγουσιν ἀποτέλεσμα, σπανίως δὲ ἀπολείπονται.

SG III, 82.5 (*Taurin*. XXIII, 225v, 16–17): Τὰ οὐράνια ἄρα σώματα ἀρχικὰ καὶ κινητικά εἰσι πάντων τῶν ἄλλων σωμάτων.

SG III, 82.6 (*Taurin*. XXIII, 225v, 35–36): Ἀνάγκη τοίνυν τὴν τοῦ οὐρανοῦ κίνησιν αἰτίαν εἶναι πασῶν τῶν ἄλλων κινήσεων.

SG III, 82.7 (*Taurin*. XXIII, 226r, 7–8): Ἀνάγκη τοίνυν τὸν οὐρανὸν εἶναι ἐν τοῖς ὑποκάτω τούτοις σώμασιν αἴτιον πάσης κινήσεως.

SG III, 82.8 (*Taurin*. XXIII, 226r 8–9): Οὕτω τοίνυν φανερὸν ὅτι τὰ ὑποκάτω σώματα ὑπὸ τοῦ Θεοῦ διὰ τῶν ὑπεράνω κινοῦνται.

SG III, 86.3 (*Taurin*. XXIII, 230r, 9–12): Ἔτι, ἡ κίνησις τῶν οὐρανίων σωμάτων τὸν αὐτόν ἐστιν ἀεὶ τρόπον. Εἰ τοίνυν τὰ ἀποτελέσματα τῶν οὐρανίων σωμάτων ἐν τοῖς ὑποκάτω τούτοις ἐξ ἀνάγκης προῆεσαν, τὸν αὐτὸν ἂν τρόπον εἶχον ἀεὶ τὰ ὑποκάτω ταῦτα. Οὐκ ἔχουσι δὲ οὕτως, ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον. Οὐκ ἄρα προΐασιν ἐξ ἀνάγκης.

SG III, 91.6 (*Taurin*. XXIII, 234r, 23–25): Τὰ δὲ οὐράνια σώματα μονοειδῆ εἰσι ὡς ἁπλᾶ καὶ ἄνευ τινὸς ἐναντιότητος ὑφεστῶτα, ἔτι τε αἱ κινήσεις αὐτῶν μονοειδεῖς εἰσι καὶ συνεχεῖς, τὸν αὐτὸν ἔχοντες τρόπον ἀεί.

10–17 Ἐκείνων… προῃρημένα

SG III, 1.5 (*Taurin*. XXIII, 160r, 31–35): Ἄλλα δέ, οὐ στερισκόμενα (addend. νοῦ), ἑαυτὰ εἰς τὸ ἴδιον τέλος οὐκ ἄγουσιν, ἀλλ᾽ ὑπ᾽ ἄλλου πρὸς τοῦτ᾽ ἄγονται. Ὧν τινα μέν, ἄφθαρτα ὄντα, ὥσπερ κατὰ τὸ φυσικὸν εἶναι ἔνδειαν οὐ δύνανται πάσχειν, οὕτω κἀν ταῖς ἰδίαις ἐνεργείαις οὐδέποτε ἀπὸ τῆς τάξεως τοῦ προκειμένου τέλους αὐτοῖς ἐξορίζονται, ἀλλ᾽ ἀεὶ τῇ προνοίᾳ τοῦ πρώτου διοικοῦντος ὑπόκεινται· ὥσπερ εἰσὶ τὰ οὐράνια σώματα, ὧν αἱ κινήσεις ἀεὶ ὁμοίως προΐασιν.

SG III, 16.5 (*Taurin*. XXIII, 170r, 22–29): Ἔτι, ὁμοίως τάττονται εἰς τὸ τέλος τά τε γινώσκοντα τὸ τέλος καὶ τὰ μὴ γινώσκοντα, εἰ καὶ τὰ μὴ γινώσκοντα τὸ τέλος καθ' ἑαυτὰ κινοῦνται εἰς τὸ τέλος, τὰ δὲ μὴ γινώσκοντα φέρεται εἰς τὸ τέλος ὑπ' ἄλλου ὁδηγούμενα, ὥσπερ φανερὸν ἐπὶ τοῦ τοξότου καὶ τοῦ βέλους. Ἀλλὰ τὰ γινώσκοντα τὸ τέλος ἀεὶ τάττονται εἰς τὸ ἀγαθὸν ὥσπερ εἰς τέλος· ἡ γὰρ θέλησις, ἥτις ἐστὶ τοῦ τέλους ἔφεσις τοῦ προγινωσκομένου, οὐδὲν εἰμὴ μετὰ λόγου τοῦ ἀγαθοῦ βούλεται, ὅπέρ ἐστιν αὐτῇ ἀντικείμενον. Ὥστε καὶ τὰ μὴ γινώσκοντα τὸ τέλος τάττονται εἰς τὸ ἀγαθὸν ὥσπερ εἰς τέλος. Τὸ ἀγαθὸν ἄρα ἐστὶ τὸ τέλος πάντων.

SG III, 23.12 (*Taurin*. XXIII, 176r, 24–30): Διαφέρει δὲ οὐδὲν πρὸς τὸν παρόντα σκοπόν, πότερον τὸ οὐράνιον σῶμα ὑπὸ νοερᾶς οὐσίας κινεῖται συνημμένης αὐτῷ, ἥτις ἐστὶν αὐτοῦ ψυχή, ἢ ὑπὸ χωριστῆς οὐσίας, καὶ πότερον ἕκαστον τῶν οὐρανίων σωμάτων ὑπὸ Θεοῦ ἀμέσως κινεῖται ἢ οὐδέν, ἀλλὰ μεσιτευουσῶν νοερῶν τινῶν καὶ κτιστῶν οὐσιῶν, ἢ τὸ μὲν πρῶτον μόνον ἀμέσως ὑπὸ τοῦ Θεοῦ, τὰ δὲ ἄλλα μεσιτευουσῶν τῶν κτιστῶν οὐσιῶν, ἅπαξ δεδειγμένου τὴν οὐρανίαν κίνησιν ὑπὸ νοερᾶς εἶναι οὐσίας.

SG III, 24.4 (*Taurin*. XXIII, 176v, 17–24): Οὕτω τοίνυν οὐ χαλεπὸν συνιδεῖν πῶς τὰ γνώσεως ἐστερημένα φυσικὰ σώματα κινοῦνται καὶ ποιοῦσιν ἕνεκα τέλους. Φέρονται γὰρ εἰς τὸ τέλος ὥσπερ ὑπὸ τῆς νοερᾶς οὐσίας ἀγόμενα ἐπ' αὐτό, ὃν τρόπον ἐπὶ τὸν σκοπὸν φέρεται τὸ βέλος ὑπὸ τοῦ τοξότου πεμπόμενον. Ὥσπερ γὰρ τὸ βέλος ἔπεται τῇ πρὸς τὸ ὡρισμένον τέλος κλίσει ἐκ τῆς ἀφέσεως τοῦ τοξότου, οὕτω καὶ τὰ φυσικὰ σώματα ἕπονται ταῖς εἰς τὰ φυσικὰ τέλη κλίσεσιν ἐκ τῶν φυσικῶς κινούντων, ἀφ' ὧν τυγχάνουσι τῶν οἰκείων εἰδῶν καὶ τῶν δυνάμεων τῆς κινήσεως.

SG III, 25.6 (*Taurin*. XXIII, 177v, 29–37): Ἔτι, ὥσπερ τὰ ἐστερημένα νοῦ εἰς τὸν Θεὸν ὡς εἰς τέλος τείνει διὰ τῆς ὁδοῦ τῆς ἀφομοιώσεως, οὕτως αἱ νοεραὶ οὐσίαι διὰ τῆς ὁδοῦ τῆς γνώσεως, ὡς ἐκ τῶν προειρημένων φανερόν. Τὰ δὲ ἐστερημένα νοῦ, καὶ εἰ πρὸς τὴν τῶν προσεχῶς ποιούντων ὁμοίωσιν τείνει, οὐ μέντοι ἐκεῖ ἠρεμεῖ ὁ τῆς φύσεως σκοπός, ἀλλ' ἀντὶ τέλους τὴν πρὸς τὸ ἔσχατον ἀγαθὸν ἀφομοίωσιν ἔχει, εἰ καὶ λίαν ἀτελῶς τῆς ὁμοιότητος ἅπτοιτο ταύτης. Ὁ ἄρα νοῦς, ὅσον ἂν ἐλάχιστον μετέχειν τῆς θείας γνώσεως δύναιτο, ἀντὶ ἐσχάτου τέλους αὐτῷ τοῦτ' ἔσται, μᾶλλον τῆς τελείας τῶν ὑποκάτω νοητῶν γνώσεως.

SG III, 81.3 (*Taurin*. XXIII, 224v, 23–26): Τῶν παντάπασι γνώσεως ἐστερημένων ἓν ὑπόκειται τῷ ἑτέρῳ, καθόσον ἕτερον ἑτέρου ποιεῖν ἐστι δυνατώτερον. Οὐδὲν γὰρ μετέχει τῆς διοικήσεως τῆς θείας προνοίας, ἀλλὰ μόνον τῆς διακονίας.

17–30 Ἄνθρωπος…τυγχάνων

SG III, 121.1 (*Taurin*. XXIII, 261r, 1–8): Ὥσπερ δὲ διὰ τῶν σωματικῶν καὶ αἰσθητῶν δύναται πρὸς τὸν Θεὸν μετεωρίζεσθαι ἡ τοῦ ἀνθρώπου διάνοια, εἴ τις μετὰ τῆς πρὸς Θεὸν αἰδοῦς τούτοις χρῆται τὸν ὀφειλόμενον τρόπον, οὕτω καὶ ἡ τούτων κατάχρησις ἢ τοῦ Θεοῦ παντάπασι ἀφέλκει τὴν τῶν ἀνθρώπων διάνοιαν, ἐν τοῖς ὑποκάτω τούτοις ἱσταμένου τοῦ τῆς βουλήσεως τέλους, ἢ τὸν τῆς διανοίας σκοπὸν ἐκλύουσιν ἀπὸ τοῦ Θεοῦ, πέρα τοῦ ἀναγκαίου τούτοις προστετηκότων ἡμῶν. Πρὸς τοῦτο δὲ προηγουμένως ὁ θεῖος δέδοται νόμος, ὥστε τῷ Θεῷ προσκολλᾶσθαι τὸν ἄνθρωπον. Τοῦ θείου τοίνυν ἐστὶ νόμου τάττειν τὸν ἄνθρωπον περὶ τὴν τῶν σωματικῶν καὶ αἰσθητῶν διάθεσίν τε καὶ χρῆσιν.

21–22 τὸ…μερικόν

SG III, 17.6 (*Taurin.* XXIII, 170v, 19–20): Τὸ δ' ἀγαθόν, ᾧ ἕκαστον πρᾶγμά ἐστιν ἀγαθόν, μερικόν ἐστιν ἀγαθὸν αὐτοῦ τε καὶ τῶν ἄλλων τῶν αὐτοῦ ἠρτημένων.

6. 1–4 Αὐτῶν…ζῶσι

SG III, 79.1. (*Taurin*. XXIII, 222r, 6–8): Ἐπεὶ δὲ τῶν νοερῶν κτισμάτων ἕτερα ἑτέρων εἰσὶν ὑψηλότερα, ὡς ἐκ τῶν ἀνωτέρω φανερόν, ἀνάγκη τὰς ὑποβεβηκυίας τῶν νοερῶν φύσεων διοικεῖσθαι διὰ τῶν ὑψηλοτέρων.

SG III, 79.4–5 (*Taurin*. XXIII, 220r, 18–28): Ἔτι, αἱ ὑψηλότεραι νοεραὶ οὐσίαι τελειότερον τῆς θείας οὐσίας τὴν ἐπίρροιαν ἐν ἑαυταῖς ὑποδέχονται· ἐπεὶ πᾶν ὃ δέχεται κατὰ τὸν ἑαυτοῦ δέχεται τρόπον. Πάντα δὲ διὰ τῆς θείας διοικοῦνται σοφίας. Καὶ οὕτως ἀνάγκη καὶ τῆς θείας σοφίας μᾶλλον μετέχοντα διοικεῖν τὰ ἧττον μετέχοντα. Αἱ ὑποκάτω ἄρα νοεραὶ οὐσίαι διοικοῦνται διὰ τῶν ἀνωτέρω. Λέγονται δὲ τὰ ἀνωτέρω πνεύματα καὶ ‘ἄγγελοι’, καθόσον τὰ ὑποβεβηκότα πνεύματα ἄγουσι τῷ τούτοις ἐξαγγέλλειν· οἱ γὰρ ἄγγελοι ὥσπερ μηνυταὶ λέγονται καὶ διάκονοι, καθόσον τῇ ἑαυτῶν ἐνεργείᾳ καὶ ἐν τοῖς σωματικοῖς τῇ τάξει τῆς θείας προνοίας ὑπηρετοῦνται. “Ὅ” γὰρ “διάκονος ὥσπερ ἔμψυχόν ἐστιν ὄργανον” κατὰ τὸν Φιλόσοφον. Καὶ τοῦτ’ ἐστὶν ὃ λέγεται ἐν τοῖς *Ψαλμοῖς*, “ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα”.

5–14 Προνοεῖ…ἑκάστῃ

ST Ia, Q. 50, A. 5 s.c. et Resp. (*Coisl*. 280, 49v, 3–9): Ἀλλὰ τοὐναντίον φησὶ Διονύσιος ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ *Περὶ θείων ὀνομάτων* ὅτι “αἱ νοηταὶ οὐσίαι ζωὴν ἔχουσιν ἀνεξάλειπτον, πάσης φθορᾶς καὶ θανάτου καὶ ὕλης καὶ γενέσεως ὑπάρχουσαι καθαραί”.

Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἀνάγκη τοὺς ἀγγέλους ἀφθάρτους εἶναι κατὰ τὴν αὐτῶν φύσιν. Τούτου δὲ αἴτιον ὅτι μηδὲν φθείρεται, εἰ μὴ καθόσον τὸ εἶδος τούτου τῆς ὕλης χωρίζεται· ὅθεν, ἐπεὶ ὁ ἄγγελος αὐτὸς ἐστὶν ὑφεστὼς εἶδος, ὡς εἴρηται, ἀδύνατον τὴν αὐτοῦ φύσιν φθαρτὴν εἶναι.

ST Ia, Q. 50, A. 5 ad 1um (*Coisl*. 280, 49v, 23–50r, 2): Πρὸς τὸ πρῶτον τοίνυν λεκτέον ὅτι ὁ Δαμασκηνὸς τὴν τελείαν ἀθανασίαν λαμβάνει, ἥτις πᾶσαν ἀμεταβλησίαν περιλαμβάνει, διὰ τὸ πᾶσαν μεταβολὴν θάνατον εἶναι. Οἱ δὲ ἄγγελοι χάριτι μόνῃ ταύτης τυγχάνουσιν, ὡς μετὰ ταῦτ’ ἔστι δῆλον.

8–9 ὃ…ὁσημέραι

ST Ia, Q. 63, A. 5 s.c. et Resp. (*Coisl*. 280, 110v, 15–19): …“Εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν καὶ ἦσαν καλὰ λίαν”. Ἀγαθοὶ ἄρα ἦσαν ποτε καὶ οἱ δαίμονες.

Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τινὲς ὑπέθεντο τοὺς δαίμονας ἅμα κτισθέντας κακοὺς γενέσθαι, οὐ φύσει, ἀλλὰ τῆς οἰκείας θελήσεως ἁμαρτίᾳ. Ἀφ’ οὗ γὰρ ἄγγελος γέγονεν ὁ διάβολος, παρῃτήσατο τὴν δικαιοσύνην.

13–14 φημὶ…ἑκάστῃ

SG II, 95.4 (*Taurin*. XXIII, 155r, 5–9): Φανερὸν δὲ ἐκ τῶν προειρημένων ὡς, ὅταν διάφορα εἴδη ἐν ταῖς χωριασταῖς οὐσίας λαμβάνωνται, καθόσον κεκλήρωνται διαφόρους βαθμούς, ἐν ἑνὶ δὲ εἴδει διάφορα ἄτομα οὐκ εἰσίν, οὐδὲ δύο ἴσα ἐν ταῖς χωρισταῖς οὐσίαις εἰσὶ κατὰ τάξιν, ἀλλὰ ἡ μία φύσις τῆς ἑτέρας ὑψηλοτέρα ἐστίν.

ST Ia, Q. 50, A. 4 ad 3um (*Coisl*. 280, 49r, 11–14): Πρὸς τὸ τρίτον. Τὸ τοῦ εἴδους ἀγαθὸν προτιμότερόν ἐστι τοῦ κατὰ τὸ ἄτομον ἀγαθὸν (ἀγαθοῦ scribendum)· ὅθεν πολλῷ βέλτιόν ἐστι πολλαπλασιάζεσθαι τὰ εἴδη ἐν τοῖς ἀγγέλοις ἢ πολλαπλασιάζεσθαι ἄτομα ἐν ἑνὶ εἴδει.

7. 1–4 Τῆς…γέγονε

SG II, 87.6 (*Taurin*. XXIII, 146r, 14–20): Ἔτι, τὸ τέλος τοῦ πράγματος τῇ ἀρχῇ τούτου ἀνταποκρίνεται· τότε γὰρ τέλειόν ἐστιν ἕκαστον, ὅταν ἐπὶ τὸ οἰκεῖον ἀφικνεῖται τέλος, ἢ δι’ ὁμοιότητος ἢ δι’ ἑτέρου τινὸς τρόπου. Τὸ δὲ τέλος τῆς ἀνθρωπίνης ψυχῆς καὶ ἡ ἐσχάτη ταύτης τελείωσίς ἐστιν τὸ διὰ γνώσεως καὶ ἀγάπης ὅλην τὴν τάξιν παρελθεῖν τῶν κτισμάτων καὶ πρὸς τὴν πρώτην ἀρχήν, ἥτις ἐστὶν ὁ Θεός, ἀφικέσθαι, ὥσπερ ἰδίως ἐξ αὐτοῦ καὶ τὴν ἀρχὴν ἔχει τῆς ἰδίας πρώτης καταβολῆς. Τούτῳ δὲ ἔοικε συγκατατίθεσθαι καὶ ἡ θεία Γραφὴ ἐν τῷ τῆς *Γενέσεως* πρώτῳ.

4–6 τί…συνηγορεῖ

ST Ia, Q. 93, A. 1 Resp. (*Coisl*. 280, 289v, 1–6): Φανερὸν δὲ ὡς ἐν τῷ ἀνθρώπῳ εὑρίσκεται ὁμοιότης τις τοῦ Θεοῦ, ἀπ' αὐτοῦ τοῦ Θεοῦ προϊοῦσα, ἀλλ' οὐ κατ' ἰσότητα· ἐπ' ἄπειρον γὰρ ὑπερβαίνει τὸ τοιοῦτον παράδειγμα τὴν τοιαύτην εἰκόνα· καὶ διὰ τοῦτο λέγεται μὲν ἐν τῷ ἀνθρώπῳ εἶναι τὴν θείαν εἰκόνα, οὐ μὴν τελείαν, ἀλλ' ἀτελῆ, καὶ τοῦτο σημαίνει καὶ Γραφή, ὅταν λέγει "κατ' εἰκόνα"· ἡ γὰρ πρόθεσις προσχώρησίν τινα σημαίνει, ἢ τοῖς διεστῶσιν ἁρμόζει.

10–16 Εἰ…θαυμάζειν

ST Ia, Q. 64, A. 4 Resp. (*Coisl*. 280, 120v, 9–11): …βέλτιόν ἐστι λέγειν ὡς ἡ αὐτή ἐστι κρίσις ἐπί τε ταῖς πονηραῖς ψυχαῖς καὶ τοῖς πονηροῖς ἀγγέλοις, ὥσπερ ἡ αὐτή ἐστι κρίσις ἐπὶ τοῖς ἀγαθοῖς ἀγγέλοις καὶ ταῖς ἀγαθαῖς ψυχαῖς.

16–20 Οὐ…ζωῇ

SG III, 5.3 (*Taurin*. XXIII, 163r, 28–33): Ἔτι, διαρρήδην ἐν τῷ τρίτῳ τῶν *Ἠθικῶν* Ἀριστοτέλης φησὶν ὅτι "ἑκούσιόν ἐστι τὸ κακὸν". Καὶ τοῦτο δείκνυσι διὰ τοῦ τὰ ἄδικα ἑκουσίως πολλοὺς ἐνεργεῖν, ἄλογον δέ ἐστιν ἑκόντα ποιοῦντα τὰ ἄδικα μὴ θέλειν ἄδικον εἶναι, καὶ ἑκουσίως [om. παιδεραστοῦντα] μὴ θέλειν ἀκρατῆ εἶναι, καὶ διὰ τοῦ τοὺς νομοθέτας τοὺς κακοὺς τιμωρεῖσθαι ὡς ἂν τὰ κακὰ ἑκόντας ποιοῦντας. Οὐκ ἄρα δοκεῖ τὸ κακὸν παρὰ τὸν σκοπὸν καὶ τὴν θέλησιν εἶναι.

20–26 Οὔτ…σκοποῦ

SG III, 73.4 (*Taurin*. XXIII, 217r, 32–34): Τὸ δὲ ποιοῦν ἐν τῷ ποιεῖν ἐλευθέρως τῆς θείας ὁμοιότητος τυγχάνει· δέδεικται γὰρ ἐν τῷ πρώτῳ τὸ αὐτεξούσιον εἶναι ἐν τῷ Θεῷ. Οὐκ ἄρα διὰ τῆς τοῦ Θεοῦ προνοίας ἡ τῆς θελήσεως ἀναιρεῖται ἐλευθερία.

26–35 Εἰ…ἐθελοκακία

SG III, 2.2 (*Taurin*. XXIII, 160v, 36–161r, 1): Οὐδὲν δὲ πρὸς τὸ προκείμενον διαφέρει πότερον γινώσκει ἢ οὐ γινώσκει τὸ τέλος τὸ τεῖνον εἰς τοῦτο· ὥσπερ γὰρ τοῦ τοξότου, οὕτω δὴ καὶ τῆς κινήσεως τοῦ βέλους τὸ τέλος ἐστὶν ὁ σκοπός. Πᾶσα δὲ τοῦ ποιοῦντος ὁρμὴ πρὸς ὡρισμένον τι φέρεται.

SG III, 16.4 (*Taurin*. XXIII, 170r, 22–29): Ἔτι, ὁμοίως τάττονται εἰς τὸ τέλος τά τε γινώσκοντα τὸ τέλος καὶ τὰ μὴ γινώσκοντα, εἰ καὶ τὰ μὴ γινώσκοντα τὸ τέλος καθ' ἑαυτὰ κινοῦνται εἰς τὸ τέλος, τὰ δὲ μὴ γινώσκοντα τὸ τέλος φέρεται εἰς τὸ τέλος ὑπ' ἄλλου ὁδηγούμενα, ὥσπερ φανερὸν ἐπὶ τοῦ τοξότου καὶ τοῦ βέλους. Ἀλλὰ τὰ γινώσκοντα τὸ τέλος ἀεὶ τάττονται εἰς τὸ ἀγαθὸν ὥσπερ εἰς τέλος· ἡ γὰρ θέλησις, ἥτις ἐστὶ τοῦ τέλος ἔφεσις τοῦ προγινωσκομένου, οὐδὲν εἰμὴ μετὰ τοῦ λόγου τοῦ ἀγαθοῦ βούλεται, ὅπέρ ἐστιν αὐτῇ ἀντικείμενον. Ὥστε καὶ τὰ μὴ γινώσκοντα τὸ τέλος τάττονται εἰς τὸ ἀγαθὸν ὥσπερ εἰς τέλος. Τὸ ἀγαθὸν ἄρα ἐστὶ τὸ τέλος πάντων.

SG III, 24.4 (*Taurin.* XXIII, 176v, 17–24): Οὕτω τοίνυν οὐ χαλεπὸν συνιδεῖν πῶς τὰ γνώσεως ἐστερημένα φυσικὰ σώματα κινοῦνται καὶ ποιοῦσιν ἕνεκα τέλους. Φέρονται γὰρ εἰς τὸ τέλος ὥσπερ ὑπὸ τῆς νοερᾶς οὐσίας ἀγόμενα ἐπ' αὐτό, ὃν τρόπον ἐπὶ τὸν σκοπὸν φέρεται τὸ βέλος ὑπὸ τοῦ τοξότου πεμπόμενον. Ὥσπερ γὰρ τὸ βέλος ἕπεται τῇ πρὸς τὸ ὡρισμένον τέλος κλίσει ἐκ τῆς ἀφέσεως τοῦ τοξότου, οὕτω καὶ τὰ φυσικὰ σώματα ἕπονται ταῖς εἰς τὰ φυσικὰ τέλη κλίσεσιν ἐκ τῶν φυσικῶς κινούντων, ἀφ' ὧν τυγχάνουσι τῶν οἰκείων εἰδῶν καὶ τῶν δυνάμεων τῆς κινήσεως.

SG III, 64.5 (*Taurin.* XXIII, 207v, 19–24): Ἀδύνατον δέ ἐστί τινα τὸ τέλος ἀγνοοῦντα ἕνεκα τοῦ τέλους ποιεῖν καὶ τεταγμένως εἰς αὐτὸ προϊέναι, ὑπό τινος εἰ μὴ κινοῖντο ἔχοντος γνῶσιν τοῦ τέλους· ὥσπερ τὸ βέλος ἰθύνεται πρὸς τὸν σκοπὸν ὑπὸ τοῦ τοξότου.

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 1–4): Πρὸς ὃ δέ τι μὴ δύναιτο φθάνειν τῇ δυνάμει τῆς ἑαυτοῦ φύσεως, ἀνάγκη ὑπ' ἄλλου εἰς τοῦτ' ἄγεσθαι· ὥσπερ τὸ βέλος πρὸς τὸν

σκοπὸν πέμπεται ὑπὸ τοῦ τοξότου· ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη· ἧς δὴ πομπῆς ὁ λόγος ἐν τῷ Θεῷ προϋφίσταται.

30 οἰκεῖον… βέλους

SG III, 3.2 (*Taurin.* XXIII, 162r, 1–3): Πρὸς ὃ δὲ τὸ ποιοῦν τείνει, ἀνάγκη οἰκεῖον εἶναι αὐτῷ· οὐ γὰρ ἂν ἐφέρετο πρὸς ἐκεῖνο εἰμὴ διά τινα πρὸς αὐτὸ οἰκειότητα. Ὃ δέ ἐστιν οἰκεῖον τινι, ἀγαθόν ἐστιν αὐτῷ.

35–38 Οὕτω… τόπον

SG III, 26.16 (*Taurin.* XXIII, 180r, 36–180v2): Τῆς δὲ νοερᾶς φύσεως ἔσχατον τέλος ἐστὶν ὁ Θεός. Ἐκείνη τοίνυν ἡ ἐνέργεια τοῦ ἀνθρώπου οὐσιωδῶς μακαριότης καὶ εὐδαιμονία ἐστίν, δι᾽ ἧς φθάνει πρὸς τὸν Θεόν. Τοῦτο δέ ἐστι τὸ νοεῖν· καὶ γὰρ θέλειν οὐ δυνάμεθα, ὃ μὴ νοοῦμεν. Ἐν τῷ γινώσκειν ἄρα τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία ἐστίν, καὶ οὐκ ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ.

50–56 Τούτοιν… βούλεται

SG III, 140.3-4 (*Taurin.* XXIII, 278r, 27–32): Ὁ δὲ Θεὸς ταῖς τῶν ἀνθρώπων πράξεσι τάξιν ἐπέθηκε πρὸς τὸ τέλος ἀφορῶσαν τοῦ ἀγαθοῦ, ὡς ἐκ τῶν προειρημένων φανερόν. Ἀνάγκη τοίνυν ἡ τάξις ἐκείνη ὀρθῶς εἴη κειμένη τοὺς διὰ τῆς τάξεως ἐκείνης χωροῦντας τοῦ τοῦ ἀγαθοῦ τέλους τυγχάνειν, ὅπερ ἐστὶ ἀμοιβῶν τυγχάνειν, τοὺς δὲ τῆς τάξεως ἀποχωροῦντας, τοῦ τοῦ ἀγαθοῦ τέλους ἀποκλείεσθαι διὰ τῆς ἁμαρτίας, ὅπερ ἐστὶ κολάζεσθαι.

Ἔτι, οἱ διὰ τῆς θείας χωροῦντες τάξεως τοῦ τέλους τυγχάνουσιν, ὅπερ ἀμοιβῆς ἔχει λόγον· οἱ δὲ τῆς τάξεως ἀποχωροῦντες τοῦ τέλους τοῦ ἀγαθοῦ ἀποκλείονται διὰ τῆς ἁμαρτίας, ὅ ἐστι τὸ κολάζεσθαι.

SG III, 142.1 (*Taurin.* XXIII, 279v, 38–280r, 7): Ἐπειδὴ ἡ θεία δικαιοσύνη τοῦτο ζητεῖ, τὸ διὰ τὸ τὴν προσήκουσαν ἐν τοῖς πράγμασιν τηρεῖσθαι ἰσότητα ὑπὲρ μὲν τῶν ἁμαρτιῶν τιμωρίας, ὑπὲρ δὲ τῶν ἀγαθῶν ἔργων ἆθλα ἀποδίδοσθαι, ἀναγκαῖον, ὥσπερ ἐν ταῖς ἐναρέτοις τῶν πράξεων καὶ τοῖς ἐν τοῖς ἁμαρτήμασι βαθμός τις ἐστίν, ὥσπερ δέδεικται, οὕτω τάξιν εἶναι καὶ ἀμοιβῶν καὶ κολάσεων· ἄλλως γὰρ οὐκ ἂν ἰσότης τηροῖτο, εἰ μὴ τῷ μεῖζον ἁμαρτάνοντι μεῖζονα κόλασιν καὶ τῷ βέλτιον πράξαντι μεῖζον ἀποδίδοται ἆθλον. Τοῦ γὰρ αὐτοῦ δοκεῖ εἶναι λόγου τὸ διαφόρως ἀπονέμειν κατὰ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ βελτίονος διαφοράν, καὶ τοῦ κακοῦ καὶ τοῦ χείρονος.

56–58 Σοφώτατα… ὁδηγοῖτο

SG III, 37.7 (*Taurin.* XXIII, 184v, 9–12): Πρὸς γὰρ τὴν τῆς θεωρίας τελείωσιν ζητεῖται ἡ τοῦ σώματος ὑγεία, πρὸς ἣν τάττονται πάντα τὰ τεχνητὰ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ἀλλὰ μὴν καὶ ἡ ἠρεμία ζητεῖται τῆς ἀπὸ τῶν παθῶν ταραχῆς.

8. 16–19 Περὶ… σκοπεῖν

ST Ia, Q. 62, A. 9 s.c. (*Coisl*. 280, 104v, 2–8): …τὸ ἀξιοῦσθαι ἀγαθῶν καὶ προκόπτειν τῇ ἐν τῇ ὁδῷ καταστάσει προσήκει. Οἱ δὲ ἄγγελοι οὐκ εἰσὶν ὁδοιπόροι, ἀλλ᾽ ἤδη καταλαβόντες· οἱ μακάριοι ἄρα ἄγγελοι οὐ δύνανται ἢ ἀξιοῦσθαι τινῶν, οὔτε ἐν τῇ μακαριότητι προκόπτειν.

25–37 Καὶ… ἐλάχιστον

SG III, 73.2 (*Taurin.* XXIII, 217r 9–12): Κατὰ γὰρ τὴν αὐτῶν φύσιν πρὸς ἓν ἀποτέλεσμά εἰσιν ὡρισμένα, ᾧ ἀεὶ ἔπονται, ἂν μή τι ᾖ κώλυμα, ἢ διὰ τὸ τῆς δυνάμεως ἀσθενὲς ἢ (om. ἔκ τινος) ἔξωθεν ποιοῦντος ἢ διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα.

SG III, 99.9 (*Taurin.* XXIII, 244v 1–9): Ἡ γὰρ ἐντεθεῖσα τοῖς πράγμασιν ὑπὸ Θεοῦ τάξις, καθόσον ἔστιν ἐν τοῖς πράγμασιν, ἢ ὡς ἐπὶ τὸ πλεῖστον εἴωθε συμβαίνειν, οὐ μέντοι πανταχοῦ κατὰ τὸ ἀεί. Πολλὰ γὰρ τῶν φυσικῶν αἰτίων τὰ ἴδια ἀποτελέσματα παράγουσιν ὡς ἐπὶ τὸ πλεῖστον τὸν αὐτὸν τρόπον, οὐ μέντοι ἀεί· ἐνίοτε γάρ, εἰ καὶ ὡς ἐπ᾽ ἔλαττον, ἄλλως συμβαίνει, ἢ διὰ τὴν ἀσθένειαν τῆς ποιητικῆς δυνάμεως ἢ τὸ τῆς ὕλης ἀνεπιτήδειον ἢ δι᾽ ἄλλο τι ποιοῦν ἰσχυρότερον· ὥσπερ ὅταν ἐν τῷ ἀνθρώπῳ ἕκτον δάκτυλον ἡ φύσις γεννᾷ. Οὐ μέντοι διατοῦτο μεταβάλλει ἢ ἀσθενεῖ ἡ τῆς προνοίας τάξις· καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ τὴν ὡς ἐπὶ τὸ πλεῖστον φυσικὴν τάξιν ἐνίοτε ἀσθενεῖν ὑπὸ τὴν θείαν ἐστὶ πρόνοιαν.

32–34 τὸ … δήπου

SG III, 74.4 (*Taurin.* XXIII, 217v 30–31): Οὐκ ἄρα ἐναντίον ἐστὶ τῇ θείᾳ προνοίᾳ τὸ εἶναί τινα ἐν τοῖς πράγμασιν ἐξ αὐτομάτου καὶ τύχης.

34–37 καὶ … ἐλάχιστον

SG III, 1.5 (*Taurin.* XXIII, 160v 3–6): Ἐξ οὗ φαίνεται ὡς οὐδὲ τὰ τῆς τοῦ πρώτου διοικητοῦ τάξεως ἀποστατεῖν δοκοῦντα τὴν τῆς πρώτης διοικήσεως ἀποδιδράσκουσι δύναμιν· καὶ γὰρ καὶ τὰ φθαρτὰ ταῦτα σώματα, ὥσπερ ὑπὸ Θεοῦ συνέστη, οὕτω καὶ τελείως ὑποτάττονται τῇ αὐτοῦ ἐξουσίᾳ.

37–39 Εἰ … σπουδαῖοι

ST Ia, Q. 113, A. 4 Resp. (*Coisl*. 280, 388r, 4–12): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ὁ ἄνθρωπος ἐν τῇ καταστάσει τῆς παρούσης ζωῆς ὥσπερ ἔν τινι ὁδῷ ἐστί, δι᾽ ἧς πρὸς τὴν πατρίδα ἐπείγεται· ἐν ᾗ δὴ ὁδῷ πολλοὶ κίνδυνοι αὐτῷ ἐφεστᾶσι, τοῦτο μὲν ἔσωθεν, τοῦτο δὲ καὶ ἔξωθεν, ὡς λέγεται ἐν τοῖς *Ψαλμοῖς*, ‘Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι’. Καὶ διὰ τοῦτο, ὥσπερ τοῖς ὁδὸν ἐπισφαλῆ πορευομένοις ἀνθρώποις δίδονται φύλακες, οὕτω δὴ καὶ ἑκάστῳ ἀνθρώπων, μέχρις ἂν ᾖ ὁδοιπόρος, ἄγγελος ἀφορίζεται φύλαξ· ὅταν δὲ ἤδη πρὸς τὸ τέλος ἀφικνεῖται τῆς ὁδοῦ, οὐχ ἕξει τοῦ λοιποῦ φύλακα, ἀλλ᾽ ἐν μὲν τῇ βασιλείᾳ ἄγγελον συμβασιλεύοντα, ἐν δὲ τῷ ᾅδῃ δαίμονα τιμωρούμενον.

9.1. 1–8 Πᾶσι … φαμέν

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 28–31 = *Vat*. *Gr.* 609, 45r, 22–23]: Τῆς δὲ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται· τὸ δὲ τέλος, πρὸς ὃ τὰ κτίσματα τάττονται ὑπὸ τοῦ Θεοῦ, διπλοῦν ἐστιν· ἓν μὲν ὃ πάντα λόγον καὶ εὐπορίαν τῆς κτιστῆς φύσεως ὑπερβαίνει· τοῦτο δέ ἐστιν ἡ αἰώνιος ζωή, ἥτις ἐν τῇ θείᾳ θεωρίᾳ συνίσταται, ὑπὲρ τὴν φύσιν οὖσῃ παντὸς κτιστοῦ, καθὼς εἴρηται.

SG III, 25.13–16 (*Taurin.* XXIII, 178v 26–179r, 7): Ἔτι, τὸ σῶμα, ὃ φυσικῇ ροπῇ πρὸς τὸ ἑαυτοῦ που φέρεται, τοσοῦτο σφοδρότερον καὶ θᾶττον κινεῖται, ὅσῳ μᾶλλον πλησιάζει τῷ τέλει· ὅθεν Ἀριστοτέλης ἀποδείκνυσιν ἐν τῷ *Περὶ οὐρανοῦ* πρώτῳ ὅτι ἡ φυσικὴ κατ᾽ εὐθεῖαν κίνησις οὐ δύναται εἶναι ἐπ᾽ ἄπειρον, ἐπεὶ οὐκ ἂν ὕστερον μᾶλλον ἐκινεῖτο ἢ πρότερον. Ὃ ἄρα ὕστερον σφοδρότερον ἐπί τι κινεῖται ἢ πρότερον, οὐ κινεῖται ἐπ᾽ ἄπειρον, ἀλλὰ ἐπί τι ὡρισμένον τείνει. Τοῦτο δὲ εὑρίσκεται ἐν τῇ τοῦ γινώσκειν ὀρέξει· ὅσο γάρ τις πλείω γινώσκει, τοσοῦτο μειζόνως γινώσκειν ἐπιθυμεῖ. Ἡ φυσικὴ ἄρα ἔφεσις τοῦ ἀνθρώπου εἰς τὸ γινώσκειν τείνει πρός τι τέλος ὡρισμένον. Τοῦτο δὲ οὐδὲν ἄλλο δύναται εἶναι ἢ τὸ τιμιώτατον γνωστόν, ὅπέρ ἐστιν ὁ Θεός. Ἡ θεία ἄρα γνῶσις ἔσχατον τέλος ἐστὶ τοῦ ἀνθρώπου. Τὸ ἔσχατον δὲ τέλος τοῦ ἀνθρώπου καὶ πάσης οὐσίας νοερᾶς ‘εὐδαιμονία’ ἢ ‘μακαριότης’ ὀνομάζεται· τοῦτο γάρ ἐστιν οὗ πᾶσα ἐπιθυμεῖ νοερὰ οὐσία, ὥσπερ ἔσχατον τέλος καὶ καθ᾽ ἑαυτὸ μόνον. Ἔστιν ἄρα ἡ ἐσχάτη μακαριότης καὶ εὐδαιμονία πάσης οὐσίας νοερᾶς τὸ γινώσκειν τὸν Θεόν. Ἐντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ πέμπτῳ κεφαλαίῳ τοῦ *Κατὰ Ματθαῖον*· “μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται”, καὶ ἐν τῷ τοῦ *Ἰωάννου* ἑπτακαιδεκάτῳ· “αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν

Θεόν". Ταύτῃ δὲ τῇ ἀποφάσει καὶ Ἀριστοτέλης ἐν τῷ ἐσχάτῳ τῶν *Ἠθικῶν* συμφωνεῖ, ὅπου τὴν ἐσχάτην τοῦ ἀνθρώπου εὐδαιμονίαν θεωρητικὴν εἶναί φησι κατὰ τὴν θεωρίαν τοῦ ἀρίστου θεωρητοῦ.

4–5 τὸ…ἡδονή

SG III, 37.9 (*Taurin.* XXIII, 184v, 22–24): Ἐξ οὗ φανερὸν δι' ἐπαγωγῆς ὅπερ τοῖς προειρημένοις ἀποδέδεικται λόγοις, ὅτι ἡ τοῦ ἀνθρώπου ἐσχάτη εὐδαιμονία ἐν μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ ὑφίσταται.

SG III, 52.7 (*Taurin.* XXIII, 199v 3–8): Ἐντεῦθέν ἐστι ὅπερ ἐν τῷ ἐνδεκάτῳ τῆς *Πρὸς Ῥωμαίους* λέγεται, "ἡ τοῦ Θεοῦ χάρις ζωὴ αἰώνιος". Ἐν αὐτῇ γὰρ τῇ θείᾳ θεωρίᾳ δείκνυμεν οὖσαν τὴν τοῦ ἀνθρώπου μακαριότητα, ἣτις "ζωὴ αἰώνιος" λέγεται. Πρὸς ἣν μόνῃ "τῇ τοῦ Θεοῦ χάριτι" λεγόμεθα φθάνειν, ὅτι καὶ ἡ τοιαύτη θεωρία πᾶσαν εὐπορίαν κτιστὴν ὑπεραίρει καὶ πρὸς ταύτην ἀδύνατόν ἐστιν ἐλθεῖν εἰμὴ διὰ τῆς θείας δωρεᾶς.

5–8 Νοῦς…φαμέν

SG III, 26.16 (*Taurin.* XXIII, 184v, 22–24): Τῆς δὲ νοερᾶς φύσεως ἔσχατον τέλος ἐστὶν ὁ Θεός. Ἐκείνη τοίνυν ἡ ἐνέργεια τοῦ ἀνθρώπου οὐσιωδῶς μακαριότης καὶ εὐδαιμονία ἐστίν, δι' ἧς φθάνει πρὸς τὸν Θεόν. Τοῦτο δέ ἐστι τὸ νοεῖν· καὶ γὰρ θέλειν οὐ δυνάμεθα, ὃ μὴ νοοῦμεν. Ἐν τῷ γινώσκειν ἄρα τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία ἐστίν, καὶ οὐκ ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ.

SG III, 32.2–3 (*Taurin.* XXIII, 183r, 30–35): Ἔτι, ἡ ψυχὴ τοῦ σώματος βελτίων ἐστίν, ὅπερ οὔτε ζῇ οὔτε τὰ προειρημένα ἀγαθὰ ἔχει εἰμὴ διὰ ψυχῆς. Τὸ τῆς ψυχῆς ἄρα ἀγαθόν, οἷον τὸ νοεῖν καὶ τὰ τοιαῦτα, βέλτιόν ἐστιν ἢ τὸ τοῦ σώματος ἀγαθόν. Οὔκ ἄρα τὸ τοῦ σώματος ἀγαθὸν ἔσχατόν ἐστιν ἀγαθόν.

Ἔτι, ταῦτα τὰ ἀγαθὰ (sc. ὑγεία, κάλλος, ἰσχὺς) τῷ τε ἀνθρώπῳ καὶ τοῖς ἄλλοις ζῴοις εἰσὶ κοινά. Ἡ δὲ εὐδαιμονία ἀίδιον ἀγαθόν ἐστι τοῦ ἀνθρώπου. Οὐκ ἄρα ἐν τοῖς προειρημένοις ἀγαθοῖς ἡ τοῦ ἀνθρώπου εὐδαιμονία ἐστίν.

SG III, 37.8–9 (*Taurin.* XXIII, 184v, 20–24): Λείπεται τοίνυν ἐν τῇ τῆς σοφίας θεωρίᾳ ὑφεστάναι τὴν τοῦ ἀνθρώπου ἐσχάτην εὐδαιμονίαν καὶ τῇ περὶ τῶν θείων ἐπισκέψει. Ἐξ οὗ φανερὸν δι' ἐπαγωγῆς ὅπερ τοῖς προειρημένοις ἀποδέδεικται λόγοις, ὅτι ἡ τοῦ ἀνθρώπου ἐσχάτη εὐδαιμονίᾳ ἐν μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ ὑφίσταται.

SG III, 47.2 (*Taurin.* XXIII, 193v, 18–23): Τεκμήριον δὲ τούτου ἐντεῦθεν λαβεῖν δυνατόν. Ὅσῳ μὲν γὰρ μᾶλλον ἡ ἡμετέρα διάνοια πρὸς τὴν τῶν πνευματικῶν ἀνατείνεται θεωρίαν, τοσούτῳ τῶν αἰσθητῶν μᾶλλον ἀφέλκεται. Ἔσχατος δὲ ὅρος, οἳ τὴν θεωρίαν δυνατὸν ἀφικνεῖσθαι, ἡ θεία ἐστὶν οὐσία. Ὅθεν ἀνάγκη τὸν τὴν θείαν οὐσίαν ὁρῶντα πάντη τῶν σωματικῶν αἰσθήσεων ἀπολελυμένον ὑπάρχειν, ἢ διὰ θανάτου ἤ τινος ἁρπαγῆς.

SG III, 48.17 (*Taurin.* XXIII, 196r, 31–33): Ἔσται τοίνυν ἡ τοῦ ἀνθρώπου ἐσχάτη εὐδαιμονία ἐν τῇ τοῦ Θεοῦ γνώσει, ἣν ἡ ἀνθρωπίνη διάνοια ἔχει μετὰ τὴν παροῦσαν ζωήν, καθ' ὃν τρόπον αὐτὸν καὶ αἱ χωρισταὶ οὐσίαι γινώσκουσιν.

SG III, 63.7 (*Taurin.* XXIII, 207r, 28–30): Ἡ γὰρ τῆς ἀληθείας θεωρία ἄρχεται μὲν ἐν τῇ παρούσῃ ζωῇ, τελειοῦται δὲ ἐν τῇ μελλούσῃ· ἡ δὲ πρακτικὴ ζωὴ καὶ πολιτικὴ τῆς ζωῆς ταύτης τοὺς ὅρους οὐχ ὑπερβαίνουσιν.

7–8 τοῦτ'…φαμέν

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 7–9): Ὅθεν ὁ λόγος τῆς ὁδηγίας τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν τῆς λογικῆς κτίσεως ´´προορισμὸς ὀνομάζεται· ὁρίζειν γάρ ἐστι τὸ τὸν ὅρον ἐφ' ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι. Καὶ δῆλον ἐντεῦθεν ὅτι ὁ προορισμὸς τῆς προνοίας μέρος ἐστί.

9–11 Τοῖς…καὶ ἀθλιότητι

SG III, 140.3 (*Taurin.* XXIII, 278r, 27–32): Ὁ δὲ Θεὸς ταῖς τῶν ἀνθρώπων πράξεσι τάξιν ἐπέθηκε πρὸς τὸ τέλος ἀφορῶσαν τοῦ ἀγαθοῦ, ὡς ἐκ τῶν προειρημένων φανερόν· ἀνάγκη τοίνυν ἡ τάξις ἐκείνη ὀρθῶς εἴη κειμένη, τοὺς δὲ τῆς τάξεως ἐκείνης χωροῦντας τοῦ τοῦ ἀγαθοῦ τέλους τυγχάνειν, τοὺς δὲ τῆς τάξεως ἀποχωροῦντας τοῦ τοῦ ἀγαθοῦ τέλους ἀποκλείεσθαι διὰ τῆς ἁμαρτίας, ὅπέρ ἐστι τὸ κολάζεσθαι.

11–16 Ὥρισται…οὖσα

SG III, 10.16 (*Taurin.* XXIII, 167v, 23–25): Ἐπεὶ ὁ λόγος πολλὰ ἀγαθὰ καὶ πολλὰ τέλη δύναται καταλαμβάνειν, ἑκάστου δέ ἐστιν ἴδιον τέλος, καὶ τῆς θελήσεως ἔσται ἀντικείμενον καὶ τέλος πρῶτον κινητικόν.

16–25 θέλει…ζωῆς

ST Ia, Q. 19, A. 6 ad 1um (*Vatop*. 254, 101r, 9–23): Πρὸς τὸ πρῶτον τοίνυν λεκτέον ὅτι ὁ τοῦ Ἀποστόλου λόγος "ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν" τριχῶς νοεῖσθαι δύναται· ἕνα μὲν τρόπον, ὥστ' εἶναι [lacuna], ὥστε τὴν διάνοιαν εἶναι τοιαύτην· ὁ Θεὸς θέλει πάντας ἀνθρώπους σωθῆναι οἵτινες σώζονται· ἀλλ' οὐχ ὅτι μηδείς ἐστιν ὃν μὴ θέλει σωθῆναι, ὥς φησιν Αὐγουστῖνος. [...]. Τρίτον δὲ τρόπον κατὰ τὸν Δαμασκηνὸν, νοεῖται περὶ τῆς ἡγουμένης βουλῆς, ἀλλ'οὐ τῆς ἑπομένης· ἡ δὲ διάκρισις αὕτη οὐ κατὰ τὴν θείαν λαμβάνεται βούλησιν, ἐν ᾗ οὐδέν ἐστι πρότερον ἢ ὕστερον, ἀλλὰ κατὰ τὰ θελητά. Ἵνα δὲ τοῦτο νοήσωμεν, ἰστέον ἂν εἴη ὅτι ἕκαστον, καθόσον ἐστὶν ἀγαθὸν, κατὰ τοσοῦτον καὶ ὑπὸ τοῦ Θεοῦ ἐστι θελητόν· δύναται δέ τι κατὰ τὴν πρώτην περὶ αὐτοῦ θεωρίαν, καθόσον ἁπλῶς θεωρεῖται, ἀγαθὸν ἢ κακὸν εἶναι.

ST Ia, Q. 19, A. 6 Resp. (*Vatop*. 254, 101r, 27–101v, 4): Ὅθεν δυνατὸν λέγειν τὸν δίκαιον δικαστὴν προηγουμένως μὲν θέλειν πάντα ἄνθρωπον ζῆν, ἑπομένως δὲ θέλειν τὸν φονέα ἀναρτηθῆναι· ὁμοίως δὲ καὶ ὁ Θεὸς προηγουμένως μὲν θέλει πάντα ἄνθρωπον σωθῆναι, ἑπομένως δὲ θέλει τινὰς κατακριθῆναι, καθὼς τὸ θεῖον δίκαιον ἀπαιτεῖ. Ἀλλ' ὃ προηγουμένως θέλομεν, οὐχ ἁπλῶς θέλομεν, ἀλλά πη· ἡ γὰρ θέλησις πρὸς τὰ πράγματα καθόσον εἰσὶν ἐν ἑαυτοῖς ἀναφέρεται· ἐν ἑαυτοῖς δέ εἰσι κατὰ τὸ μερικόν. Ὅθεν ἁπλῶς τι βουλόμεθα, ὅταν ἐκεῖνο θέλωμεν θεωρηθέντων πάντων τῶν μερικῶν περιστατικῶν, ὅπέρ ἐστι τὸ ἑπομένως θέλειν. Ὅθεν δυνατὸν λέγειν ὡς ὁ δίκαιος κριτὴς ἁπλῶς θέλει τὸν φονέα ἀναρτηθῆναι, εἰ καί πη θέλει τοῦτον ζῆν, δηλαδὴ καθόσον ἐστὶν ἄνθρωπος.

20–25 Ὅθεν…ζωῆς

ST Ia, Q. 23, A. 3 Resp. (*Vatop*. *Vatop*. 254, 118r, 24–26): Ὥσπερ τοίνυν ὁ προορισμὸς προνοίας μέρος ἐστὶ τῇ πρὸς τὰ θέοθεν εἰς τὴν αἰώνιον ζωὴν ταττόμενα παραθέσει, οὕτως ἡ ἀποδοκιμασία ἐστὶ μέρος προνοίας τῇ πρὸς τὰ ἀποπίπτοντα τοῦ τέλους τούτου παραθέσει.

9.2. 6–9 ὅσα…τοὐναντίον

SG IV, 55.11 (*Taurin.* XXIII, 365v, 7–29): Ἔδει τοίνυν αὐτὸν μέχρι τινὸς ἐγκαταλειφθῆναι, ὥστ' ἐκ πείρας γνῶναι ὡς αὐτὸς πρὸς τὴν σωτηρίαν οὐκ ἂν ἀρκέσειεν ἐν ἑαυτῷ οὔτε κατὰ τὴν φυσικὴν σοφίαν, ἐπεὶ πρὸ τοῦ καιροῦ τοῦ γραπτοῦ νόμου τὸν τῆς φύσεως νόμον ὁ ἄνθρωπος παραβέβηκεν, οὔτε κατὰ τὴν ἰδίαν ἀρετήν, ἐπεὶ δοθείσης αὐτῷ γνώσεως τῆς ἰδίας ἁμαρτίας διὰ τοῦ νόμου, καὶ οὕτω ἥμαρτεν ἀσθενείᾳ· καὶ διὰ τοῦτο ἐδέησε μετὰ ταῦτα, οὔτε περὶ σοφίας οὔτε περὶ ἀρετῆς οἵησιν ἔχοντι, τῷ ἀνθρώπῳ βοήθημα κατὰ τῆς ἁμαρτίας δοθῆναι δραστήριον διὰ τῆς σαρκώσεως τοῦ Χριστοῦ, δι' ἧς καὶ ἐπαιδεύθη περὶ τῶν ἀμφιβόλων, ἵνα μὴ γνώσεως δέηται, καὶ πρὸς τὰς τῶν πειρασμῶν ἐπαναστάσεις ἐρρώσθη, ἵνα μὴ ὑπὸ τῆς ἀσθενείας ἐκλύηται. Οὕτω τοίνυν ἐγένετο τρεῖς καταστάσεις τοῦ ἀνθρωπίνου γένους εἶναι· πρώτην τὴν πρὸ τοῦ νόμου, δευτέραν τὴν ὑπὸ νόμον, τρίτην τὴν ὑπὸ χάριν. Μετὰ δὲ ταῦτα ἔδει τοῖς ἀνθρώποις δοθῆναι παρὰ τοῦ σαρκωθέντος Θεοῦ ἐντολὰς καὶ διδασκαλίας [...]. Οὕτω τοίνυν προσῆκον ἦν τὸ ἀνθρώπινον

γένος ἐξ ἀρχῆς μὲν περὶ τῶν ἀνηκόντων τῇ αὐτοῦ σωτηρίᾳ παιδεύεσθαι διά τινων κούφων διδαγμάτων καὶ ἐλαττόνων διὰ τῶν πατριαρχῶν καὶ τοῦ νόμου καὶ τῶν προφητῶν, μετὰ δὲ ταῦτα ἐπὶ συντελείᾳ τῶν χρόνων τὴν τελείαν τοῦ Χριστοῦ διδασκαλίαν ἐπὶ γῆς προτεθῆναι.

26–28 Ἀλλ… σύγχυσις

SG III, 7.2 (*Taurin.* XXIII, 164r, 31–34): Τὸ γὰρ κακὸν οὐδὲν ἄλλο ἐστίν, ὡς εἴρηται, εἰμὴ στέρησις οὗ τις πέφυκεν ἔχειν· οὕτω γὰρ παρὰ πᾶσιν ἡ τοῦ ὀνόματος τούτου, τοῦ ‘κακόν’, ἐστὶ χρῆσις. Ἡ δὲ στέρησις οὐκ ἔστιν οὐσία τις, ἀλλ’ ἔστιν ἀπόφασις ἐν οὐσίᾳ.

SG III, 7.3 (*Taurin.* XXIII, 164r, 37–38): Κατὰ τοῦτο τοίνυν ἕκαστον ἀγαθὸν ἐστίν, ὅτι οὐσίαν ἔχει. Τὸ δὲ ἀγαθὸν καὶ κακὸν ἀντίκεινται. Οὐδὲν ἄρα ἐστὶ κακόν, καθόσον οὐσίαν ἔχει. Οὐδεμία ἄρα οὐσία ἐστὶ τὸ κακὸν.

SG III, 8.9 (*Taurin.* XXIII, 165r, 38–165v, 3): Ἐξ οὗ φανερὸν ὅτι τὸ ἀγαθὸν καὶ κακόν εἰσιν ἐναντία, καθόσον λαμβάνονται ἐν τῷ γένει τῶν ἠθικῶν, οὐ μέντοι ἁπλῶς λαμβανόμενα…, ἀλλὰ τὸ κακόν, καθόσον κακόν, στέρησίς ἐστι τοῦ ἀγαθοῦ.

SG III, 11.3 (*Taurin.* XXIII, 168r, 12–16): Ἔτι, τὸ κακὸν στέρησίς τίς ἐστιν, ὡς ἐκ τῶν προειρημένων φανερόν. Ἡ δὲ στέρησις καὶ οὗ ἡ στέρησις εἶδος ἐν τῷ αὐτῷ ὑποκειμένῳ εἰσί. Τὸ δὲ τοῦ εἴδους ὑποκείμενον ὄν ἐστι δυνάμει πρὸς τὸ εἶδος, ὅπέρ ἐστιν ἀγαθόν· ἐν γὰρ τῷ αὐτῷ γένει ἐστὶν ἡ δύναμις καὶ ἡ ἐνέργεια. Ἡ στέρησις τοίνυν, ἥτις κακὸν ἐστίν, ἔστιν ἔν τινι ἀγαθῷ ὥσπερ ἐν ὑποκειμένῳ.

SG III, 13.3 (*Taurin.* XXIII, 169r, 27–28): Τὸ δὲ κακὸν στέρησις ἐστίν, οὗ τις πέφυκεν ἔχειν· κατὰ τοῦτο γὰρ ἕκαστον κακὸν εἶναι λέγεται.

ST Ia, Q. 19, A. 9 Resp. (*Vatop*. 254, 103v, 21–12): Τὸ δὲ συνημμένον τινὶ ἀγαθῷ κακὸν στέρησίς ἐστιν ἄλλου ἀγαθοῦ.

35–37 Κοινῇ… τυγχάνει

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 7): Ὅθεν ὁ λόγος τῆς ὁδηγίας τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν τῆς λογικῆς κτίσεως ‘προορισμὸς’ ὀνομάζεται.

37–42 Εἰ… σπεύδειν

SG III, 99.5 (*Taurin.* XXIII, 244r, 7–10): Ἔτι, ἡ τῶν πραγμάτων τάξις εἰς τὰ πράγματα παρὰ Θεοῦ προὐχέθη, καθόσον προλελογισμένος ἦν ὁ Θεὸς ἐν τῷ ἑαυτοῦ νῷ περὶ ταύτης· ὥσπερ κἀν τοῖς ἀνθρωπίνοις ὁρῶμεν πράγμασιν ὅτι ὁ τῆς πόλεως ἄρχων τὴν προμεμελετημένην παρ’ αὐτῷ τάξιν ἐπιτίθησι τοῖς πολίταις.

9.3. 1–13 Ἡ… καταπράττεται

SG III, 156.2 (*Taurin.* XXIII, 292v, 13–15): Ὁ δὲ ἄνθρωπος ἐν τῷ ἀγαθῷ διαμένει τῇ τῆς θείας χάριτος βοηθείᾳ, ὡς δέδεικται· ὥστε καὶ δι’ ἁμαρτίας παρατραπεὶς τῇ τῆς αὐτῆς χάριτος βοηθείᾳ δυνήσεται ἀποκαταστῆναι.

ST Ia, Q. 103, A. 5 Resp. (*Coisl.* 280, 333v, 10–14): Καὶ ταῦτα ὑπὸ τοῦ Θεοῦ κυβερνῶνται, οὐ μόνον διὰ τὸ κινεῖσθαι ὑπ’ αὐτοῦ τοῦ Θεοῦ ἔνδοθεν ἐνεργοῦντος, ἀλλὰ καὶ διὰ τὸ ὑπ’ αὐτοῦ ἐνάγεσθαι εἰς τὸ ἀγαθὸν καὶ ἀφέλκεσθαι τοῦ κακοῦ διὰ προτροπῶν, ἄθλων καὶ τιμωριῶν· τοῦτον δὲ τὸν τρόπον οὐ κυβερνῶνται ὑπὸ τοῦ Θεοῦ τὰ ἄλογα κτίσματα, ἅτινα μόνον ἄγονται, ἀλλ’ οὐκ ἄγουσιν.

13–19 Καὶ… Θεοῦ

SG III, 155.10 (*Taurin.* XXIII, 292v, 3–17): Καὶ διὰ τοῦτο λέγοντες δεῖσθαι τῆς ἐκ τῆς χάριτος βοηθείας τὸν ἄνθρωπον πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ νοοῦμεν ἐπὶ τῇ πρότερον δεδομένῃ καθ’ ἕξιν χάριτι πρὸς τὸ τὰ ἀγαθὰ πράττειν ἄλλην προσεπιδίδοσθαι πρὸς τὸ διαμένειν, ἀλλὰ νοοῦμεν ὅτι πασῶν οὐσῶν τῶν ἀπὸ τῆς χάριτος ἕξεως, ἔτι δεῖται τῆς ἐκ τῆς θείας προνοίας βοηθείας ὁ ἄνθρωπος ἔξωθεν κυβερνώσης.

17–19 Πολλαὶ…Θεοῦ

SG III, 155.1-2 (*Taurin.* XXIII, 291v, 24–27): Δεῖται καὶ τῆς ἐκ τῆς θείας χάριτος βοηθείας ὁ ἄνθρωπος, ὥστε παραμεῖναι ἐν τῷ ἀγαθῷ. Πᾶν γὰρ τὸ ἀφ' ἑαυτοῦ ὂν μεταβλητὸν δεῖται βοηθείας τινὸς ἀκινήτου κινοῦντος, ὥστ' ἐν ἑνὶ πεπηγέναι. Ὁ δὲ ἄνθρωπος μεταβλητός ἐστι καὶ ἐκ τοῦ κακοῦ εἰς τὸ ἀγαθὸν καὶ ἐκ τοῦ ἀγαθοῦ εἰς τὸ κακόν. Πρὸς τὸ ἀκινήτως τοίνυν ἀν τῷ ἀγαθῷ διαμεῖναι τῆς θείας δεῖται βοηθείας.

23–28 Ἀπαλλάττει…ποιεῖν

SG III, 99.2 (*Taurin.* XXIII, 243v, 13–15): Ὁ δὲ Θεὸς δύναται ποιεῖν παρὰ τὴν τάξιν ταύτην ἐν τοῖς ὑποκάτω τούτοις ἀποτέλεσμα οὐδὲν πρὸς τοῦτο συνεργοῦντος τοῦ ἀνωτέρω αἰτίου.

SG III, 100.1 (*Taurin.* XXIII, 244v, 26–27): Ὅμως λογίζεσθαι χρὴ ὡς, εἰ καὶ ὁ Θεὸς πολλάκις παρὰ τὴν ἐντεθεῖσαν τοῖς πράγμασι τάξιν ἐνεργεῖ τι, οὐδὲν μέντοι τῇ φύσει ἐναντίον ποιεῖ.

SG III, 99.10 (*Taurin.* XXIII, 244v, 10–19): Εἰ τοίνυν καὶ διὰ κτιστῆς τινος δυνάμεως δυνατὸν τὴν φυσικὴν τάξιν ἀπὸ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἐπ' ἔλαττον μεταβάλλεσθαι ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλεσθαι, πολλῷ μᾶλλον ἡ δύναμις τῆς θείας προνοίας δυναταί τι ποιεῖν ἐνίοτε παρὰ τὴν ἐν τοῖς φυσικοῖς πράγμασιν ἐντεθεῖσαν παρὰ τοῦ Θεοῦ τάξιν ἄνευ τοῦ δοκεῖν τὴν αὐτοῦ πρόνοιαν μεταβάλλειν. Τοῦτο γὰρ καὶ πρὸς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως πολλάκις ποιεῖ. Οὐδένα γὰρ τρόπον φανερώτερον γενέσθαι δυνατὸν τὸ τὴν φύσιν ὅλην τῇ θείᾳ ὑποτετάχθαι βουλήσει ἢ ἐκ τοῦ τοῦτόν ποτε παρὰ τὴν τάξιν τῆς φύσεως ἐνεργεῖν τι· ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν τῶν πραγμάτων τάξιν ἀπὸ τοῦ Θεοῦ οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ' ἀπὸ ἐλευθέρας βουλήσεως προελθεῖν.

31–36 Τούτων…ἑτοιμάζοντος

SG III, 142.1 (*Taurin.* XXIII, 279v, 38–280r, 7): Ἐπεὶ δ' ἡ θεία δικαιοσύνη τοῦτο ζητεῖ, τὸ διὰ τὸ τὴν προσήκουσαν ἐν τοῖς πράγμασι τηρεῖσθαι ἰσότητα ὑπὲρ μὲν τῶν ἁμαρτιῶν τιμωρίας, ὑπὲρ δὲ τῶν ἀγαθῶν ἔργων ἆθλα ἀποδίδοσθαι, ἀναγκαῖον, ὥσπερ ἐν ταῖς ἐναρέτοις τῶν πράξεων καὶ ἐν τοῖς ἁμαρτήμασι βαθμὸς τις ἔστιν, ὥσπερ δέδεικται, οὕτω τάξιν εἶναι καὶ ἀμοιβῶν καὶ κολάσεων· ἄλλως γὰρ οὐκ ἂν ἰσότης τηροῖτο, εἰ μὴ τῷ μεῖζον ἁμαρτάντοντι μείζων κόλασις καὶ τῷ βέλτιον πράξαντι μεῖζον ἀποδίδοται ἆθλον· τοῦ γὰρ αὐτοῦ δοκεῖ εἶναι λόγου τὸ διαφόρως ἀπονέμειν κατὰ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ βελτίονος διαφορὰν καὶ τοῦ κακοῦ καὶ τοῦ χείρονος.

36–38 Οὐδὲν…ἀποβησόμενον

ST Ia, Q. 23, A. 4 s.c. (*Vatop*. 254, 118v, 25–26): Ἀλλὰ τοὐναντίον λέγεται ἐν τῷ πρώτῳ τῆς *Πρὸς Ἐφεσίους*· "ἐξελέξατο ὑμᾶς ἐν ἑαυτῷ πρὸ καταβολῆς κόσμου".

38–41 Οὐδὲ…ὀργάνοις

SG III, 76.3 (*Taurin.* XXIII, 219v, 28–29): Ἀνάγκη τοίνυν, ὥσπερ ἀμέσως γινώσκει τὰ μερικά, οὕτω καὶ ἀμέσως τὴν τάξιν ὑφιστάνειν.

SG III, 77.1 (*Taurin.* XXIII, 220v, 30–221r, 4): Προσεκτέον δ' ἂν εἴη ὡς δύο ζητοῦνται περὶ τὴν πρόνοιαν, ἡ τάξις καὶ ἡ τῆς τάξεως ἀποπλήρωσις. Ὧν τὸ μὲν πρότερον διὰ τῆς γνωστικῆς δυνάμεως γίνεται (ὅθεν οἱ τελειοτέρας γνώσεως ὄντες τῶν ἄλλων λέγονται τακτικοί· "τοῦ" γὰρ "σοφοῦ ἐστι τὸ τάττειν"), τὸ δὲ δεύτερον διὰ τῆς πρακτικῆς δυνάμεως γίνεται. Ἀνάπαλιν δὲ ἔχει τὰ δύο ταῦτα· ἡ μὲν γὰρ τάξις τοσούτῳ τελειοτέρα ἐστίν, ὅσῳ μᾶλλον καὶ πρὸς τὰ ἐλάχιστα κάτεισιν, ἡ δὲ τῶν ἐλαχίστων ἀποπλήρωσις τῇ ταπεινοτέρᾳ προσήκει δυνάμει, τῷ ἀποτελέσματι οὖσα ἀνάλογον. Ἐν δὲ τῷ Θεῷ ἐσχάτως ἐστὶ καὶ ἀμφότερα τέλεια· ἐν αὐτῷ γὰρ καὶ τελειοτάτη σοφία πρὸς τὸ τάττειν ἐστὶ καὶ τελειοτάτη

πρὸς τὸ ποιεῖν δύναμις. Ἀνάγκη τοίνυν αὐτὸν τῇ ἑαυτοῦ σοφίᾳ καὶ τὰς τῶν ἐλαχίστων τάξεις διατιθέναι, ἀποπληροῖ δὲ τὰ ἐλάχιστα διὰ τῶν ταπεινοτέρων δυνάμεων, δι' ὧν ἐνεργεῖ, ὥσπερ ἡ καθόλου δύναμις καὶ ὑψηλοτέρα διὰ τῆς ταπεινοτέρας καὶ μερικῆς. Προσῆκον τοίνυν ἐστὶ τὰς ταπεινοτέρας ποιητικὰς δυνάμεις ἀποπληρωτικὰς εἶναι τῆς θείας προνοίας.

ST Ia, Q. 22, A. 3 ad 2um (*Vatop*. 254, 115v, 16–18): Πρὸς τὸ δεύτερον. Διὰ τοῦ τὸν Θεὸν ἀμέσως ἔχειν πρόνοιαν πάντων αἱ δεύτεραι αἰτίαι οὐκ ἀναιροῦνται· ἀποπληρωτικαὶ γάρ εἰσι τῆς τοιαύτης τάξεως, ὡς δῆλον ἐκ τῶν εἰρημένων.

50–52 οὔτε… συμβεβηκός

ST Ia, Q. 115, A. 4 Resp. (*Coisl*. 280, 400v, 8–15) = *FT I* 8 1–10: Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τὰ οὐράνια σώματα εἰς μὲν τὰ σώματα ἄντικρυς δρῶσι καὶ καθ' αὑτά, ὥσπερ ἤδη εἴρηται, εἰς δὲ τὰς τῆς ψυχῆς δυνάμεις, αἵ εἰσιν ὀργάνων σωματικῶν ἐντελέχειαι, ἄντικρυς μέν, ἀλλὰ κατὰ συμβεβηκός. Ἀνάγκη γὰρ τὰς ἐνεργείας τῶν τοιοῦτων δυνάμεων κωλύεσθαι τῶν ὀργάνων ἐμποδιζομένων· ὥσπερ ὀφθαλμὸς ταραχθεὶς οὐ καλῶς ὁρᾷ· ὅθεν, εἴπερ ὁ νοῦς καὶ ἡ θέλησις ἦσαν δυνάμεις σωματικοῖς ὀργάνοις προσδεδεμέναι, ὥσπερ ὑπέθεντό τινες λέγοντες μὴ διαφέρειν τὸν νοῦν τῆς αἰσθήσεως, εἶπετ' ἂν ἐξ ἀνάγκης τὰ οὐράνια σώματα αἴτια εἶναι τῶν ἀνθρωπίνων αἱρέσεων καὶ ἐνεργειῶν

SG III, 84.1 (*Taurin.* XXIII, 226r, 29–35): Ἐκ δὲ τῶν προειρημένων ἐφεξῆς φανερὸν ὅτι τὰ οὐράνια σώματα τῶν περὶ τὸν νοῦν αἴτια εἶναι οὐ δύνανται. Ἤδη γὰρ δέδεικται τὸ τὰ ὑποκάτω διὰ τῶν ὑπεράνω διοικεῖσθαι τε καὶ κινεῖσθαι τάξιν εἶναι τῆς θείας προνοίας. Ὁ δὲ νοῦς τῇ τῆς φύσεως τάξει πάντων τῶν σωμάτων ὑπέρκειται, ὡς ἐκ τῶν προειρημένων φανερόν. Ἀδύνατον ἄρα τὰ οὐράνια σώματα εἰς τὸν νοῦν ἄντιρκυς δρᾶν. Οὐκ ἄρα δύνανται καθ' ἑαυτὰ τῶν περὶ τὸν νοῦν αἴτια εἶναι.

SG III, 85.19 (*Taurin.* XXIII, 229r, 38–229v, 14): Ἰστέον δὲ ὅτι, εἰ καὶ τὰ οὐράνια σώματα οὐκ εἰσὶν ἄντικρυς αἴτια τῶν ἡμετέρων αἱρέσεων ὥσπερ ἄντικρυς εἰς τὴν ἡμετέραν βούλησιν δρῶντα, κατὰ συμβεβηκὸς μέντοι αἴτιά τινα ταῖς ἡμετέραις αἱρέσεσιν ἐξ αὐτῶν χορηγεῖται, καθόσον ἔχουσι δύναμιν δραστικὴν εἰς τὰ σώματα. Καὶ τοῦτο διχῶς. Ἕνα μὲν τρόπον, καθόσον αἱ τῶν οὐρανίων σωμάτων εἰς τὰ ἔξωθεν σώματα δράσεις αἴτια γίνονται ἡμῖν αἱρέσεων τινῶν· ὥσπερ, ἐπεὶ διὰ τῶν οὐρανίων σωμάτων ὁ ἀὴρ εἰς ἐπιτεταμένον τρέψεται ψύχος, αἱρούμεθα θερμαίνεσθαι πυρὶ ἢ τοιαῦτά τινα ποιεῖν, ἃ τῷ καιρῷ δοκοῦσι προσήκειν. Ἕτερον δὲ τρόπον, καθόσον ὑπ' ἐκείνων πάσχουσι τὰ ἡμέτερα σώματα, ὧν ἐκ τῆς μεταβολῆς ἀνακύπτουσι παθῶν τινων ἐν ἡμῖν κινήσεις…, ὥσπερ οἱ μελαγχολικαὶ εὐκολοί εἰσι πρὸς ὀργήν, ἢ ὅτι ἡ δρᾶσις ἐκείνων αἰτία ἡμῖν γίνεται σωματικῆς τινος διαθέσεως, ἥτις ἐστὶν αἱρέσεώς τινος πρόφασις, ὥσπερ ἀρρωστοῦντες αἱρούμεθα θεραπεύεσθαι.

10. 2–3 ἐπειδὴ ἔδει… βιοῦν

SG III, 85.4 (*Taurin.* XXIII, 228r, 3–12): Ἔτι, τὰ ἐκ τῆς δράσεως τῶν οὐρανίων ἐν τοῖς ὑποκάτω τούτοις ἀποβαίνοντα κατὰ φύσιν συμβαίνουσι· τὰ γὰρ ὑποκάτω ταῦτα ὑπ' ἐκεῖνα φύσει τετάχαται. Εἰ τοίνυν αἱ ἡμέτεραι αἱρέσεις ἐκ τῆς δράσεως ἀποβαίνουσι τῶν οὐρανίων σωμάτων, ἀνάγκη φυσικῶς ἀποβαίνειν, ὥστε φύσει τὸν ἄνθρωπον αἱρεῖσθαι οὕτω τὰς ἰδίας ἐνεργεῖν πράξεις, ὥσπερ καὶ τὰ ἄλογα φυσικῷ τινι ἐργάζεται νόμῳ καὶ τὰ ἄψυχα σώματα φύσει κινεῖται. Οὐκ ἄρα ἡ πρόθεσις καὶ ἡ φύσις δύο ποιητικαὶ ἀρχαὶ ἔσονται, ἀλλ' ἓν μόνον, ἡ φύσις δηλαδή. Οὗ τοὐναντίον Ἀριστοτέλης φησὶν ἐν τῷ δευτέρῳ τῶν *Φυσικῶν*. Οὐκ ἄρα ἐστὶν ἀληθὲς ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων τὰς ἡμετέρας προϊέναι αἱρέσεις.

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 11–13): …τὰ καλὰ καὶ φαῦλα τῶν ἔργων τῶν ἀνθρωπίνων ἐν ἡμῖν εἰσιν, καθόσον κύριοί ἐσμεν διὰ τοῦ αὐτεξουσίου τῶν ἡμετέρων πράξεων.

4–9 Ἐρχόμενος… ἀναχώρησις

SG III, 89.5 (*Taurin.* XXIII, 232v, 31–36): Ἔτι, οὐ μόνην τὴν δύναμιν ὁ Θεὸς τοῖς πράγμασιν δίδωσιν, ἀλλὰ καὶ τῶν πραγμάτων οὐδὲν δύναται τῇ ἰδίᾳ δυνάμει ποιεῖν, εἰ μὴ τῇ δυνάμει τούτου ποιεῖ, ὡς προαποδέδεικται. Οὐδ᾽ ὁ ἄνθρωπος ἄρα τῇ δεδομένῃ αὐτῷ τῆς θελήσεως δυνάμει δύναται χρῆσθαι, εἰ μὴ καθόσον διὰ τῆς τοῦ Θεοῦ δυνάμεως ποιεῖ. Ἐκεῖνο δέ, οὗ διὰ τῆς δυνάμεως τὸ ποιοῦν ποιεῖ, οὐ μόνον τῆς δυνάμεώς ἐστιν αἴτιον, ἀλλὰ καὶ τῆς ἐνεργείας.

SG III, 90.2 (*Taurin.* XXIII, 233r, 14–16): Πάντα γὰρ ὅσα ποιεῖ ὁ Θεὸς, κατὰ τὴν τάξιν τῆς ἑαυτοῦ προνοίας ποιεῖ. Ἐπεὶ τοίνυν αὐτός ἐστιν αἰτία τῆς ἡμετέρας αἱρέσως καὶ βουλήσεως, καὶ αἱ ἡμέτεραι αἱρέσεις τε καὶ βουλήσεις τῇ θείᾳ προνοίᾳ ὑπόκεινται.

SG III, 91.2 (*Taurin.* XXIII, 233v, 28–29): Αἱ μὲν γὰρ θελήσεις τε καὶ αἱρέσεις ἀμέσως ὑπὸ τοῦ Θεοῦ διατίθενται.

ST Ia, Q. 23, A. 3 Resp. (*Vatop*. 254, 118v, 7–8): Ἡ δ᾽ ἁμαρτία πρόεισιν ἐκ τοῦ αὐτεξουσίου τοῦ ἀποδεδοκιμασμένου καὶ τῆς χάριτος ἀποπίπτοντος.

10–12 ὥσπερ… τεταγμένοι
SG III, 17.5 (*Taurin.* XXIII, 170v, 7–8): Ἔτι, ἐν πᾶσι τοῖς τεταγμένοις τέλεσι τὸ ἔσχατον τέλος ἀνάγκη πάντων τῶν προηγουμένων τελῶν εἶναι τέλος.

12–16 Καὶ… αὐτομολεῖ
ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 115r, 1–2): «Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν», ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῆς *πρὸς Ῥωμαίους*.

16–22 Ἀλλ… βούλοιτο
SG III, 163.2-3 (*Taurin.* XXIII, 296r, 28–8): Οὕτω τοίνυν δῆλον οὖν ὅτι ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ καὶ ἡ ἀποδοκιμασία μέρος τί ἐστι τῆς θείας προνοίας, καθ᾽ ὃ οἱ ἄνθρωποι διὰ τῆς θείας προνοίας εἰς τὸ ἔσχατον τάττονται τέλος. Ὅθεν διὰ τῶν αὐτῶν φανερὸν ὡς ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ οὐκ ἐπάγουσιν ἀνάγκην, περὶ ὧν καὶ ἀνωτέρω δέδεικται ὅτι ἡ θεία πρόνοια τὸ ἐνδεχόμενον τῶν πραγμάτων οὐκ ἀναιρεῖ· ὅτι δὲ τοῦ προορισμοῦ καὶ τῆς ἐκλογῆς οὐκ ἔστιν αἴτιον ἀνθρώπινά τινα ἔργα, δῆλον γένοιτ᾽ ἂν οὐ μόνον ἐκ τοῦ τὴν χάριν τοῦ Θεοῦ, τοῦ προορισμοῦ οὖσαν ἀποτέλεσμα, ὑπὸ τῶν ἔργων μὴ προλαμβάνεσθαι, ἀλλὰ καὶ πάντων ἀνθρωπίνων ἔργων αὐτὴν προηγεῖσθαι, ὡς δέδεικται, ἀλλὰ καὶ ἐκ τούτου δύναται φανερὸν γενέσθαι, ἐκ τοῦ τὴν θείαν θέλησιν δηλονότι καὶ πρόνοιαν αἰτίαν εἶναι τῶν γινομένων.

22–25 Ἔστι… διαφεύγει
SG III, 88.7 (*Taurin.* XXIII, 232v, 11–13): Ἐντεῦθεν ἐστὶν ὃ λέγεται ἐν τῷ εἰκοστῷ πρώτῳ τῶν *Παροιμιῶν*· “καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, καὶ ὅπου ἂν θέλῃ κλινεῖ αὐτήν”.

SG III, 162.7 (*Taurin.* XXIII, 295v, 37– 296r, 4): Λέγεται γὰρ ἐν τῷ δεκάτῳ τῆς *Ἐξόδου*, “Ἐγὼ ἐσκλήρυνα τὴν καρδίαν Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ”· καὶ ἐν ἕκτῳ τοῦ *Ἡσαΐου*, “Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ ἐπιστραφῶ καὶ ἰάσωμαι αὐτούς”· καὶ ἐν τῷ ἑξηκοστῷ τρίτῳ τοῦ *Ἡσαΐου*, “Ἐπλάνησας ἡμᾶς ἀπὸ τῶν ὁδῶν σου, καὶ ἐσκλήρυνας τὴν καρδίαν ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε”.

26–28 Καὶ… βίους
ST Ia, Q. 22, A. 3 ad 2um (*Vatop*. 254, 115v, 16–18): Πρὸς τὸ δεύτερον. Διὰ τοῦ τὸν Θεὸν ἀμέσως ἔχειν πρόνοιαν πάντων αἱ δεύτεραι αἰτίαι οὐκ ἀναιροῦνται· ἀποπληρωτικαὶ γάρ εἰσι τῆς τοιαύτης τάξεως, ὡς δῆλον ἐκ τῶν εἰρημένων.

28–43 Καὶ… παραμυθουμένου

SG III, 161.1 (*Taurin.* XXIII, 295r, 36– 295v, 8): Ἀλλ᾽ εἰ καὶ ὁ ἁμαρτάνων κωλύει τὴν χάριν και, καθόσον ἡ τῶν πραγμάτων τάξις ἀπαιτεῖ, οὐκ ἔστι δίκαιος ταύτην δέξασθαι, ὅμως, ἐπεὶ καὶ παρὰ τὴν ἐντεθεῖσαν τοῖς πράγμασι τάξιν ὁ Θεὸς ἐνεργεῖν δύναται, ὥσπερ ὅταν φωτίζῃ μὲν τὸν τυφλόν, ἀνιστᾷ δὲ τὸν νεκρὸν πολλάκις κατὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀγαθότητος, καὶ τοὺς τὴν χάριν κωλύοντας τῇ ἑαυτοῦ βοηθείᾳ φθάνει ἀποστρέφων αὐτοὺς τοῦ κακοῦ καὶ πρὸς τὸ ἀγαθὸν ἐπιστρέφων· καὶ ὥσπερ οὐ τοὺς τυφλοὺς πάντας φωτίζει οὔτε πάντας τοὺς ὀδυνωμένους ἰᾶται, ἵνα καὶ ἐν τοῖς θεραπευομένοις τὸ τῆς αὐτοῦ δυνάμεως ἔργον γίνηται δῆλον κἀν τοῖς ἄλλοις ἡ τῆς φύσεως φυλάττηται τάξις, οὕτως οὐδὲ πάντας τοὺς τὴν χάριν κωλύοντας φθάνει τῇ ἑαυτοῦ βοηθείᾳ ὥστ᾽ ἀποστρέφεσθαι μὲν τοῦ κακοῦ, ἐπιστρέφεσθαι δὲ εἰς τὸ ἀγαθόν, ἀλλά τινας, ἐν οἷς ἂν βούλοιτο τὸ ἑαυτοῦ ἔλεος ἐκφῆναι οὕτως, ὥστ᾽ ἐν τοῖς ἄλλοις δήλην εἶναι τὴν τοῦ δικαίου τάξιν.

44 εἴτε[1] … ἀγνοουμένων

SG III, 16.4 (*Taurin.* XXIII, 170r, 22–29): Ἔτι, ὁμοίως τάττονται εἰς τὸ τέλος τά τε γινώσκοντα τὸ τέλος καὶ τὰ μὴ γινώσκοντα, εἰ καὶ τὰ μὲν γινώσκοντα τὸ τέλος καθ᾽ ἑαυτὰ κινοῦνται εἰς τὸ τέλος, τὰ δὲ μὴ γινώσκοντα φέρεται εἰς τὸ τέλος ὑπ᾽ ἄλλου ὁδηγούμενα, ὥσπερ φανερὸν ἐπὶ τοῦ τοξότου καὶ τοῦ βέλους. Ἀλλά τὰ γινώσκοντα τὸ τέλος ἀεὶ τάττονται εἰς τὸ ἀγαθὸν ὥσπερ εἰς τέλος· ἡ γὰρ θέλησις, ἥτις ἐστὶ τοῦ τέλους ἔφεσις τοῦ προγινωσκομένου, οὐδὲν εἰμὴ μετὰ λόγου τοῦ ἀγαθοῦ βούλεται, ὅπέρ ἐστιν αὐτῇ ἀντικείμενον. Ὥστε καὶ τὰ μὴ γινώσκοντα τὸ τέλος τάττονται εἰς τὰ ἀγαθὸν ὥσπερ εἰς τέλος. Τὸ ἀγαθὸν ἄρα ἐστὶ τὸ τέλος πάντων.

45–47 πάντα … προνοίας

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 3–6): Ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη· ἧς δὴ πομπῆς ὁ λόγος ἐν τῷ Θεῷ προϋφίσταται, ὥσπερ ἔστιν ἐν αὐτῷ καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὅν φαμεν ‘πρόνοιαν’· ὁ δὲ τοῦ γενησομένου λόγος ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων προϋπόστασίς τίς ἐστι τοῦ γενησομένου πράγματος.

51–53 Καὶ … προδιατέτακται

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 27–28): Πάντα γάρ, ὡς προαποδέδεικται, τῇ θείᾳ προνοία ὑπόκεινται· τῆς δὲ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται.

55–59 Καὶ … τρόπον

ST Ia, Q. 57, A. 4 Resp. (*Coisl*. 280, 75v, 23– 76r, 2): Τὸ δὲ γινώσκειν τοὺς διαλογισμοὺς ἴδιόν ἐστι τοῦ Θεοῦ, ὡς ἐν τῷ ἑπτακαιδεκάτῳ τοῦ *Ἱερεμίου*· “διεστραμμένη ἐστὶν ἡ τοῦ ἀνθρώπου καρδία καὶ ἀνεξερεύνητος· τίς γνώσεται ταύτην; Ἐγὼ Κύριος ἐρευνῶν καρδίας”.

11.1. 1–5 Ταῦτα … μένει

SG III, 163.2-3 (*Taurin.* XXIII, 296r, 28–38): Οὕτω τοίνυν δῆλον ὅτι ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ καὶ ἡ ἀποδοκιμασία μέρος τί ἐστι τῆς θείας προνοίας, καθ᾽ ὃ οἱ ἄνθρωποι διὰ τῆς θείας προνοίας εἰς τὸ ἔσχατον τάττονται τέλος. Ὅθεν διὰ τῶν αὐτῶν φανερὸν ὡς ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ οὐκ ἐπάγουσιν ἀνάγκην· περὶ ὧν καὶ ἀνωτέρω δέδεικται ὅτι ἡ θεία πρόνοια τὸ ἐνδεχόμενον τῶν πραγμάτων οὐκ ἀναιρεῖ. Ὅτι δὲ τοῦ προορισμοῦ καὶ τῆς ἐκλογῆς οὐκ ἔστιν αἴτιον ἀνθρώπινά τινα ἔργα, δῆλον γένοιτ᾽ ἂν οὐ μόνον ἐκ τοῦ τὴν χάριν τοῦ Θεοῦ, τοῦ προορισμοῦ οὖσαν ἀποτέλεσμα, ὑπὸ τῶν ἔργων μὴ προλαμβάνεσθαι, ἀλλὰ καὶ πάντων ἀνθρωπίνων ἔργων αὐτὴν προηγεῖσθαι, ὡς δέδεικται, ἀλλὰ καὶ ἐκ τούτου δύναται φανερὸν γενέσθαι, ἐκ τοῦ τὴν θείαν θέλησιν δηλονότι καὶ πρόνοιαν αἰτίαν εἶναι τῶν γινομένων.

2–5 Οὐκ… μένει
SG III, 10.17 (*Taurin.* XXIII, 167v, 36–38): …καὶ ὅμως ἡ θέλησις ἐπ᾽ αὐτὸ φέρηται ὥσπερ εἰς ἴδιον ἀγαθόν· ἡ δὲ τῆς τάξεως ταύτης ἀπόπτωσις ἑκουσία ἐστίν· ἐν γὰρ τῇ τῆς θελήσεως ἐξουσίᾳ ἐστὶ θέλειν καὶ μὴ θέλειν.

30–35 Οὔτε… πράγματος
SG III, 73.3 (*Taurin.* XXIII, 217r, 25–26): Καὶ διατοῦτο ἡ θέλησις πολυειδῆ δύναται προάγειν ἀποτελέσματα. Οὐκ ἄρα τῷ λόγῳ τῆς προνοίας προσήκει τὸ τὴν ἐλευθερίαν τῆς θελήσεως ἀναιρεῖν.

56–60 τῇ… ἀναγκαίως
SG III, 94.10 (*Taurin.* XXIII, 238r, 30–35): Καὶ πρὸς τοῦτο διαφόρους αἰτίας αὐτοῖς ἐφαρμόζει, τούτοις μὲν ἀναγκαίας, ἐκείνοις δὲ ἐνδεχομένας. Ὑπὸ τὴν τῆς προνοίας ἄρα τάξιν πίπτει καὶ τοῦτο, τὸ οὐ μόνον ἀποτέλεσμα εἶναι, ἀλλὰ καὶ τὸ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ ἐνδεχόμενον εἶναι. Καὶ κατὰ τοῦτό τινα μὲν τῶν τῇ θείᾳ ὑποκειμένων προνοίᾳ ἀναγκαῖα εἰσί, τινὰ δὲ ἐνδεχόμενα, οὐ μέντοι πάντα ἀναγκαῖα.
ST, Ia, Q. 86, A. 4 Resp. (*Coisl*. 280, 257r, 3–13): Ἵνα δὲ κοινότερον περὶ τῆς γνώσεως τῶν μελλόντων διαλεχθῶμεν, δεῖ γινώσκειν ὅτι τὰ μέλλοντα διχῶς δύνανται γινώσκεσθαι· ἕνα μὲν τρόπον ἐν ἑαυτοῖς, ἕτερον δὲ ἐν ταῖς ἑαυτῶν αἰτίαις· ἐν ἑαυτοῖς μὲν ὑπὸ μόνου τοῦ Θεοῦ τὰ μέλλοντα γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα τὰ ἐν δρόμῳ τῶν πραγμάτων μέλλοντα, καθόσον ἡ τούτου νόησις, ἐφ᾽ ὅσον φέρεται ἅμα τὸν τοῦ χρόνου δρόμον, καθὼς εἴρηται ἐν τῇ περὶ τῆς τοῦ Θεοῦ προγνώσεως πραγματείᾳ. [...]. Εἰ δὲ οὕτως εἰσὶν ἐν ταῖς ἑαυτῶν αἰτίαις, ὥστε ὡς ἐπὶ τὸ πλεῖστον ἐξ ἑαυτῶν προϊέναι, στοχαστικῶς δύνανται γινώσκεσθαι ἢ μᾶλλον ἢ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

75–81 Ἀλλὰ… αὐτῷ
SG III, 163.2-3 (*Taurin.* XXIII, 296r, 28–38): Οὕτω τοίνυν δῆλον ὅτι ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ καὶ ἡ ἀποδοκιμασία μέρος τί ἐστι τῆς θείας προνοίας, καθ᾽ ὃ οἱ ἄνθρωποι διὰ τῆς θείας προνοίας εἰς τὸ ἔσχατον τάττονται τέλος· ὅθεν διὰ τῶν αὐτῶν φανερὸν ὡς ὁ προορισμὸς καὶ ἡ ἐκλογὴ οὐκ ἐπάγουσιν ἀνάγκην· περὶ ὧν καὶ ἀνωτέρω δέδεικται ὅτι ἡ θεία πρόνοια τὸ ἐνδεχόμενον τῶν πραγμάτων οὐκ ἀναιρεῖ. Ὅτι δὲ τοῦ προορισμοῦ καὶ τῆς ἐκλογῆς οὐκ ἔστιν αἴτιον ἀνθρώπινά τινα ἔργα, δῆλον γένοιτ᾽ ἂν οὐ μόνον ἐκ τοῦ τὴν χάριν τοῦ Θεοῦ, τοῦ προορισμοῦ οὖσαν ἀποτέλεσμα, ὑπὸ τῶν ἔργων μὴ προλαμβάνεσθαι ἀλλὰ καὶ πάντων ἀνθρωπίνων ἔργων αὐτὴν προηγεῖσθαι, ὡς δέδεικται, ἀλλὰ καὶ ἐκ τούτου δύναται φανερὸν γενέσθαι, ἐκ τοῦ τὴν θείαν θέλησιν δηλονότι καὶ πρόνοιαν αἰτίαν εἶναι τῶν γινομένων.

11.2. 1–4 Ἐκ… προνοίᾳ
ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 114r, 4–5): …ἀνάγκη λέγειν πάντα τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ, οὐ καθόλου μόνον ἀλλὰ καὶ καθέκαστον.
ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 116v, 27–28): Πάντα γάρ, ὡς προαποδέδεικται, τῇ θείᾳ προνοίᾳ ὑπόκεινται· τῆς δὲ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται.
SG III, 90.1 (*Taurin.* XXIII, 233r, 13–14): Ἐξ οὗ φανερὸν ὅτι ἀνάγκη καὶ τὰς ἀνθρωπίνας θελήσεις τε καὶ αἱρέσεις τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ.

4–6 πάντα… ἀποβαινόντων
ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 4–6): …ὥσπερ ἔστιν ἐν αὐτῷ καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὃν φαμεν πρόνοιαν· ὁ δὲ τοῦ γενησομένου λόγος ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων προϋπόστασίς τίς ἐστι τοῦ γενησομένου πράγματος.

7–14 Γινωσκόμενα… προωρίσθαι

SG III, 76.3 (*Taurin.* XXIII, 219v, 28–29): Ἀνάγκη τοίνυν, ὥσπερ ἀμέσως γινώσκει τὰ μερικά, οὕτω καὶ ἀμέσως τὴν τάξιν ὑφιστάνειν.

ST Ia, Q. 23, A. 2 Resp. (*Vatop*. 254, 117v, 7–9): Ἀλλὰ τοὐναντίον φησὶν Αὐγουστῖνος, ὅτι ὁ προορισμὸς πρόγνωσίς ἐστι τῶν δωρεῶν τοῦ Θεοῦ. Ἡ δὲ πρόγνωσις οὐκ ἐν τοῖς προεγνωσμένοις ἔστιν, ἀλλ᾽ ἐν τῷ προγινώσκοντι. Ὁμοίως ἄρα καὶ ὁ προορισμὸς.

14–19 καὶ… ποιῶσι

ST Ia, Q. 23, A. 1 Resp. (*Vatop*. 254, 117r, 23–25): Εἰ καί τισι χάριτι εἰδικῇ ὁ προορισμὸς αὐτῶν ἀπεκαλύφθη παρὰ Θεοῦ, οὐ προσήκει μέντοι πᾶσιν ἀποκαλύπτεσθαι· οὕτω γὰρ οἱ μὴ προωρισμένοι ἀπήλπιζον ἄν, ἐν δὲ τοῖς προωρισμένοις αἴτιον ἂν ἦν ῥαθυμίας.

20–24 Δῆλον… μέλλοντι

ST Ia, Q. 23, A. 2, arg. 1 (*Vatop*. 254, 117r, 27–29): Δόξειεν ἂν τὸν προορισμὸν μηδὲν τοῖς προωρισμένοις προστιθέναι. Πάσῃ γὰρ ἐνεργείᾳ πάθος ἕπεται καθ᾽ αὐτήν· εἰ τοίνυν ὁ προορισμὸς ἐνέργειά ἐστιν ἐν τῷ Θεῷ, ἀνάγκη πάθος εἶναι ἐν τοῖς προωρισμένοις.

32 ἀλλ… προαιρετοῖς

SG III, 94.7 (*Taurin.* XXIII, 237r, 38–237v, 3): Ἀνάγκη δὲ πρὸς τὴν τούτων λύσιν ἀναλέξασθαί τινα ἐκ τῶν προϋποτεθειμένων, ἵνα φανερὸν γένοιτο τὸ μηδὲν τὴν θείαν πρόνοιαν διαφεύγειν καὶ ὡς ἡ τῆς θείας προνοίας τάξις παντάπασίν ἐστιν ἀμετάβλητος καὶ διατοῦτο μέντοι οὐκ ἀνάγκη τὰ ἐκ τῆς θείας προϊόντα προνοίας ἐξ ἀνάγκης πάντα προϊέναι.

37–39 Εἰ… λέγειν

ST Ia, Q. 23, A. 1 arg. 1 (*Vatop*. 254, 116v, 9–11): Δόξειεν ἂν τοὺς ἀνθρώπους μὴ προορίζεσθαι ὑπὸ τοῦ Θεοῦ. Φησὶ γὰρ ὁ Δαμασκηνὸς ἐν τῷ δευτέρῳ βιβλίῳ ὅτι “πάντα μὲν ὁ Θεὸς προγινώσκει, οὐ πάντα δὲ προορίζει”· προγινώσκει μὲν γὰρ τὰ ἐν ἡμῖν, οὐ μέντοι ταῦτα καὶ προορίζει. Ἀλλὰ τὰ καλὰ καὶ φαῦλα τῶν ἔργων τῶν ἀνθρωπίνων ἐν ἡμῖν εἰσιν, καθόσον κύριοί ἐσμεν διὰ τοῦ αὐτεξουσίου τῶν ἡμετέρων πράξεων.

ST Ia, Q. 23, A. 1 ad 1um (*Vatop*. 254, 117r, 9–12): Πρὸς τὸ πρῶτον τοίνυν λεκτέον ὅτι ‘προορισμὸν’ ὁ Δαμασκηνὸς ὀνομάζει τὸ ἀνάγκην ἐπιτιθέναι, ὥσπέρ ἐστιν ἐν τοῖς φυσικοῖς, ἅτινα εἰς ἓν ὥρισται· ὃ δῆλον ἐκ τοῦ προσθεῖναι· “οὐ γὰρ θέλει τὸ πονηρὸν οὔτ᾽ ἀναγκάζει τὴν ἀρετήν”. ὅθεν ὁ προορισμὸς οὐκ ἀναιρεῖται.

SG III, 90.9 (*Taurin.* XXIII, 233v, 21–26): Ὁμοίως δὲ καὶ ὅπερ ὁ Νύσσης Γρηγόριός φησιν ἐν τῷ *Περὶ ἀνθρώπου* βιβλίῳ, ὡς “τῶν οὐκ ἐφ᾽ ἡμῖν ἐστιν ἡ πρόνοια, οὐ μέντοι τῶν ἐφ᾽ ἡμῖν”, καὶ ὁ Δαμασκηνός, τούτῳ ἑπόμενος, ἐν τῷ δευτέρῳ βιβλίῳ λέγων· “ἐν ἡμῖν προέγνω ὁ Θεός, οὐ μέντοι προώρισεν”, οὕτω δεῖ ἐξηγεῖσθαι, ὥστε νοεῖσθαι τὰ ἐφ᾽ ἡμῖν τῷ θείῳ μὴ ὑποκεῖσθαι προορισμῷ, ὥσπερ ἀνάγκην ὑπ᾽ ἐκείνου τοῦ (τὸ scribendum) εἶναι λαμβάνοντα.

40–54 ἐν… τάττεσθαι

ST Ia, Q. 23, A. 6 Resp. (*Vatop*. 254, 121r, 18–28): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ὁ προορισμὸς βεβαιότατα καὶ ἀσφαλέστατα τυγχάνει τοῦ ἰδίου ἀποτελέσματος, οὐ μὴν ἐπιτίθησιν ἀνάγκην, ὥστε τὸ τούτου ἀποτέλεσμα ἐξ ἀνάγκης προβαίνειν. Εἴρηται γὰρ ἀνωτέρω ὅτι ὁ προορισμὸς μέρος προνοίας ἐστίν· οὐ πάντα δὲ τὰ τῇ προνοίᾳ ὑποκείμενα καὶ ἀναγκαῖα εἰσίν, ἀλλά τινα καὶ ἐνδεχομένως ἀποβαίνει, κατὰ τὴν ἔξιν τῶν δευτέρων αἰτίων, ἃς ἔταξεν ἡ θεία πρόνοια πρὸς τὰ τοιαῦτα ἀποτελέσματα. Ἀλλ᾽ ὅμως ἡ τῆς προνοίας τάξις ἀσφαλής ἐστιν, ὡς προαποδέδεικται. Οὕτω τοίνυν καὶ ἡ τοῦ προορισμοῦ τάξις βεβαία ἐστὶν καὶ τῆς τοῦ αὐτεξουσίου ἐλευθερίας μὴ ἀναιρουμένη, ἐξ ἧς συμβεβηκότως πρόεισιν τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα. Πρὸς τοῦτο δὲ δεῖ θεωρεῖν καὶ τὰ προειρημένα περὶ τῆς θείας

ἐπιστήμης καὶ θελήσεως, ὅπως τὸ συμβεβηκὸς ἐκ τῶν πραγμάτων οὐκ ἀναιροῦσιν, εἰ καὶ αὐτὰ βέβαιά ἐστι καὶ ἀσφαλῆ.

51 ποιητοῦ … ἐσχάτου

SG III, 17.2 (*Taurin.* XXIII, 170r, 34–35): Πάντα ἄρα τάττονται εἰς ἓν ἀγαθόν, ὅπέρ ἐστιν ὁ Θεός, ὥσπερ εἰς ἔσχατον τέλος.

51–54 ταύτῃ … τάττεσθαι

ST Ia, Q. 22, A. 1 Resp. (*Vatop*. 254, 116r, 9–10]: Τῆς γὰρ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν.

ST I, Q. 23 A. 1 arg. 2 (*Vatop*. 254, 116v, 14–16): Ἔτι, πάντα τὰ κτίσματα τάττονται ὑπὸ τοῦ Θεοῦ πρὸς τὰ ἑαυτῶν τέλη διὰ τῆς θείας προνοίας, ὡς προαποδέδεικται.

SG III, 16.3: Ἡ δὲ τελειότης ἑκάστου τὸ ἀγαθὸν αὐτοῦ ἐστίν. Ἕκαστον ἄρα εἰς τἀγαθὸν τάττεται ὥσπερ εἰς τέλος.

SG III, 25.6 (*Taurin*. XXIII, 177v, 29–37): Ἔτι, ὥσπερ τὰ ἐστερημένα νοῦ εἰς τὸν Θεὸν ὡς εἰς τέλος τείνει διὰ τῆς ὁδοῦ τῆς ἀφομοιώσεως, οὕτως αἱ νοεραὶ οὐσίαι διὰ τῆς ὁδοῦ τῆς γνώσεως… Τὰ δὲ ἐστερημένα νοῦ, καὶ εἰ πρὸς τὴν τῶν προσεχῶς ποιούντων ὁμοίωσιν τείνει, οὐ μέντοι ἐκεῖ ἠρεμεῖ ὁ τῆς φύσεως σκοπός, ἀλλ᾽ ἀντὶ τέλους τὴν πρὸς τὸ ἔσχατον ἀγαθὸν ἀφομοίωσιν ἔχει, εἰ καὶ λίαν ἀτελῶς τῆς ὁμοιότητος ἅπτοιτο ταύτης.

SG III, 73.4 (*Taurin.* XXIII, 217r, 26–27): Ἔτι, διὰ τῆς προνοίας ὑπὸ παντὸς προνοοῦντος τὰ διοικούμενα πρὸς τὸ ἁρμόζον ἄγονται τέλος.

57–58 ἤκουον … προώρισεν

ST Ia, Q. 23, A. 1 s.c. (*Vatop*. 254, 116v, 25–26): Ἀλλὰ τοὐναντίον λέγεται ἐν τῷ τετάρτῳ τῆς *Πρὸς Ῥωμαίους*, "οὓς προώρισε, τούτους καὶ ἐκάλεσεν".

ST Ia, Q. 23, A. 2 Resp. (*Vatop*. 254, 117v, 16–18): Ἡ δὲ τοῦ προορισμοῦ διαχείρισίς ἐστι "κλῆσις" καὶ "δόξα", καθώς φησιν ὁ Ἀπόστολος ἐν τῷ ὀγδόῳ τῆς *Πρὸς Ῥωμαίους*, "οὓς προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδόξασε''.

59–63 Ἀλλὰ … εἶναι

ST Ia, Q. 23, A. 1 arg. 1 (*Vatop*. 254, 116v, 10–13): Φησὶ γὰρ ὁ Δαμασκηνὸς ἐν τῷ δευτέρῳ βιβλίῳ ὅτι "πάντα μὲν ὁ Θεὸς προγινώσκει, οὐ πάντα δὲ προορίζει"· προγινώσκει μὲν γὰρ τὰ ἐν ἡμῖν, οὐ μέντοι ταῦτα καὶ προορίζει. Ἀλλὰ τὰ καλὰ καὶ φαῦλα τῶν ἔργων τῶν ἀνθρωπίνων ἐν ἡμῖν εἰσιν, καθόσον κύριοί ἐσμεν διὰ τοῦ αὐτεξουσίου τῶν ἡμετέρων πράξεων.

SG III, 85.4 (*Taurin.* XXIII, 228r, 3–12): Ἔτι, τὰ ἐκ τῆς δράσεως τῶν οὐρανίων ἐν τοῖς ὑποκάτω τούτοις ἀποβαίνοντα κατὰ φύσιν συμβαίνουσι· τὰ γὰρ ὑποκάτω ταῦτα ὑπ᾽ ἐκεῖνα φύσει τετάχαται. Εἰ τοίνυν αἱ ἡμέτεραι αἱρέσεις ἐκ τῆς δράσεως ἀποβαίνουσι τῶν οὐρανίων σωμάτων, ἀνάγκη φυσικῶς ἀποβαίνειν, ὥστε φύσει τὸν ἄνθρωπον αἱρεῖσθαι οὕτω τὰς ἰδίας ἐνεργεῖν πράξεις, ὥσπερ καὶ τὰ ἄλογα φυσικῷ τινι ἐργάζεσθαι νόμῳ καὶ τὰ ἄψυχα σώματα φύσει κινεῖται. Οὐκ ἄρα ἡ πρόθεσις καὶ ἡ φύσις δύο ποιητικαὶ ἀρχαὶ ἔσονται, ἀλλ᾽ ἓν μόνον, ἡ φύσις δηλαδή. Οὗ τοὐναντίον Ἀριστοτέλης φησὶν ἐν τῷ δευτέρῳ τῶν *Φυσικῶν*. Οὐκ ἄρα ἀληθὲς ἐκ τῆς δράσεως τῶν οὐρανίων σωμάτων τὰς ἡμετέρας προϊέναι αἱρέσεις.

11.3. 1–6 Τούτων … φυλάττειν

ST Ia, Q. 19, A. 8 Resp. (*Vatop*. 254, 102v, 27–31): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἡ τοῦ Θεοῦ θέλησίς τισι τῶν θελητῶν ἀνάγκην ἐπιτίθησιν, οὐ μέντοι πᾶσιν. Οὗτινος τὴν αἰτίαν ἐκ τῶν μέσων αἰτίων τινὲς ἐβουλήθησαν ἀποδοῦναι, ὥστε δηλονότι τὰ μὲν ὑπ᾽ ἀναγκαίων αἰτίων ὑπ᾽ αὐτῆς παραγόμενα ἀναγκαῖα εἶναι, τὰ δὲ δι᾽ ἐνδεχομένων ἐνδεχόμενα.

ST Ia, Q. 19, A. 8 Resp. (*Vatop*. 254, 103r, 11–20): Ἐπεὶ τοίνυν δραστηριωτάτη ἐστὶν ἡ τοῦ Θεοῦ θέλησις, οὐ μόνον ἀνάγκη γενέσθαι ἅπερ ἂν ὁ Θεὸς θέλη, ἀλλὰ καὶ τοῦτον τρόπον,

ὂν θέλει γενέσθαι. Θέλει δὲ ὁ Θεός τινα μὲν ἐξ ἀνάγκης γενέσθαι, τινὰ δὲ ἐνδεχομένως, ἵν' ἐν τοῖς οὖσιν ᾖ τάξις πρὸς τὴν συμπλήρωσιν τοῦ παντός. Καὶ διὰ τοῦτό τισι μὲν τῶν ἀποτελεσμάτων προσήρμοσεν ἀναγκαίας αἰτίας, αἵτινες οὐ δύνανται ἀσθενεῖν, ἐξ ὧν τὰ ἀποτελέσματα ἐξ ἀνάγκης ἂν προῆλθον, τισὶ δὲ ἐνδεχομένας καὶ ἀσθενεῖς αἰτίας προσήρμοσεν, ἐξ ὧν τὰ ἀποτελέσματα ἐνδεχομένως προΐασιν. Οὐκ ἄρα διὰ τοῦτο ἐνδεχομένως παρὰ Θεοῦ προΐασι τὰ ἀποτελέσματα, διὰ τὸ τὰς προσεχεῖς αἰτίας ἐνδεχομένας εἶναι, ἀλλὰ διὰ τὸ τὸν Θεὸν θέλειν ἐνδεχομένως αὐτὰ ἀποβῆναι ἐνδεχομένας αἰτίας αὐτοῖς προητοίμασεν.

ST Ia, Q. 22, A. 4 Resp. (*Vatop*. 254, 116r, 7–17): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἡ θεία πρόνοιά τισι μὲν τῶν ὄντων ἀνάγκην ἐπιτίθησιν, οὐ μὴν ἅπασιν, ὥς τινες ἐπίστευσαν. Τῆς γὰρ προνοίας ἐστὶν εἰς τὸ τέλος τὰ πράγματα τάττειν· μετὰ δὲ τὴν θείαν ἀγαθότητα, χωριστὸν τέλος τῶν πραγμάτων ὑπάρχουσαν, ἀρχοειδὲς καὶ ἐν τοῖς πράγμασιν ὑφεστὼς ἀγαθὸν ἡ τελειότης ἐστὶ τοῦ παντός· ἥτις οὐκ ἂν ἦν, μὴ πάντων τῶν τοῦ εἶναι βαθμῶν ἐν τοῖς πράγμασιν εὑρισκομένων. Ὅθεν τῆς θείας προνοίας ἐστὶν προάγειν πάντας τοὺς τῶν ὄντων βαθμούς, καὶ διὰ τοῦτό τισι μὲν τῶν ἀποτελεσμάτων προητοίμασεν ἀναγκαίας αἰτίας, ὥστ' ἐξ ἀνάγκης ἀποβαίνειν, ἄλλοις δὲ ἐνδεχομένας, ὥστ'ἀποβαίνειν ἐνδεχομένως κατὰ τὴν ἕξιν τῶν προσεχῶν αἰτίων.

ST Ia, Q. 23, A. 6 Resp. (*Vatop*. 254, 121r, 18–28): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ὁ προορισμὸς βεβαιότατα καὶ ἀσφαλέστατα τυγχάνει τοῦ ἰδίου ἀποτελέσματος, οὐ μὴν ἐπιτίθησιν ἀνάγκην, ὥστε τὸ τούτου ἀποτέλεσμα ἐξ ἀνάγκης προβαίνειν. Εἴρηται γὰρ ἀνωτέρω ὅτι ὁ προορισμὸς μέρος προνοίας ἐστίν· οὐ πάντα δὲ τὰ τῇ προνοίᾳ ὑποκείμενα καὶ ἀναγκαῖα εἰσίν, ἀλλά τινα καὶ ἐνδεχομένως ἀποβαίνει, κατὰ τὴν ἕξιν τῶν δευτέρων αἰτίων, ἃς ἔταξεν ἡ θεία πρόνοια πρὸς τὰ τοιαῦτα ἀποτελέσματα. Ἀλλ' ὅμως ἡ τῆς προνοίας τάξις ἀσφαλής ἐστιν, ὡς προαποδέδεικται. Οὕτω τοίνυν καὶ ἡ τοῦ προορισμοῦ τάξις βεβαία ἐστὶν καὶ τῆς τοῦ αὐτεξουσίου ἐλευθερίας μὴ ἀναιρουμένη, ἐξ ἧς συμβεβηκότως πρόεισιν τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα. Πρὸς τοῦτο δὲ δεῖ θεωρεῖν καὶ τὰ προειρημένα περὶ τῆς θείας ἐπιστήμης καὶ θελήσεως, ὅπως τὸ συμβεβηκὸς ἐκ τῶν πραγμάτων οὐκ ἀναιροῦσιν, εἰ καὶ αὐτὰ βέβαιά ἐστι καὶ ἀσφαλῆ.

SG III, 94.7 (*Taurin.* XXIII, 237r, 38–237v, 3): Ἀνάγκη δὲ πρὸς τὴν τούτων λύσιν ἀναλέξασθαί τινα ἐκ τῶν προϋποτεθειμένων, ἵνα φανερὸν γένοιτο τὸ μηδὲν τὴν θείαν πρόνοιαν διαφεύγειν καὶ ὡς ἡ τῆς θείας προνοίας τάξις παντάπασίν ἐστιν ἀμετάβλητος καὶ διατοῦτο μέντοι οὐκ ἀνάγκη τὰ ἐκ τῆς θείας προϊόντα προνοίας ἐξ ἀνάγκης πάντα προϊέναι.

SG III, 94.10 (*Taurin.* XXIII, 238r, 29–35): Ὁ δὲ Θεός, τοῦ παντὸς ὢν κυβερνήτης, βούλεται τὸ αὐτοῦ ἀποτέλεσμα ἐνταῦθα μὲν ἠρεμεῖν κατὰ τὸν τῆς ἀνάγκης τρόπον, ἐνταῦθα δὲ ἐνδεχομένως. Καὶ πρὸς τοῦτο διαφόρους αἰτίας αὐτοῖς ἐφαρμόζει, τούτοις μὲν ἀναγκαίας, ἐκείνοις δὲ ἐνδεχομένας. Ὑπὸ τὴν τῆς προνοίας ἄρα τάξιν πίπτει καὶ τοῦτο, τὸ οὐ μόνον ἀποτέλεσμα εἶναι, ἀλλὰ καὶ τὸ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ ἐνδεχόμενον εἶναι. Καὶ κατὰ τοῦτό τινα μὲν τῶν τῇ θείᾳ ὑποκειμένων προνοίᾳ ἀναγκαῖα εἰσί, τινὰ δὲ ἐνδεχόμενα, οὐ μέντοι πάντα ἀναγκαῖα.

6–11 Ἀλλὰ…ὑπερβαίνει

ST Ia, Q. 19, A. 7 Resp. (*Vatop*. 254, 102r, 22–25): Ἀλλ' ἐπεὶ πᾶσαι αἱ μέσαι αἰτίαι οὐκ ἐξισοῦνται τῇ δυνάμει τῆς πρώτης αἰτίας, πολλά εἰσιν ἐν τῇ δυνάμει καὶ τῇ ἐπιστήμῃ καὶ τῇ θελήσει τῇ θείᾳ, ἅπερ οὐ περιέχονται ὑπὸ τὴν τάξιν τῶν ταπεινοτέρων αἰτίων· ὥσπερ ἡ τοῦ Λαζάρου ἀνάστασις.

SG III, 95.20 (*Taurin.* XXIII, 240v, 27–30): Καί, εἰ ἡ τῆς θείας τάξεως ἀμεταβλησία τὰ ἀποτελέσματα τῶν ἄλλων αἰτίων οὐκ ἀφαιρεῖ, οὐδὲ τὸ δραστήριον τῶν εὐχῶν ἀναιρεῖ. Αἱ εὐχαὶ ἄρα ἰσχύουσιν οὐχ ὡς τὴν τάξιν τῆς ἀιδίου διοικήσεως μεταβάλλουσαι, ἀλλ' ὡς ἂν ὑπὸ τὴν τάξιν ταύτην ὑπάρχουσαι καὶ αὐταί.

SG III, 99.2 (*Taurin.* XXIII, 243v, 13–15): Ὁ δὲ Θεὸς δύναται ποιεῖν παρὰ τὴν τάξιν ταύτην ἐν τοῖς ὑποκάτω τούτοις ἀποτέλεσμα οὐδὲν πρὸς τοῦτο συνεργοῦντος τοῦ ἀνωτέρω αἰτίου.

SG III, 100.1 (*Taurin.* XXIII, 244v, 26–27): Ὅμως λογίζεσθαι χρὴ ὡς, εἰ καὶ ὁ Θεὸς πολλάκις παρὰ τὴν ἐντεθεῖσαν τοῖς πράγμασι τάξιν ἐνεργεῖ τι, οὐδὲν μέντοι τῇ φύσει ἐναντίον ποιεῖ.

11–14 Οὐδὲν … ζητεῖν

SG III, 95.21 (*Taurin.* XXIII, 240v, 31–35): Οὐδὲν δὲ κωλύει τῇ τῶν εὐχῶν ἐνεργείᾳ μερικήν τινα τάξιν ταπεινοτέρας τινὸς αἰτίας μεταβληθῆναι, τοῦ Θεοῦ τοῦτο ποιοῦντος, ὃς πάντων αἰτίων ὑπερανῴκισται. Ὅθεν ὑπ᾽ οὐδεμίαν τάξεως ἀνάγκην αἰτίας τινὸς περιέχεται, ἀλλ᾽ ἀνάπαλιν πᾶσα ἀνάγκη τάξεως ἐξ αἰτίας τινὸς κατωτέρας ἐν αὐτῷ περιέχεται ὥσπερ ὑπ᾽ αὐτοῦ καταστᾶσα.

SG III, 100.6–7 (*Taurin.* XXIII, 245r, 21–25): Οὐδ᾽ ἄρα παρὰ φύσιν ἐστὶν εἰ ἐν τοῖς φυσικοῖς ὁ Θεὸς ἑτέρως ἐνεργεῖ ἢ ὡς ὁ εἰωθὼς ἔχει τῆς φύσεως δρόμος. Ἐντεῦθεν ἐστὶν ὅ φησιν Αὐγουστῖνος· “ὁ Θεός, ὁ κτίστης καὶ δημιουργὸς πάντων τῶν κτισμάτων, οὐδὲν παρὰ φύσιν ποιεῖ· ἐπεὶ τοῦτ᾽ ἐστὶν ἑκάστῳ πράγματι φυσικόν, ὃ ποιεῖ ἐκεῖνος, παρ᾽ οὗ ἐστι πᾶς ‘τρόπος καὶ ἀριθμὸς καὶ τάξις’ τῆς φύσεως”.

14–20 Ἀπολέλυται … ἐστίν

SG III, 99.9 (*Taurin.* XXIII, 244r, 35–244v, 14–19): Ἡ γὰρ ἐντεθεῖσα τοῖς πράγμασιν ὑπὸ Θεοῦ τάξις, καθόσον ἔστιν ἐν τοῖς πράγμασιν, ἢ ὡς ἐπὶ τὸ πλεῖστον εἴωθε συμβαίνειν, οὐ μέντοι πανταχοῦ κατὰ τὸ ἀεί. Πολλὰ γὰρ τῶν φυσικῶν αἰτίων τὰ ἴδια ἀποτελέσματα παράγουσιν ὡς ἐπὶ τὸ πλεῖστον τὸν αὐτὸν τρόπον, οὐ μέντοι ἀεί· ἐνίοτε γάρ, εἰ καὶ ὡς ἐπ᾽ ἔλαττον, ἄλλως συμβαίνει, ἢ διὰ τὴν ἀσθένειαν τῆς ποιητικῆς δυνάμεως ἢ τὸ τῆς ὕλης ἀνεπιτήδειον ἢ δι᾽ ἄλλο τι ποιοῦν ἰσχυρότερον· ὥσπερ ὅταν ἐν τῷ ἀνθρώπῳ ἕκτον δάκτυλον ἡ φύσις γεννᾷ. Οὐ μέντοι διατοῦτο μεταβάλλει ἢ ἀσθενεῖ ἡ τῆς προνοίας τάξις· καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ τὴν ὡς ἐπὶ τὸ πλεῖστον φυσικὴν τάξιν ἐνίοτε ἀσθενεῖν ὑπὸ τὴν θείαν ἐστὶ πρόνοιαν. Εἰ τοίνυν καὶ διὰ κτιστῆς τινος δυνάμεως δυνατὸν τὴν φυσικὴν τάξιν ἀπὸ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἐπ᾽ ἔλαττον μεταβάλλεσθαι ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλεσθαι, πολλῷ μᾶλλον ἡ δύναμις τῆς θείας προνοίας δυναταί τι ποιεῖν ἐνίοτε παρὰ τὴν ἐν τοῖς φυσικοῖς πράγμασιν ἐντεθεῖσαν παρὰ τοῦ Θεοῦ τάξιν ἄνευ τοῦ δοκεῖν τὴν αὐτοῦ πρόνοιαν μεταβάλλειν. Τοῦτο γὰρ καὶ πρὸς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως πολλάκις ποιεῖ. Οὐδένα γὰρ τρόπον φανερώτερον γενέσθαι δυνατὸν τὸ τὴν φύσιν ὅλην τῇ θείᾳ ὑποτετάχθαι βουλήσει ἢ ἐκ τοῦ τοῦτόν ποτε παρὰ τὴν τάξιν τῆς φύσεως ἐνεργεῖν τι· ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν τῶν πραγμάτων τάξιν ἀπὸ τοῦ Θεοῦ οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ᾽ ἀπὸ ἐλευθέρας βουλήσεως προελθεῖν.

20–23 Οὐδὲν … ἀπολελυμένῃ

ST Ia, Q. 19, A. 8 Resp. (*Vatop*. 254, 102v, 32–103r–4): πρῶτον μὲν ὅτι τὸ ἀποτέλεσμα αἰτίας τινὸς πρώτης ἐνδεχόμενον εἶναι· διὰ τὴν δευτέραν αἰτίαν, συμβαίνει ἐκ τοῦ κωλύεσθαι τὴν πρώτην αἰτίαν διὰ τὴν ἀσθένειαν τῆς δευτέρας· ὥσπερ τὸ ἀποτέλεσμα τοῦ ἡλίου κωλύεται διὰ τὴν ἀσθένειαν τοῦ πλανήτου· οὐδεμία δ᾽ἀσθένεια δευτέρας αἰτίας δύναται κωλῦσαι τοῦ μὴ τὴν τοῦ Θεοῦ θέλησιν τὸ οἰκεῖον παραγαγεῖν ἀποτέλεσμα.

ST Ia, Q. 105, A. 7 Resp. (*Coisl.* 280, 348r, 9–11): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τὸ τοῦ ‘θαύματος’ ὄνομα ἐκ τοῦ ‘θαυμαστοῦ’ λαμβάνεται· τὸ δὲ θαυμάζειν ἐγγίγνεται, ὅταν τὰ μὲν ἀποτελέσματα φανερὰ ᾖ, ἡ δὲ αἰτία ἀπόκρυφος· οἷον θαυμάζει τις ὁρῶν ἔκλειψιν τοῦ ἡλίου καὶ τὴν αἰτίαν ἀγνοεῖ, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν *Μετὰ τὰ φυσικά*.

ST Ia, Q. 105, A. 7 Resp. (*Coisl.* 280, 348r, 14–16): ‘Θαῦμα’ δὲ λέγεται οἷον ἐκπλήξεως γέμον, ὡς ἔχον αἰτίαν πᾶσιν ἁπλῶς ἀπόκρυφον· αὕτη δέ ἐστιν ὁ Θεός. Ὅθεν τὰ παρὰ Θεοῦ γινόμενα παρὰ τὰς ἡμῖν ἐγνωσμένας αἰτίας θαύματα λέγονται.

36–56 Ἐφ…βούλεσθαι

SG III, 98.3–4 (*Taurin.* XXIII, 243r, 12–29): Δέδεικται δὲ ἐν τῷ δευτέρῳ ὅτι τὰ ἀπὸ τοῦ Θεοῦ ὑπὸ τὴν τάξιν τιθέμενα πράγματα οὐχ ὥσπερ ἀπὸ ποιοῦντος ἐξ ἀνάγκης φύσεως ἢ ἑτέρου τινός, ἀλλ’ ἐξ ἁπλῆς θελήσεως, μάλιστα ὅσον πρὸς τὴν πρώτην τῶν πραγμάτων ὑπόστασιν. Λείπεται τοίνυν παρὰ τὰ ὑπὸ τὴν τάξιν πίπτοντα τῆς θείας προνοίας δύνασθαί τινα ποιεῖν τὸν Θεόν· οὐ γὰρ ἔστιν ἡ τούτου δύναμις τούτοις ἢ ἐκείνοις προσισχημένη τοῖς πράγμασιν. Εἰ δὲ τὴν προειρημένην θεωροίημεν τάξιν κατὰ τὸν λόγον τὸν τῆς ἀρχῆς ἠρτημένον, οὕτως οὐ δύναταί τι ποιεῖν ὁ Θεὸς παρὰ τὴν τάξιν ἐκείνην. Ἡ γὰρ τάξις ἐκείνη πρόεισιν, ὡς εἴρηται, ἐκ τῆς γνώσεως καὶ τῆς βουλήσεως τοῦ Θεοῦ, εἰς τὴν ἑαυτοῦ ἀγαθότητα ὥσπερ εἰς ἔσχατον τέλος τάττοντος πάντα. Οὐ δυνατὸν δὲ ποιεῖν τι τὸν Θεόν, ὅ μή ἐστι θελητὸν ὑπ’ αὐτοῦ· ἐπεὶ τὰ κτίσματα οὐ φυσικῶς προΐασιν ἐξ αὐτοῦ, ἀλλὰ θελήσει, ὡς δέδεικται. Καὶ τοῦτο δὲ ἀδύνατον, ἐξ αὐτοῦ τι γίνεσθαι, ὃ τῇ τούτου γνώσει οὐ περιέχεται· ἡ γὰρ θέλησις μόνου τοῦ γνωστοῦ δύναται εἶναι. Οὔτε δὲ πάλιν δυνατὸν ἐν τοῖς κτίσμασι ποιεῖν τι, ὃ μὴ πρὸς τὴν ἑαυτοῦ ἀγαθότητα τάττει ὥσπερ εἰς ἔσχατον τέλος· ἐπεὶ ἡ ἀγαθότης αὐτοῦ ἴδιον ἀντικείμενόν ἐστι τῆς αὐτοῦ θελήσεως. Ὁμοίως δέ, ἐπεὶ ὁ Θεὸς πάντη ἐστὶν ἀμετάβλητος, ἀδύνατον βούλεσθαί τι, ὃ μὴ πρότερον ἐβούλετο ἤ τι ἄρχεσθαι γινώσκειν ἐκ νέου ἢ εἰς τὴν ἑαυτοῦ ἀγαθότητα τάττειν.

41–45 Τὸ…ποιήσει

ST Ia, Q. 22, A. 3 (*Vatop*. 254, 115r, 22–24): Τὸ δ’ αὐτό φησι καὶ ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῶν *Μετὰ τὰ φυσικά*· “πᾶν δὲ τὸ βέλτιον ἀποδοτέον ἂν εἴη τῷ Θεῷ”. Ὁ Θεὸς ἄρα οὐκ ἀμέσως ποιεῖται πρόνοιαν πάντων τῶν εὐτελῶν καὶ ἐλαχίστων.

45–48 Πρὸς…ἑαυτῆς

ST Ia, Q. 19, A. 5 Resp. (*Vatop*. 254, 100r, 31–100v, 4): Τὰ δὲ πρῶτα τῶν ἀποτελεσμάτων μόνης τῆς θείας θελήσεως ἤρτηνται· οἷον εἰ λέγοιμεν ὡς ὁ Θεὸς χεῖρας ἔχειν τὸν ἄνθρωπον ἠβουλήθη, ἵν’ ὑπηρετοῖεν τῷ νῷ, διάφορα ἔργα ποιοῦντι, ἠθέλησε δὲ αὐτὸν ἔχειν νοῦν, ἵν’ ἄνθρωπος ᾖ· ἠβουλήθη δὲ ἄνθρωπον εἶναι, ἵν’ ἀπολαύοι τοῦ Θεοῦ, ἢ πρὸς συμπλήρωσιν τοῦ παντός. Ταῦτα δὲ οὐκ ἔστιν ἀνάγειν περαιτέρω εἰς ἕτερα τέλη αἰτιατά· ὅθεν τὰ τοιαῦτα τῆς ἁπλῆς τοῦ Θεοῦ θελήσεως ἤρτηνται.

48–54 Οὐ…ἀναιρεῖν

ST Ia, Q. 45, A. 5 arg. 1 (*Coisl*. 280, 15v, 15–18): Δόξειν ἂν τὸ δημιουργεῖν μὴ εἶναι τὸ ἐκ μηδενὸς τι ποιεῖν. Φησὶ γὰρ Αὐγουστῖνος πρὸς τὸν ἐναντιούμενον τῷ νόμῳ καὶ τοῖς προφήταις· “ποιεῖν μὲν γὰρ ἐστίν, ὃ παντάπασιν οὐκ ἦν, δημιουργεῖν δὲ τὸ ἐκ τοῦ ἤδη ὄντος προάγοντα ἕτερον συνιστᾶν”.

ST Ia, Q. 103, A. 5 Resp. (*Coisl*. 280, 329v, 17–23): Δεύτερον, αὐτὸ τοῦτο φαίνεται, εἴ τις τὴν θείαν κατανοήσειεν ἀγαθότητα, δι’ ἧς τὰ πράγματα εἰς τὰ ὄντα παρήχθη, ὡς δῆλον ἐκ τῶν προηρημένων· ἐπεὶ γὰρ τοῦ ἀρίστου ἐστὶν ἄριστον ποεῖν, ὃν προσῆκον τῇ ἄκρᾳ τοῦ Θεοῦ ἀγαθότητι μὴ καὶ πρὸς τὸ τέλος ἄγειν τὰ παρηγμένα. Ἡ δὲ ἐσχάτη τελειότης ἑκάστου ἐν τῷ τυχεῖν τοῦ τέλους συνίσταται· ὅθεν τῆς θείας ἐστὶν ἀγαθότητος τό, ὥσπερ τὰ πράγματα εἰς τὸ εἶναι παρήγαγεν, οὕτως αὐτὰ καὶ πρὸς τὸ τέλος ἄγειν, ὅπερ ἐστὶ τὸ κυβερνᾶν.

54–56 Ταῦτα…βούλεσθαι

SG III, 1.2 (*Taurin.* XXIII, 160r, 8–10): Τοῖς δ’ ἄλλοις οὐ φύσεως ἀνάγκη τὸ εἶναι διένειμεν, ἀλλὰ κατὰ τὸ τῆς αὐτῆς θελήσεως αὐτεξούσιον…

SG III, 64.9 (*Taurin.* XXIII, 208r, 11–13): Ἔτι, ὡς προαποδέδεικται, ὁ Θεὸς εἰς τὸ εἶναι πάντα παρήγαγεν οὐκ ἐξ ἀνάγκης τῆς φύσεως, ἀλλὰ κατὰ βούλησιν καὶ νοῦν.

SG III, 75.5 (*Taurin.* XXIII, 218v, 4–5): Ἔτι, δέδεικται ἀνωτέρω ὡς ὁ Θεὸς ἐν τοῖς κτιστοῖς πράγμασιν οὐκ ἐκ φυσικῆς ἀνάγκης ποιεῖ, ἀλλὰ διὰ νοῦ καὶ θελήσεως.

SG III, 98.4 (*Taurin.* XXIII, 243r, 21–22): Οὐ δυνατὸν δὲ ποιεῖν τι τὸν Θεόν, ὃ μή ἐστι θελητὸν ὑπ᾽ αὐτοῦ, ἐπεὶ τὰ κτίσματα οὐ φυσικῶς προΐασιν ἐξ αὐτοῦ, ἀλλὰ θελήσει, ὡς δέδεικται.

SG III, 99.10 (*Taurin.* XXIII, 244v, 14–19): Τοῦτο γὰρ καὶ πρὸς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως πολλάκις ποιεῖ. Οὐδένα γὰρ τρόπον φανερώτερον γενέσθαι δυνατὸν τὸ τὴν φύσιν ὅλην τῇ θείᾳ ὑποτετάχθαι βουλήσει ἢ ἐκ τοῦ τοῦτόν ποτε παρὰ τὴν τάξιν τῆς φύσεως ἐνεργεῖν τι· ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν τῶν πραγμάτων τάξιν ἀπὸ τοῦ Θεοῦ, οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ᾽ ἀπὸ ἐλευθέρας βουλήσεως προελθεῖν.

ST Ia, Q. 19, A. 4 Resp. (*Vatop*. 254, 99r, 10–12): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἀνάγκη τὴν τοῦ Θεοῦ βούλησιν αἰτίαν λέγειν τῶν ὄντων, καὶ τὸν Θεὸν θελήσει ποιεῖν, ἀλλ᾽οὐκ ἀνάγκῃ φύσεως, ὥς τινες ὠήθησαν.

55–56 τὸ… βούλεσθαι

ST Ia, Q. 19, A. 4 Resp. (*Vatop*. 254, 98r, 10–12): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι ἀνάγκη τὴν τοῦ Θεοῦ βούλησιν αἰτίαν λέγειν τῶν ὄντων, καὶ τὸν Θεὸν θελήσει ποιεῖν, ἀλλ᾽οὐκ ἀνάγκῃ φύσεως, ὥς τινες ὠήθησαν.

SG III, 1.2 (*Taurin.* XXIII, 160r, 8–10): Τοῖς δὲ ἄλλοις οὐ φύσεως ἀνάγκῃ τὸ εἶναι διένειμεν, ἀλλὰ κατὰ τὸ τῆς αὐτῆς θελήσεως αὐτεξούσιον…

SG III, 64.9 (*Taurin.* XXIII, 208r, 11–13): Ἔτι, ὡς προαποδέδεικται, ὁ Θεὸς εἰς τὸ εἶναι τὰ πάντα παρήγαγεν οὐκ ἐξ ἀνάγκης τῆς φύσεως, ἀλλὰ κατὰ βούλησιν καὶ νοῦν.

SG III, 75.5 (*Taurin.* XXIII, 218v, 4–5): Ἔτι, δέδεικται ἀνωτέρω ὡς ὁ Θεὸς ἐν τοῖς κτιστοῖς πράγμασιν οὐκ ἐκ φυσικῆς ἀνάγκης ποιεῖ, ἀλλὰ διὰ νοῦ καὶ θελήσεως.

SG III, 98.4 (*Taurin.* XXIII, 243r, 21–22): Οὐ δυνατὸν δὲ ποιεῖν τι τὸν Θεόν, ὃ μή ἐστι θελητὸν ὑπ᾽ αὐτοῦ· ἐπεὶ τὰ κτίσματα οὐ φυσικῶς προΐασιν ἐξ αὐτοῦ, ἀλλὰ θελήσει, ὡς δέδεικται.

SG III, 99.10 (*Taurin.* XXIII, 244v, 14–19): Τοῦτο γὰρ καὶ πρὸς φανέρωσιν τῆς αὐτοῦ δυνάμεως πολλάκις ποιεῖ. Οὐδένα γὰρ τρόπον φανερώτερον γενέσθαι δυνατὸν τὸ τὴν φύσιν ὅλην τῇ θείᾳ ὑποτετάχθαι βουλήσει ἢ ἐκ τοῦ τοῦτόν ποτε παρὰ τὴν τάξιν τῆς φύσεως ἐνεργεῖν τι· ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν τῶν πραγμάτων τάξιν ἀπὸ τοῦ Θεοῦ οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ᾽ ἀπὸ ἐλευθέρας βουλήσεως προελθεῖν.

12. 9–18 Καὶ…κινουμένας

ST Ia, Q. 23, A. 8 ad 2um (*Vatop*. 254, 123r, 17–28): Πρὸς δὲ τὸ δεύτερον. Λέγεται τὸν προορισμὸν ταῖς τῶν ἁγίων δεήσεσι βοηθεῖσθαι καὶ ἄλλοις ἀγαθοῖς ἔργοις, διὰ τὸ τὴν πρόνοιαν, ἧς μέρος ἐστὶν ὁ προορισμός, οὐκ ἀναιρεῖν τὰς δευτέρας αἰτίας, ἀλλ᾽ οὕτω προνοεῖσθαι τῶν ἀποτελεσμάτων, ὥστε τὴν τῶν δευτέρων αἰτίων τάξιν ὑποκεῖσθαι τῇ προνοίᾳ. Ὥσπερ τοίνυν οὕτως ἐστὶν ἡ πρόνοια τῶν φυσικῶν ἀποτελεσμάτων, ὥστε καὶ τὰς φυσικὰς αἰτίας πρὸς τὰ ἀποτελέσματα ἐκεῖνα τετάχθαι, ὧν ἄνευ τὰ ἀποτελέσματα ἀδύνατον προελθεῖν, οὕτω καὶ σωτηρία τινὸς ὑπὸ τοῦ Θεοῦ προορίζεται, ὥστε καὶ τῇ τάξει τοῦ προορισμοῦ ὑποπίπτειν πᾶν ὅπερ ἂν ἐπὶ σωτηρίαν τὸν ἄνθρωπον προκαλῆται, ἢ τὰς ἰδίας εὐχὰς ἢ τὰς τῶν ἄλλων ἢ ἕτερα ἀγαθὰ ἢ πᾶν τοιοῦτον ὧν ἄνευ τῆς σωτηρίας οὐκ ἂν τύχοι. Ὅθεν τοὺς προωρισμένους ἐπιχειρεῖν δεῖ ἀγαθοεργίᾳ, καὶ εὐχαῖς· διὰ γὰρ τούτων τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα βεβαίως πληροῦται.

14–18 Ἐν…κινουμένας

SG III, 95.5 (*Taurin.* XXIII, 239r, 20–21): Τῇ θείᾳ τοίνυν προσήκει ἀγαθότητι τὰς ἐπιθυμίας ἀποπληροῦν τῆς λογικῆς κτίσεως τὰς αὐτῷ προτιθεμένας διὰ τῆς εὐχῆς.

23–27 ταῦτα…λαμβάνουσιν

SG III, 10.14 (*Taurin.* XXIII, 167v, 5–9): Ἀνάγκη τοίνυν λέγειν ὡς ἡ ἐν τῇ θελήσει προϋφισταμένη ἀσθένεια οὐκ ἔστι φυσική, ἵνα μὴ ἐν πάσῃ ἐνεργείᾳ ἕπηται τὴν θέλησιν ἁμαρτάνειν. Ἀλλ᾽ οὐδὲ τυχηρὰ καὶ ἐξ αὐτομάτου· οὐ γὰρ ἂν ἦν ἐν ἡμῖν ἁμάρτημα ἤθους· τὰ γὰρ τυχηρὰ ἀπροβούλευτά εἰσι καὶ παρὰ τὸν λόγον. Ἔστιν ἄρα ἑκουσία.

SG III, 95.9 (*Taurin.* XXIII, 239r, 30–34): Δέδεικται γὰρ ὅτι τὰ τῆς λογικῆς κτίσεως ἐπιθυμίας πληροῖ ὁ Θεός, καθόσον ἐπιθυμοῦσι τῶν ἀγαθῶν. Πολλάκις δὲ συμβαίνει τὸ ζητούμενον μὴ εἶναι ἀληθῶς ἀγαθόν, ἀλλὰ δοκοῦν, ἁπλῶς δὲ κακόν. Οὐκ ἄρα δεῖ τὴν τοιαύτην εὐχὴν ὑπὸ τοῦ Θεοῦ εἰσακούεσθαι.

13. 1–8 Τοιούτων…ἀξιοῦντες

SG III, 2.10 (*Taurin.* XXIII, 161v, 33–35): Διὰ τούτου δὲ ἀποδοκιμάζεται ἡ τῶν ἀρχαίων φυσικῶν αἵρεσις, οἵτινες ὑπετίθεσαν πάντα ἐξ ἀνάγκης γίνεσθαι φυσικῆς, τὴν τελικὴν αἰτίαν παντάπασι τῶν πραγμάτων ἐκβάλλοντες.

SG III, 38.3 (*Taurin.* XXIII, 185r, 4–10): Τινὲς μὲν γὰρ τῶν ἐν τῷ κόσμῳ πραγμάτων μόνα τὰ οὐράνια σώματα ἐπίστευσαν εἶναι τακτικά· ὅθεν αὐτὰ καὶ θεοὺς εἶναι ἔφασαν. Τινὲς δὲ περαιτέρω καὶ αὐτὰ τὰ στοιχεία τὰ ἐξ αὐτῶν γεννώμενα, ὥσπερ ὑπολαβόντες τὰς κινήσεις ἃς ἔχουσι καὶ τὰς φυσικὰς ἐνεργείας οὐκ ἀφ᾽ ἑτέρου τούτοις ἐνεῖναι, ἀλλὰ ἐξ αὐτῶν τὰ ἄλλα τετάχθαι. Τινὲς δὲ τὰς ἀνθρωπίνας πράξεις οὐχ ἑτέρου τάξει πιστεύοντες ὑποκεῖσθαι εἰμὴ μόνῃ τῇ ἀνθρωπίνῃ, τοὺς ἑτέρων ἄρχοντας ἀνθρώπους θεοὺς εἶναι ἔφασαν.

7–8 οὐδὲν…ἀξιοῦντες

ST Ia, Q. 22, A. 2 Resp. (*Vatop*. 254, 113v, 28–32): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τὴν πρόνοιάν τινες μὲν παντελῶς ἀπηρνήσαντο, ὥσπερ Δημόκριτος καὶ Ἐπίκουρος, ὑποτιθέμενοι τὸν κόσμον αὐτομάτως γενέσθαι, τινὲς δὲ ἐνόμισαν τὰ ἄφθαρτα μόνον τῇ θείᾳ ὑποκεῖσθαι προνοίᾳ, τὰ δὲ φθαρτὰ καὶ αὐτὰ μὲν κατὰ τὰ ἄτομα οὐδαμῶς, ἀλλὰ μόνον κατὰ τὰ εἴδη· οὕτω γὰρ κἀκεῖνα ἄφθαρτα εἰσίν

ST Ia, Q. 116, A. 1 Resp. (*Coisl*. 280, 404r, 13–16): Τινὲς δὲ πάντα τὰ ἀπὸ τύχης καὶ αὐτομάτου ἐν τοῖς ὑποκάτω τούτοις συμβαίνοντα, εἴτε ἐν τοῖς φυσικοῖς εἴτε ἀνθρωπίνοις, εἰς ὑψηλοτέραν τινὰ αἰτίαν ἀνάγειν ἠθέλησαν, τουτέστιν εἰς τὰ οὐράνια σώματα· καὶ κατὰ τοῦτο οὐδὲν ἄλλο ἐστὶν ἡ εἱμαρμένη ἢ ἡ τῶν ἄστρων διάθεσις.

8–11 Ἐν…διασῴζεται

SG III, 129.3 (*Taurin.* XXIII, 266v, 25–26): Ἔτι, τὸ φυσικὸν τοῦ λόγου κριτήριον ἔχουσι παρὰ τῆς θείας προνοίας οἱ ἄνθρωποι ὡς ἀρχὴν τῶν ἰδίων ἐνεργειῶν.

11–14 Οὔτε…ἦν

ST Ia, Q. 19, A. 8 Resp. (*Vatop*. 254, 102v, 32–103r–4): …τὸ ἀποτέλεσμα αἰτίας τινὸς πρώτης ἐνδεχόμενον εἶναι διὰ τὴν δευτέραν αἰτίαν συμβαίνει κωλύεσθαι τὴν πρώτην αἰτίαν διὰ τὴν ἀσθένειαν τῆς δευτέρας· ὥσπερ τὸ ἀποτέλεσμα τοῦ ἡλίου κωλύεται διὰ τὴν ἀσθένειαν τοῦ πλανήτου· οὐδεμία δ᾽ ἀσθένεια δευτέρας αἰτίας δύναται κωλῦσαι τοῦ μὴ τὴν τοῦ Θεοῦ θέλησιν τὸ οἰκεῖον παραγαγεῖν ἀποτέλεσμα.

ST Ia, Q. 105, A. 7 Resp. (*Coisl.* 280, 348r, 9–11): Ἀπολογουμένοις ῥητέον ἂν εἴη ὅτι τὸ τοῦ ‘θαύματος’ ὄνομα ἐκ τοῦ ‘θαυμαστοῦ λαμβάνεται’· τὸ δὲ θαυμάζειν ἐγγίγνεται ὅταν τὰ μὲν ἀποτελέσματα φανερὰ ᾖ, ἡ δὲ αἰτία ἀπόκρυφος· οἷον θαυμάζει τις ὁρῶν ἔκλειψιν τοῦ ἡλίου καὶ τὴν αἰτίαν ἀγνοεῖ, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν *Μετὰ τὰ φυσικά*.

ST Ia, Q. 105, A. 7 Resp. (*Coisl.* 280, 348r, 14–16): Θαῦμα δὲ λέγεται, οἷον ἐκπλήξεως γέμον, ὡς ἔχον αἰτίαν πᾶσιν ἁπλῶς ἀπόκρυφον· αὕτη δέ ἐστιν ὁ Θεός. Ὅθεν τὰ παρὰ Θεοῦ γινόμενα παρὰ τὰς ἡμῖν ἐγνωσμένας αἰτίας θαύματα λέγονται.

14–23 Καὶ…μεταποιηθῆναι

ST Ia, Q. 19, A. 7 Resp. (*Vatop*. 254, 102r, 32–102v, 3): …ὥσπερ ὅτε προεῖπε τῷ Ἐζεκία, "διάθου τῷ οἴκῳ σου, ὅτι ἀποθανῇ καὶ οὐ ζήσῃ", ὡς λέγεται ἐν τῷ τριακοστῷ τοῦ *Ἡσαΐου*, οὐ μέντοι οὕτως ἀπέβῃ· ἄλλως γὰρ ἦν ἐξ ἀιδίου ἐν τῇ ἐπιστήμῃ καὶ τῇ θελήσει τοῦ Θεοῦ, ἥτις ἐστὶν ἀμετάβλητος.

SG III, 95.17 (*Taurin.* XXIII, 240r, 19–23): Λέγεται γὰρ ἐν τῷ τριακοστῷ πέμπτῳ τοῦ *Ἡσαΐου* ὡς ὁ Ἡσαΐας ἐκ προστάγματος τοῦ Κυρίου εἶπεν Ἐζεκία τῷ βασιλεῖ, "τάδε λέγει Κύριος· διάταξε τῷ οἴκῳ σου, ὅτι ἀποθανῇ σὺ καὶ οὐ ζήσῃ", καὶ ὅτι μετὰ τὴν τοῦ Ἐζεκίου εὐχὴν ἐγένετο λόγος Κυρίου πρὸς Ἡσαΐαν λέγων, "ὕπαγε καὶ εἰπὲ Ἐζεκίᾳ· ἤκουσα τῆς προσευχῆς σου· ἰδοὺ προσθήσω ἐπὶ τὰς ἡμέρας σου πέντε καὶ δέκα ἔτη".

Λόγος Β΄

2.1. 8–9 περὶ…ἄρθρον

ST IIa IIae, Q. 1, A. 8 Resp. (*Par. Gr.* 1237, 5v/8v, 23–27): Ἔτι, ὥσπερ ἀναγκαῖόν ἐστιν ἐν τῇ πίστει πιστεύειν τὸν Θεὸν παντοκράτορα, οὕτω καὶ τὸ πιστεύειν αὐτὸν πάντα ἐπίστασθαι καὶ πάντα προνοεῖσθαι. Συνέβη δὲ καὶ περὶ ἑκάτερόν τινας πλανηθῆναι. Ἔδει ἄρα ἐν τοῖς τῆς πίστεως ἄρθροις μνήμην γενέσθαι τῆς θείας σοφίας καὶ τῆς θείας προνοίας, ὥσπερ καὶ τοῦ πάντων κρατεῖν.

Ibid., ad 2um (*Par. Gr.* 1237, 6r/9r), 24–28): Πρὸς τὸ δεύτερον· αὐτὸ τὸ τῆς 'θεότητος' ὄνομα πρόνοιάν τινα σημαίνει, ὡς εἴρηται ἐν τῷ πρώτῳ βιβλίῳ [*ST* Ia, Q. 13, A. 8 Resp., *Coisl.* 279, 85r, 10–13: …τὸ 'Θεὸς' ὄνομα ἐνεργείας ἐστὶν ὄνομα ὅσον κατὰ τὸ ἀφ' οὗ παρῆκται, ὥστε σημαίνειν· παρῆκται γὰρ τοῦτο ἀπὸ τῆς καθόλου τῶν πραγμάτων προνοίας. Πάντες γὰρ οἱ περὶ Θεοῦ λέγοντες τοῦτο βούλονται ὀνομάζειν αὐτόν, τὸ ἔχειν δηλαδὴ πρόνοιαν τῶν καθόλου πραγμάτων = *Compendium ST*, *Ia*, Q. 13, A. 8 (*Œ* V, 349,19–21: Ὅτι τὸ 'Θεός' ὄνομα, ἐνεργείας ὂν τῆς πάντ' ὁρώσης καὶ προνοούσης, πρὸς τὸ τὴν θείαν φύσιν σημαίνειν ἐπίκειται· ἀπό τινος γὰρ ἐνεργείας καὶ ἰδιότητος τὴν τοῦ πράγματος οὐσίαν παρονομάζομεν]. Ἡ δὲ δύναμις ἐν τοῖς ἔχουσι νοῦν θελήσει μόνη καὶ γνώσει ἐνεργεῖ. Καὶ διὰ τοῦτο τὸ παντοκρατορικὸν τοῦ Θεοῦ ὁμοῦ περιέχει, τρόπον τινά, τὴν γνῶσιν καὶ τὴν πρόνοιαν πάντων. Οὐ γὰρ ἂν ἠδύνατο ποιεῖν ὅπερ ἐβούλετο ἐν τοῖς ὑποκάτω τούτῳ, εἰ μὴ ταῦτα καὶ ἐγίνωσκεν καὶ τούτων προενοεῖτο.

Vat. Ross. 986, f. 306r, 9–10: Τὰ ιβ΄ ἄρθρα τῆς πίστεως εἰς ἃ διαιρεῖται τὸ *Σύμβολον*: α Πιστεύω εἰς ἕνα Θεόν· β πατέρα παντοκράτορα· γ ποιητὴν οὐρανοῦ καὶ γῆς· ὁρατῶν τε πάντων καὶ ἀοράτων…

2.2. 4–6 Μὴ…σεαυτῷ

Compendium SG III,93 (*Œ* V, 179,24–28): Τινὲς δὲ πάντα τὰ ἐνταῦθα ἐξ αὐτομάτου συμβαίνοντα εἰς τὰ οὐράνια ἀνῆγον σώματα καὶ τὰς ἀνθρωπίνας αἱρέσεις, τὴν δύναμιν τῆς τῶν ἀστέρων θέσεως, ᾗ πάντα μετά τινος ἀνάγκης ὑποκεῖσθαι ἐτίθεσαν, 'εἱμαρμένην' καλοῦντες, ἥτις δόξα ἀδύνατος καὶ τῆς πίστεως ἀλλοτρία.

3. 3–10 ᾗδει…ὑπερβολήν

Compendium SG III,24 (*Œ* V, 130,10–14): Καὶ γὰρ καὶ τὰ γνώσεως ἐστερημένα φυσικὰ σώματα κινοῦσι καὶ ποιοῦσιν ἕνεκα τέλους· φέρονται γὰρ ἐπ' αὐτὸ ὥσπερ ὑπὸ τῆς νοερᾶς οὐσίας κινούμενα, ὡς ἐπὶ τὸν σκοπὸν ὑπὸ τοῦ τοξότου τὸ βέλος. Διὸ καὶ πᾶν ἔργον τῆς

φύσεως ἔργον ἐστὶ νοερᾶς οὐσίας ὡς πρώτως κινούσης, καὶ μᾶλλόν ἐστιν αὐτῆς ἔργον ἢ τῶν ὑπ᾽ αὐτῆς κινουμένων ὀργάνων.

Compendium SG III,52 (*Œ* V, 146,34–38): Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Ἡ χάρις τοῦ Θεοῦ ζωὴ αἰώνιος", ὅτι πρὸς τὴν θείαν μακαριότητα, ἥτις καὶ 'ζωὴ αἰώνιος' λέγεται, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, μόνον τῇ τοῦ Θεοῦ χάριτι φθάνομεν, διότι ἡ θεία θεωρία πᾶσαν κτιστὴν εὐπορίαν ὑπερβαίνει καὶ πρὸς ταύτην ἀδύνατον ἐλθεῖν εἰμὴ διὰ τῆς θείας δωρεᾶς.

Compendium SG III,109 (*Œ* V, 193,38–134,3): Καὶ τούτῳ διαφέρει τὰ βούλησιν ἔχοντα τῶν ἐστερημένων αὐτῆς, ὅτι τὰ μὲν τάττουσιν ἑαυτὰ πρὸς τὸ τέλος, τὰ δὲ τάττονται ὑπὸ τοῦ ἀνωτέρω ποιοῦντος, ὥσπερ ὑπ᾽ ἐκείνου πρὸς τὸ τέλος ἀγόμενα, οὐχ ὑφ᾽ ἑαυτῶν

Compendium SG III,117 (*Œ* V, 199,14–15): Ἐν δὲ τῷ ἐσχάτῳ τῆς μακαριότητος τέλει πάντες οἱ ἄνθρωποι κοινωνοῦσι, πρὸς ὃ θεόθεν ἅπαντες τάττονται.

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,28–361,5): Ὅτι προσῆκόν ἐστι τῷ Θεῷ τοὺς ἀνθρώπους προορίζειν. Πάντα γὰρ τῇ θείᾳ προνοίᾳ ὑπόκεινται, τῆς δὲ προνοίας τὸ εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται. Εἰς ὃ δὲ τάττονται τέλος ὑπὸ Θεοῦ τὰ ὄντα διττόν, ἓν μὲν ὑπερφυές, ἡ αἰώνιος ζωή, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, ἓν δὲ τὸ τῇ φύσει οἰκεῖον, καὶ οὗ τὰ κτιστὰ δύνανται ἅπτεσθαι τῇ οἰκείᾳ δυνάμει. Εἰ δέ τις ἀσθενοίη, ὑπ᾽ ἄλλου ἄγεται, ὡς τὸ βέλος πρὸς τὸν σκοπὸν ὑπὸ τοῦ τοξότου πεμπόμενον. Ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη, ἧς δὴ πομπῆς ὁ λόγος ἐν αὐτῷ προϋφίσταται, ὡς καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὅ φαμεν 'πρόνοιαν'. Ὁ δὲ τοῦ ἐσομένου λόγος, ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων, προϋπόστασίς τίς ἐστιν αὐτοῦ τοῦ πράγματος· ὅθεν ὁ λόγος τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν ὁδηγίας τῆς λογικῆς φύσεως 'προορισμὸς' ὀνομάζεται· ὁρίζειν γὰρ τὸ τὸν ὅρον ἐφ᾽ ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι, καὶ οὕτως ὁ προορισμὸς προνοίας μέρος ἐστίν.

10–12 οὐ…ἡμᾶς

Compendium SG III, 149 (*Œ* V, 224,1–3): Καὶ ἐν τῇ *Πρὸς Τῖτον*· "Οὐκ ἐξ ἔργων δικαιοσύνης, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς".

Compendium ST Ia, Q. 23, A. 5 (*Œ* V, 362,7–14): Ὅτι τὰ ἀνθρώπινα ἔργα οὐκ εἰσὶν αἴτια τοῦ προορισμοῦ ἢ τῆς ἀποδοκιμασίας ἢ τῆς ἐκλογῆς. Ἐν γὰρ τῇ *Πρὸς Τῖτον* λέγεται· "Οὐκ ἐξ ἔργων δικαιοσύνης ὧν ἡμεῖς ἐποιήσαμεν, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς". Ὥσπερ δὲ σῴζει, οὕτω καὶ σωθῆναι προώρισεν. Οὐκ ἄρα ἡ τῶν ἔργων πρόγνωσις αἰτία ἢ λόγος τοῦ προορισμοῦ. Καὶ ἐν τῷ ἐσχάτῳ τῶν *Θρήνων*· "Ἐπίστρεψον ἡμᾶς, Κύριε, καὶ ἐπιστραφησόμεθα"· καὶ αὐτὴ γὰρ ἡ πρώτη πρὸς τὴν χάριν ἑτοιμασία οὐ γίνεται ἐν ἡμῖν βοηθείας θείας χωρίς.

16–18 τέλος…συνισταμένην

Compendium SG III, 25 (*Œ* V, 131,33–34): Δῆλον δὲ τοῦτο καὶ ἐντεῦθεν, ὅτι ὁ ἀνθρώπινος νοῦς μᾶλλον ἐπιθυμεῖ καὶ ἥδεται τῇ γνώσει τῶν θείων.

Compendium SG III, 25 (*Œ* V, 132,6–7): Ἡ θεία ἄρα γνῶσις ἔσχατον τέλος τοῦ ἀνθρώπου καὶ πάσης νοερᾶς οὐσίας, ὅπερ 'εὐδαιμονία' καὶ 'μακαριότης' ὀνομάζεται.

Compendium SG III, 25 (*Œ* V, 132,9–10): καὶ τὸ ἐν τῷ *Ἰωάννῃ*· "Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν".

Compendium SG III, 26 (*Œ* V, 133,5–8): Πολλῷ τοίνυν ἄρα μᾶλλον οὐδ᾽ ἑτέρα τις ἐνέργεια θελήσεως ἡ εὐδαιμονία ἐστίν, ἀλλ᾽ ἐν τῷ γινώσκειν τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία· οὐσιωδῶς γὰρ μακαριότης τοῦ ἀνθρώπου ἐστὶν ἡ ἐνέργεια, δι᾽ ἧς φθάνει πρὸς τὸν Θεόν.

Compendium SG III, 52 (*Œ* V, 146,34–38): Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Ἡ χάρις τοῦ Θεοῦ ζωὴ αἰώνιος", ὅτι πρὸς τὴν θείαν μακαριότητα, ἥτις καὶ 'ζωὴ αἰώνιος' λέγεται, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, μόνον τῇ τοῦ Θεοῦ χάριτι φθάνομεν, διότι ἡ θεία

θεωρία πᾶσαν κτιστὴν εὐπορίαν ὑπερβαίνει καὶ πρὸς ταύτην ἀδύνατον ἐλθεῖν εἰμὴ διὰ τῆς θείας δωρεᾶς.

Compendium SG III, 61 (*Œ* V, 153,3–5): Ἐντεῦθέν ἐστιν ὅ φησι Κύριος ἐν τῷ *Κατὰ Ἰωάννην·* "Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σέ, τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν".

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,31–34): Εἰς ὃ δὲ τάττονται τέλος ὑπὸ Θεοῦ τὰ ὄντα διττόν, ἓν μὲν ὑπερφυές, ἡ αἰώνιος ζωή, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη…

Compendium ST Ia IIae, Q. 3, A. 4 (*Œ* VI, 6,9–11): …ἐν τῷ δεκάτῳ ἐβδόμῳ τοῦ *Κατὰ Ἰωάννην·* "Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι" καὶ τὰ ἑξῆς. Ἡ δὲ αἰώνιος ζωὴ εἴρηται ἔσχατον τέλος καὶ μακαριότης. Ἐν τῇ Θεοῦ ἄρα γνώσει συνίσταται.

20–21 ἅ…βλέπουσιν

Compendium SG III, 47 (*Œ* V, 142,6–8): Τοῦτο δέ ἐστι τὸ ὑπὸ τοῦ Ἀποστόλου λεγόμενον ἐν τῇ πρώτῃ *Πρὸς Κορινθίους·* "Ὁρῶμεν νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι" (I Cor. 13,12), οὐ κατ' οὐσίαν δηλονότι.

Compendium SG III, 51 (*Œ* V, 145,37–146,5): Ταύτης τῆς ἀμέσου τοῦ Θεοῦ θεωρίας ἐπαγγελίαν ἔχομεν ἐν τῇ *Πρὸς Κορινθίους* πρώτῃ· "Ὁρῶμεν νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον", ὅπερ ἀνόσιον περὶ σωματικοῦ προσώπου νοεῖν, ἀσωμάτου τοῦ θείου δειχθέντος, ἀλλὰ καὶ τοῦ ἐγκαθημένου τῷ ἡμετέρῳ προσώπῳ ὀφθαλμοῦ τῶν σωματικῶν μόνων ἀντιλαμβανομένου· ἀλλ' ἀμέσως αὐτὸν "ὄψεσθαι" ἡμᾶς φησὶ τὸ λόγιον, ὥσπερ εἴ τις ἄνθρωπος βλέποι πρόσωπον πρὸς πρόσωπον.

Compendium SG IV, 1 (*Œ* V, 240,35–36): ὡς ἐν τῇ *Πρὸς Κορινθίους* πρώτῃ· "Ὁρῶμεν νῦν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι".

23–26 αὐτὸς…ὁδηγίας

Compendium ST Ia, Q. 45, A. 7 (*Œ* V, 380,32–34): Ἡ γὰρ πρὸς ἕτερόν τι τοῦ ἀποτελέσματος τάξις ἐκ τῆς θελήσεως τοῦ ποιοῦντός ἐστιν. Καὶ διὰ τοῦτό φησιν Αὐγουστῖνος ἐν ἕκτῳ *Περὶ Τριάδος* ὅτι "ἐν ἑκάστῳ τῶν κτισμάτων ἴχνος τι τῆς Τριάδος εὑρίσκεται".

30–32 τὰ[2]…ἀγγέλων

Compendium SG III, 69 (*Œ* V, 159,22–24): Ἔτι, εἰ ὁ Θεὸς μόνος πάντα ἀμέσως ἐνήργει τὰ ὑπὸ κάτω ἀποτελέσματα, εἰκῇ ἂν ἐδέδοτο ταῖς ὑψηλοτέραις φύσεσιν ἡ τοῦ προάγειν ἀφ' ἑαυτῶν δύναμις καὶ πᾶσι τοῖς φύσει ποιοῦσιν.

4.1. 1–9 Διὰ…αὐτό

Compendium SG I, 1 (*Œ* V, 2,6–7): Ὅθεν μετὰ τῶν ἄλλων ἃ περὶ τοῦ σοφοῦ νομίζουσιν ἄνθρωποι, καὶ τοῦτο τίθησιν ὁ Φιλόσοφος, ὅτι «τοῦ σοφοῦ τὸ τάττειν ἐστίν».

Compendium SG II, 24 (*Œ* V, 69,10): Ἔτι, «τὸ τάττειν τοῦ σοφοῦ ἐστι» κατὰ τὸν Φιλόσοφον.

Compendium SG III, 73 (*Œ* V, 162,28–29): …καὶ πάντα διὰ τῆς θείας προνοίας πρὸς τὸ ἁρμόζον ἄγονται τέλος.

Compendium SG III, 109 (*Œ* V, 193,38–194,3): Καὶ τούτῳ διαφέρει τὰ βούλησιν ἔχοντα τῶν ἐστερημένων αὐτῆς, ὅτι τὰ μὲν τάττουσιν ἑαυτὰ πρὸς τὸ τέλος, τὰ δὲ τάττονται ὑπὸ τοῦ ἀνωτέρως ποιοῦντος ὥσπερ ὑπ' ἐκείνου πρὸς τὸ τέλος ἀγόμενα, οὐχ ὑφ' ἑαυτῶν.

Compendium SG III, 111 (*Œ* V, 195,18–21): Ὑπερέχουσι γὰρ τῶν ἄλλων κτισμάτων τῇ τε τῆς φύσεως τελειότητι (μόνα γὰρ τῶν ἰδίων ἐνεργειῶν ἐλευθέρως ἄρχει, ἑαυτὰ ἄγοντα ἐπὶ τὸ πρακτέον, τῶν ἄλλων ἀγομένων ἐπὶ τὰ οἰκεῖα ἔργα μᾶλλον ἢ ἀγόντων) καὶ τῇ τοῦ τέλους ἀξίᾳ.

Compendium SG III, 129 (*Œ* V, 208,29–30): Ἔτι, τὸ φυσικὸν τοῦ λόγου κριτήριον ἔχουσιν ἐκ τῆς προνοίας οἱ ἄνθρωποι ὡς ἀρχὴν τῶν ἰδίων ἐνεργειῶν.

Compendium SG III, 147 (*Œ* V, 222,2–6): Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

Compendium SG III, 155 (*Œ* V, 233,11–15): Ἡ ἄρα διαμονὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ παρὰ τοῦ Θεοῦ ἐστι, καὶ δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ διδομένης ἐπὶ τῇ καθ' ἕξιν χάριτι πρὸς τὸ τἀγαθὰ πράττειν ἄλλης χάριτος πρὸς τὸ διαμένειν, ἀλλὰ μετὰ πάσας τὰς ἀπὸ τῆς χάριτος ἕξεις τῆς θείας προνοίας ἔξωθεν κυβερνώσης τὸν ἄνθρωπον.

Compendium SG III, 147 (*Œ* V, 221,26–222,28): Δέδοται μὲν γὰρ τοῖς ἀνθρώποις φυσική τις ἐκ Θεοῦ χορηγία πρὸς τὸ τυγχάνειν τοῦ τέλους, καὶ τρόπος κυβερνήσεως ὑψηλότερος κατὰ τὴν τοῦ τέλους ἀναλογίαν, οἷον νοῦς καὶ λόγος, δι' ὧν τὴν ἀλήθειαν διακρίνειν καὶ παρακολουθεῖν δύναται· καὶ δυνάμεις αἰσθητικαὶ ἔνδοθέν τε καὶ ἔξωθεν, δι' ὧν βοηθοῖτ' ἂν πρὸς τὸ τὴν ἀλήθειαν ἐξετάζειν· καὶ ἡ τοῦ προφορικοῦ λόγου χρῆσις, ἵν' οὕτως ἀλλήλοις βοηθῶσιν οἱ ἄνθρωποι φανεροῦντες τὴν συνεγνωσμένην ἀλήθειαν ἑαυτοῖς καὶ πρὸς ἄλλους, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τῆς ζωῆς ἀναγκαίοις τῇ γλώττῃ χρώμενοι. Ἀλλὰ καὶ περαιτέρω τὸ ἔσχατον τοῦ ἀνθρώπου τέλος ἔν τινι τῆς ἀληθείας γνώσει συνέστηκεν τὴν φυσικὴν αὐτοῦ δύναμιν ὑπερβαίνοντι, ὥστ' αὐτὴν δηλονότι τὴν πρώτην ἀλήθειαν ἐν ἑαυτῇ δύνασθαι καθορᾶν, ὥστε καὶ ἐκ τοῦ τέλους μάλιστα τὸν τῆς ἐκ Θεοῦ κυβερνήσεως διαφορώτερον τρόπον ἐν ἀνθρώποις καταλαμβάνεσθαι. Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

Compendium ST Ia, Q. 22, A. 2 (*Œ* V, 359,21–25): Καὶ διὰ τοῦτο τὰ ἀμηγέπη τοῦ εἶναι μετέχοντα ἐκ τῆς πρώτης πάντων αἰτίας δεῖ καὶ παρ' αὐτῆς εἰς τέλος τετάχθαι, καὶ ᾗ μετέχει τοῦ εἶναι, ταύτῃ καὶ τοῦ τέλους τυγχάνειν· τὸ δέ ἐστι τὸ προνενοῆσθαι, ἐπεὶ ἡ πρόνοια οὐδὲν ἄλλο ἐστὶν ἐν Θεῷ ἢ λόγος τῆς εἰς τὸ τέλος τῶν ὄντων τάξεως.

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,31–34): Εἰς ὃ δὲ τάττονται τέλος ὑπὸ Θεοῦ τὰ ὄντα διττόν, ἓν μὲν ὑπερφυές, ἡ αἰώνιος ζωή, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη…

Compendium ST Ia, Q. 23, A. 2 (*Œ* V, 361,20–22): Ὅτι ὁ προορισμὸς οὐκ ἔστι τι ἐν τοῖς προωρισμένοις, ἀλλ' ἐν τῷ προορίζοντι· ὁ μὲν γὰρ μέρος προνοίας, ἡ δέ, ὡς ἔστι λόγος ἐν τῷ τοῦ προνοοῦντος λογισμῷ εἴρηται.

Compendium ST Ia, Q. 103, A. 5 (*Œ* V, 482,8–12): Οὐ γὰρ μόνον ὑπὸ τοῦ Θεοῦ ἡ λογικὴ κτίσις κινεῖται ἔνδοθεν ἐνεργοῦντος, ἀλλὰ καὶ ἐνάγεται εἰς τὸ ἀγαθὸν καὶ ἀφέλκεται τοῦ κακοῦ προτροπαῖς καὶ ἀποτροπαῖς καὶ ἄθλοις καὶ τιμωρίαις. Τοῦτον δὲ τὸν τρόπον οὐ κυβερνῶνται τὰ ἄλογα κτίσματα· ἄγονται γὰρ μόνον, οὐκ ἄγουσιν οὔθ' ἑαυτὰ οὔθ' ἕτερα.

9 καὶ[1]…βοηθούμενος

Compendium ST Ia, Q. 113, A. 1 (*Œ* V, 497,14–23): Ὅτι οἱ ἄνθρωποι φυλάττονται ὑπὸ τῶν ἀγγέλων, ὡς ἐν *Ψαλμοῖς* λέγεται· "Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάττειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου". Ἐπειδὴ γὰρ ἡ τοῦ ἀνθρώπου γνῶσις καὶ διάθεσις περὶ τὰ πρακτὰ πολλαχῶς δύναται μεταβάλλειν καὶ ἀσθενεῖν περὶ τὸ ἀγαθόν, ἀναγκαῖον ἦν ὑπὸ τῆς θείας προνοίας ἀφορισθῆναι τοῖς ἀνθρώποις ἀγγέλους πρὸς φυλακήν, δι' ὧν ἂν ὁρίζοιντο καὶ κινοῖντο πρὸς τἀγαθόν. Φυλάττεται μὲν οὖν καὶ ὑπὸ τοῦ αὐτεξουσίου ὁ ἄνθρωπος, ἀλλ' οὐκ ἀρκούντως. Ἐν γὰρ τῷ ἐφαρμόζειν τὰς καθόλου ἀρχὰς ταῖς μερικαῖς συμβαίνει τὸν ἄνθρωπον πολλαχῶς ἀσθενεῖν.

9–14 Ὡς… καλοῦνται

Compendium ST Ia, Q. 23, A. 5 (*Œ* V, 362,10–11): Ὥσπερ δὲ σῴζει, οὕτω καὶ σωθῆναι προώρισεν. Οὐκ ἄρα ἡ τῶν ἔργων πρόγνωσις αἰτία ἢ λόγος τοῦ προορισμοῦ.

14–24 Καὶ… σπουδήν

Compendium SG III, 159 (*Œ* V, 236,6–7): "Θέλει γὰρ πάντας ἀνθρώπους σωθῆναι" καὶ ἐν τῇ *Πρὸς Τιμόθεον* λέγεται καὶ τὰ ἑξῆς.

Compendium ST Ia, Q. 19, A. 6 (*Œ* V, 355,4–17): Τὸ δέ· "ὃς καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι", νοεῖται ὡς ἢ θέλει τοὺς σῴζεσθαι βουλομένους (οὐ γάρ ἐστιν ἀληθὲς ὅτι μηδείς ἐστιν ὃν μὴ θέλει σωθῆναι) ἢ ἐκ πάσης τῶν ἀνθρώπων τάξεως, ἢ τῇ ἡγουμένῃ βουλήσει, ἀλλ' οὐ τῇ ἑπομένῃ. Ὧν ἡ διάκρισις οὐ κατ' αὐτὴν τὴν θείαν βούλησιν, ἀλλὰ κατὰ τὰ θελητά. Θέλει γὰρ ὁ Θεὸς πάντα ἄνθρωπον σῴζεσθαι προηγουμένως, ἀλλ' ἑπομένως θέλει τὸν ἁμαρτωλὸν κολάζεσθαι, ὥσπερ καὶ ὁ δίκαιος δικαστὴς προηγουμένως θέλει πάντα ἄνθρωπον ζῆν, ἑπομένως δὲ τὸν φονέα ἀναρτηθῆναι. Τὸ δὲ προηγουμένως θέλειν οὐχ ἁπλῶς ἐστι θέλειν, ἀλλά πη· τὸ γὰρ ἁπλῶς τι θέλειν ἐστὶν ὅταν ἐκεῖνό τις θέλῃ θεωρηθέντων πάντων τῶν μερικῶν περιστατικῶν, ἐν οἷς ἐστι τὸ ἑπομένως θέλειν. Ὅθεν ὁ δίκαιος κριτὴς ἁπλῶς θέλει τὸν φονέα ἀναρτηθῆναι, εἰ καί πῃ θέλει τοῦτον ζῆν, δηλονότι ὡς ἄνθρωπον. Καὶ οὕτω δῆλον ὡς, ὅπερ ἂν ὁ Θεὸς ἁπλῶς θέλοι, γίνεται, εἰ καί τι, ὃ προηγουμένως θέλει, οὐ γίνεται.

4.2. 5–8 οἰχήσεται… μεθόδοις

Compendium SG III, 155 (*Œ* V, 233,11–15): Ἡ ἄρα διαμονὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ παρὰ τοῦ Θεοῦ ἐστι, καὶ δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ διδομένης ἐπὶ τῇ καθ' ἕξιν χάριτι πρὸς τὸ τἀγαθὰ πράττειν ἄλλης χάριτος πρὸς τὸ διαμένειν, ἀλλὰ μετὰ πάσας τὰς ἀπὸ τῆς χάριτος ἕξεις τῆς θείας προνοίας ἔξωθεν κυβερνώσης τὸν ἄνθρωπον.

Compendium SG III, 157 (*Œ* V, 222,26–28): Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

19–21 Διὸ… δουλεύειν

Compendium SG II, 28 (*Œ* V, 71,27–30): Οἷον, εἰ τὰ ζῷα καὶ φυτὰ εἶναι ὁ Θεὸς ἠθέλησεν, ὀφειλόμενον ἦν τὰ οὐράνια σώματα δρᾶν, ἐξ ὧν συντηροῦνται· καὶ εἰ τὸν ἄνθρωπον εἶναι ἠθέλησεν, ἀναγκαῖον ἦν γενέσθαι φυτὰ καὶ ζῷα καὶ τὰ ἄλλα, ὧν δεῖ τῇ αὐτοῦ ζωῇ.

Compendium SG III, 22 (*Œ* V, 128,21–25): Εἰ τοίνυν ἡ τοῦ οὐρανοῦ κίνησις πρὸς τὴν γένεσιν τέτακται, ἡ δὲ γένεσις ὅλη πρὸς τὸν ἄνθρωπον ὡς εἰς ἔσχατον τέλος τῆς γενέσεως ταύτης, καὶ τῆς τοῦ οὐρανοῦ κινήσεως ἄρα τὸ τέλος ὡς εἰς ἔσχατον τὸν ἄνθρωπον τέτακται ἐν τῷ γένει τῶν κινητῶν καὶ γεννητῶν.

Compendium SG III, 24 (*Œ* V, 131,8–13): Ὅθεν οὐδ' ἄτοπον εἰ αἱ κινήσεις τῶν οὐρανίων σωμάτων καὶ αἱ ἐνέργειαι τῶν κινούντων αὐτὰς λέγοιντο εἶναι ἀμηγέπη τῶν γινομένων καὶ φθειρομένων σωμάτων ἕνεκα, ἅπερ ἐκείνων εἰσὶν ἀτιμότερα. Οὐ γάρ εἰσιν αὐτῶν ἕνεκα ὡς ἐσχάτου τέλους, ἀλλὰ τὴν γένεσιν τούτων σκοποῦντα τὸ ἴδιον σκοποῦσιν ἀγαθὸν καὶ τὴν θείαν ὁμοιότητα ὡς ἔσχατον τέλος.

Compendium SG III, 65 (*Œ* V, 156,23–25): Ἔτι, ὡς ἡ γένεσις παύεται τῆς τοῦ γεννῶντος ἐνεργείας παυσαμένης, οὕτω καὶ τὰ τῶν πραγμάτων εἴδη ἐπαύσατο ἂν τῆς θείας ἐνεργείας ἀφισταμένης· ὥστε τῇ αὐτοῦ ἐνεργείᾳ ἐν τῷ εἶναι αὐτὰ συντηρεῖ.

Compendium SG III, 65 (*Œ* V, 156,31–34): Καὶ τὰ φυσικὰ ἄρα τῇ τοῦ Θεοῦ μόνον δυνάμει· ἥτις δὴ δύναμις, εἰ τῶν κτιστῶν καὶ ὀφειλόντων ἄρχεσθαι ἀπεχώρησέ ποτε, καὶ τὰ εἴδη ἂν αὐτῶν ὁμοίως ἐπαύσατο πᾶσά τε ἂν ἡ φύσις διεσπάσθη.

Compendium SG III, 66 (*Œ* V, 157,9–12): Ἐντεῦθεν φανερὸν ὅτι πάντα τὰ δευτέρως ποιοῦντα οὐ διδόασι τὸ εἶναι εἰμὴ καθόσον εἰσὶν ὄντα ἐνεργείᾳ· ὁ δὲ Θεὸς τῇ ἑαυτοῦ προνοίᾳ

συντηρεῖ αὐτὰ ἐν τῷ εἶναι· ἐκ τῆς θείας ἄρα δυνάμεως ἐστίν, ὅταν τι αἴτιον τοῦ εἶναί τινι γίνηται.

Compendium SG III, 66 (*Œ* V, 157,19–20): Πάντα ἄρα τὰ προάγοντά τι ἕτερον εἰς τὸ εἶναι, ποιοῦσι τοῦτο καθόσον τῇ τοῦ Θεοῦ δυνάμει ποιοῦσιν.

Compendium SG III, 67 (*Œ* V, 157,37–40): Πᾶσαν τοίνυν ἐνέργειαν τῷ Θεῷ ἀποδίδοσθαι δεῖ ὡς πρώτως ποιοῦντι, ὥστε παυομένης τῆς θείας ἐπιρροίας πάντα ἂν παύσασθαι ἐνεργοῦντα. Ὡς γὰρ ἐν τῷ εἶναι συντηρεῖ αὐτὰ συνεχῶς, οὕτω καὶ τῶν ἐνεργητικῶν δυνάμεων αὐτοῖς αἴτιος ἀεὶ γίνεται.

Compendium SG III, 75 (*Œ* V, 164,5–13): Ἔτι, εἰ τῶν καθόλου ὁ Θεὸς φροντίζει, καὶ τῶν καθ' ἕκαστα ἀνάγκη φροντίζειν αὐτόν, ὧν πάντων ἀπολωλότων οὐδὲ τὰ καθόλου μένειν δύναται· ἄλλως δ' ἂν ἀτελὴς καὶ οὐ σοφὴ ἦν ἡ αὐτοῦ πρόνοια. Οὐ προνοεῖται δὲ τῶν καθ' ἕκαστα μέχρι τῆς ἐν τῷ εἶναι αὐτῶν συντηρήσεως, ἀλλὰ καὶ πάντων τῶν περὶ αὐτὰ συμβαινόντων, ἃ πρὸς τὴν αὐτῶν συντήρησιν ἢ φθοράν εἰσι τεταγμένα· οὐδὲν γὰρ δύναται συμβαίνειν περὶ τὰ μερικά τινος εἴδους, ὃ μὴ δυνατὸν ἀνάγειν κατά τινα τρόπον εἰς τὰς ἀρχὰς τοῦ εἴδους ἐκείνου. Οὕτω τοίνυν οὐ μᾶλλον ὑπόκεινται τὰ μερικὰ τῇ προνοίᾳ κατὰ τὴν ἐν τῷ εἶναι συντήρησιν ἢ κατὰ τὰ ἄλλα.

Compendium SG IV, 97 (*Œ* V, 336,29–32): Τῆς δὲ τῶν ὑποκάτω γενέσεως καὶ φθορᾶς ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν αἰτία. Πρὸς τὸ τοίνυν τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τοῖς ὑποκάτω παύσασθαι ἀνάγκη καὶ τὴν τοῦ οὐρανοῦ κίνησιν στῆναι.

Compendium SG IV, 97 (*Œ* V, 337,26–31): Ταῦτα τοίνυν κατ' οὐσίαν μενοῦσιν ἐν τῇ ἐσχάτῃ καταστάσει τοῦ κόσμου, ἃ κατά τινα τρόπον ἐπιτηδειότητα πρὸς τὸ ἀίδιον ἔχει, ἀναπληροῦντος τοῦ Θεοῦ τῇ ἑαυτοῦ δυνάμει ὧν ταῦτα κατὰ τὴν ἰδίαν δύναμιν ἀπολείπεται. Τὰ δὲ ζῷα καὶ φυτὰ καὶ τὰ μικτὰ σώματα, ἃ παντάπασίν εἰσι φθαρτὰ καὶ καθόλου καὶ κατὰ μέρη, κατ' οὐδένα τρόπον ἐν τῇ τῆς ἀφθαρσίας τότε καταστάσει διαμενοῦσιν.

Compendium ST Ia, Q. 104, A. 1 (*Œ* V, 483,21–24): Οὕτω μὲν οὖν καθ' αὐτὰ πάντα τῆς θείας συντηρήσεως δέονται. Ἐπεὶ δὲ ἔνιά εἰσιν ὑπό τινων δυνάμενα φθείρεσθαι, καὶ ταῦτα συντηρεῖ κωλύων τὸ φθαρτικόν, ὃ κατὰ συμβεβηκὸς συντηρεῖσθαι λέγεται.

Compendium ST Ia, Q. 104, A. 1 (*Œ* V, 483,28–31): Ἡ τοιαύτη δὲ τῶν ὄντων ἐν τῷ εἶναι συντήρησις ἐκ Θεοῦ οὐ διά τινος ἀεὶ νέας ἐνεργείας γίνεται, ἀλλὰ τῇ συνεχείᾳ τῆς ἐνεργείας, ᾗ ποτε τὴν ἀρχὴν δέδωκεν ἑκάστῳ τὸ εἶναι, ἥτις δὴ ἄνευ κινήσεώς ἐστι καὶ χρόνου.

Compendium ST Ia, Q. 104, A. 2 (*Œ* V, 483,34–39): Ὅτι οὐκ ἀμέσως ὁ Θεὸς συντηρεῖ πᾶσαν τὴν κτίσιν, ἀλλὰ μεσιτευόντων τινῶν κτισμάτων, οἷς ὑπουργικῶς τὸ αἰτιῶδες ἔνειμεν ὁ Θεός, ὡς προείρηται. Εἰ δὲ καὶ ἀμέσως πάντα δεδημιούργηκεν, ἀλλὰ καὶ ἀρχοειδῶς ἀμέσως συντηρεῖ, εἰ καὶ ἐν αὐτῇ τῇ δημιουργίᾳ τὴν τάξιν αὐτοῖς ἐνέθηκε ταύτην, ὥσθ' ἕτερα ἑτέρων ἠρτῆσθαι, δι' ὧν κατὰ δεύτερον λόγον συντηροῖτο ἂν ἐν τῷ εἶναι.

33–37 Ἀλλ' … λόγου

Compendium SG III, 22 (*Œ* V, 218,11–13): Ὁ δὲ ἄνθρωπος χρῆται πᾶσι πρὸς οἰκείαν ὠφέλειαν καὶ ταῖς πάντων γενέσεσι, ποῦ μὲν πρὸς τροφήν, ποῦ δὲ πρὸς ἱμάτιον.

Compendium SG III, 112 (*Œ* V, 197,3–10): Εἰ δὲ ἐν τῇ Γραφῇ τινα εὑρίσκονται τὴν πρὸς τὰ ζῷα ὠμότητα εἴργοντα [...], ἢ διὰ τὸ ἀπάγειν ὠμότητος τὴν ἀνθρωπίνην ψυχὴν εἴρηται [...] ἢ διά τινα σημασίαν, ὥσπερ ὁ Ἀπόστολος ἐξηγεῖται τὸ περὶ τοῦ μὴ φιμοῦν στόμα βοὸς ἀλοοῦντος.

Compendium SG III, 113 (*Œ* V, 197,30): …καὶ ἐν τῇ *Πρὸς Κορινθίους*· "Μὴ τῷ Θεῷ περὶ τῶν βοῶν μέλει";

Compendium ST Ia, Q. 22, A. 2 (*Œ* V, 360,3–14): Καὶ τὸ ἐν τῇ *Πρὸς Κορινθίους* λεγόμενον, ὅτι "οὐ μέλει τῷ Θεῷ περὶ τῶν βοῶν", ὃ νοητέον καὶ περὶ τῶν ἀλόγων κτισμάτων πάντων, οὐχ ὡς μὴ ὑποκειμένων τῇ θείᾳ προνοίᾳ τῶν τοιούτων ἀτόμων εἴρηται, ἀλλὰ πρὸς διαστολὴν τῆς λογικῆς κτίσεως, εἰδικῷ τινι τρόπῳ ὑποτεταγμένης τῇ θείᾳ προνοίᾳ, ὥστε λογίζεσθαί τι ταύτῃ εἰς ἁμαρτίαν ἢ κατόρθωμα τῶν διὰ τοῦ αὐτεξουσίου ἐνεργουμένων καὶ

ἀποδίδοσθαι αὐτῇ δίκην ἢ ἀμοιβήν. Εἰ δὲ καὶ ἡ ἀνθρωπίνη πρόνοια ἑαυτὴν οὐχὶ καὶ ἐπὶ τὰ ἀναγκαῖα ἐκτείνεται τὰ ἐκ τῆς φύσεως προϊόντα, ἀλλ᾽ ἡ τοῦ Θεοῦ πρόνοια, ὅς ἐστι τῆς φύσεως δημιουργὸς ὅλης, καὶ ἐπὶ ταῦτα ἐκτείνεται. Χρῆται γὰρ ὁ ἄνθρωπος μόνον τοῖς φυσικοῖς ἐν τοῖς τεχνητοῖς ἢ τοῖς ἠθικοῖς, ὁ δὲ Θεὸς καὶ ποιεῖ ταῦτα.

Compendium ST Ia, Q. 103, A. 5 (*Œ* V, 482,4–6): Καὶ ὅταν ὁ Ἀπόστολος λέγῃ "μὴ μέλειν τῷ Θεῷ περὶ τῶν βοῶν;", οὐχ ἁπλῶς τῆς θείας κυβερνήσεως ἀποκλείει τὰς βοῦς, ἀλλὰ μόνον τὸν τρόπον ἀποφάσκει, ὃς ἰδίως ἁρμόζει τῇ λογικῇ κτίσει.

4.3. 5–6 Τοῖς…σοῦ

Compendium ST Ia, Q. 103, A. 1 (*Œ* V, 497,14–16): Ὅτι οἱ ἄνθρωποι φυλάττονται ὑπὸ τῶν ἀγγέλων, ὡς ἐν *Ψαλμοῖς* λέγεται· "Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάττειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου".

6–9 καὶ^2…ἐποίησε

Compendium SG III, 71 (*Œ* V, 161,26–28): Διὸ καὶ ἐν τῷ *Ἡσαΐᾳ* λέγεται· "Ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά"· καὶ ἐν τῷ *Ἀμώς*· "Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν".

9-10 καὶ^2…9 ἡμῖν

Compendium SG III, 67 (*Œ* V, 158,1–2): Ἐντευθέν ἐστι τὸ τοῦ *Ἡσαΐου*· "Πάντα τὰ ἔργα ἡμῶν ἐνήργησας ἐν ἡμῖν, Κύριε".

Compendium SG III, 89 (*Œ* V, 175,1–3): Τὸ δ᾽ αὐτὸ καὶ ἐν τῷ *Ἡσαΐᾳ* λέγεται· "Πάντα τὰ ἡμέτερα ἔργα ἐν ἡμῖν εἰργάσω, Κύριε", ὡς οὐ μόνον τῆς τοῦ θέλειν δυνάμεως, ἀλλὰ καὶ τῆς πράξεως ἐκεῖθεν οὔσης ἡμῖν.

Compendium SG III, 148 (*Œ* V, 223,3–4): ὡς ἐν τῷ *Ἡσαΐᾳ* λέγεται· "Πάντα τὰ ἡμέτερα ἔργα εἰργάσω, Κύριε, ἐν ἡμῖν".

Compendium ST Ia, Q. 105, A. 5 (*Œ* V, 485,3–4): Ὅτι ἐνεργεῖ αὐτὸς ἐν παντὶ ἐνεργοῦντι, ὡς ἐν τῷ *Ἡσαΐᾳ* λέγεται· "Πάντα τὰ ἡμέτερα ἔργα ἐνήργησας ἐν ἡμῖν, Κύριε".

15 χωρὶς…ποιεῖν οὐδέν

Compendium SG III, 67 (*Œ* V, 158,2–3): …καὶ ἐν τῷ *Κατὰ Ἰωάννην*· "Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν".

Compendium SG III, 149 (*Œ* V, 223,37–224,1): Διὸ καὶ ἐν τῷ *Κατὰ Ἰωάννην* φησὶν ὁ Κύριος· "Οὐ δύνασθε ποιεῖν χωρὶς ἐμοῦ οὐδέν".

19–21 Ὁ…ἐξελέγησαν

Compendium ST Ia, Q. 23, A. 8 (*Œ* V, 363,34–36): Διὰ τοῦτο λέγεται ἐν τῇ πρώτῃ τοῦ *Πέτρου*· "Σπουδάσατε δι᾽ ἀγαθῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι".

26–27 Ἄρα…Θεοῦ

Compendium SG III, 149 (*Œ* V, 224,3–5): …καὶ ἐν ὀγδόῳ τῆς *Πρὸς Ῥωμαίους*· "Οὐ τοῦ θέλοντος, δηλονότι τὸ θέλειν, οὔτε τοῦ τρέχοντος τὸ τρέχειν, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ"·

30–32 καὶ^2…ἐξῆς

Compendium SG III, 150 (*Œ* V, 225,9–12): Ὅθεν καὶ ὁ Ἀπόστολος ἐν τῇ *Πρὸς Φιλιππησίους* [sic pro *Ἐφεσίους*] φησίν· "Προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν κατὰ τὴν πρόθεσιν τῆς θελήσεως αὐτοῦ, εἰς ἔπαινον τῆς δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ Υἱῷ αὐτοῦ".

Compendium SG III, 163 (*Œ* V, 238,35–37): Οὓς μὲν οὖν προδιετάξατο ὁδηγησομένους εἰς τὸ τέλος, "προορίσαι" λέγεται, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ὃς προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν κατὰ τὴν πρόθεσιν τῆς βουλήσεως αὐτοῦ".

Compendium SG III, 163 (*Œ* V, 239,3–4): …ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου".

Compendium ST Ia, Q. 23, A. 4 (*Œ* V, 362,3–4): Ὅτι ὁ Θεὸς ἐκλέγεται τοὺς εἰς σωτηρίαν προωρισμένους, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ἐξελέξατο ἡμᾶς ὁ Θεὸς πρὸ καταβολῆς τοῦ κόσμου".

32–37 ὁμοίως…δόξαν

Compendium ST Ia, Q. 23, A. 5 (*Œ* V, 362,20–25): …τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Εἰ δὲ θέλων ὁ Θεὸς δεῖξαι τὴν ὀργήν" (τουτέστι τὴν δικαίαν τιμωρίαν) "καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ, ὑπέμεινε" (τουτέστι συνεχώρησεν) "ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα δείξῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν".

5.1. 19–20 εἰλήφθω…ἀποδοκιμασίας

Compendium SG III, 163 (*Œ* V, 239,5–6): Δῆλον οὖν ὅτι προορισμὸς καὶ ἀποδοκιμασία καὶ ἐκλογὴ μέρος τι τῆς θείας προνοίας.

5.4. 8–11 αὐτὸς…ὄντων[2]

Compendium ST Ia, Q. 116, A. 1 (*Œ* V, 503,19–23): Ὅτι ἔστι τι ἡ εἱμαρμένη. Τινὲς γὰρ τὰ ἐνταῦθα ἀπὸ τύχης ἢ ταὐτομάτου γινόμενα εἰς μηδεμίαν αἰτίαν ὑψηλοτέραν ἀνῆγον, τινὲς δὲ αἰτίαν τούτων ἔθεντο τὰ οὐράνια σώματα· ἑκάτεροι δὲ φαύλως ἐδόξασαν. Τὸ δ' ἀληθές ἐστιν, ὅτι εἴς τινα καὶ ταῦτα αἰτίαν ἀνάγονται, τάττουσαν καὶ διὰ νοῦ ἐνεργουμένην, ἥ ἐστιν ὁ Θεός.

19–22 Ἅπτεται…φησίν

Compendium SG III, 75 (*Œ* V, 164,34–38): Ἐντεῦθέν ἐστιν ὃ λέγεται ἐν τῷ ἕκτῳ τοῦ *Κατὰ Ματθαῖον*· "Δύο στρουθία ἀσσαρίου πωλεῖται, καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς τὴν γῆν ἄνευ τοῦ Πατρός μου"· καὶ ἐν τῷ τῆς *Σοφίας* ὀγδόῳ· "Ἅπτεται ἐκ τοῦ ἐσχάτου μέχρι τοῦ ἐσχάτου ἰσχυρῶς", τουτέστιν ἀπὸ τῶν πρώτων κτισμάτων μέχρι καὶ τῶν ἐσχάτων.

26–27 τοῖς…Παῦλον

Compendium ST Ia, Q. 23, A. 5 (*Œ* V, 362,25–27): …καὶ ἐν τῇ *Πρὸς Τιμόθεον* δευτέρᾳ· "Ἐν τῇ μεγάλῃ δὲ οἰκίᾳ εἰσὶν οὐ μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν".

5.5. 4 πᾶσι…ἄγγελον

Compendium ST Ia, Q. 64, A. 4 (*Œ* V, 415,10–18): Τὸ γὰρ ἀνθρώπινον ἀγαθὸν καὶ διὰ τῶν ἀγγέλων τῶν ἀγαθῶν ὑπὸ τῆς θείας διοικεῖται προνοίας ἄντικρυς, ἐναγόντων μὲν εἰς τὸ ἀγαθόν, ἀφελκόντων δὲ τοῦ πονηροῦ· καὶ πλαγίως, διὰ τῶν πονηρῶν γυμναζομένων τῶν ἀνθρώπων, καὶ διὰ τῆς πρὸς τὸ ἐναντίον μάχης καλῶς κηδομένου τοῦ Θεοῦ, ἵνα μὴ διὰ τῆς ἁμαρτίας παντελῶς ἀποπέσωσι τοῦ πρὸς τὴν φυσικὴν τάξιν χρησίμου. Τῆς οὖν περὶ τὸν ἄνθρωπον τοιαύτης προνοίας μέχρι τῆς κρίσεως ἐκτεινομένης, ἕως τότε ἐπιμένει ἥ τε τῶν ἀγαθῶν ἀγγέλων διακονία καὶ ἡ διὰ τῶν πονηρῶν γυμνασία.

Compendium ST Ia, Q. 64, A. 4 (*Œ* V, 415,35–38): Περὶ δὲ τῶν ἀγαθῶν ἀγγέλων καὶ τῶν δαιμόνων, δι' ὧν ἡ περὶ τὸν ἄνθρωπον κηδεμονία πληροῦται ἐν τῇ ζωῇ ταύτῃ, εἰδέναι δεῖ ὅτι ἡ δόξα τῶν ἀγαθῶν οὐκ ἐλαττοῦται πρὸς ἡμᾶς ἐρχομένων.

Compendium ST Ia, Q. 113, A. 1 (*Œ* V, 497,14–20): Ὅτι οἱ ἄνθρωποι φυλάττονται ὑπὸ τῶν ἀγγέλων, ὡς ἐν *Ψαλμοῖς* λέγεται· "Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάττειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου". Ἐπειδὴ γὰρ ἡ τοῦ ἀνθρώπου γνῶσις καὶ διάθεσις περὶ τὰ πρακτὰ πολλαχῶς δύναται μεταβάλλειν καὶ ἀσθενεῖν περὶ τὸ ἀγαθόν, ἀναγκαῖον ἦν

ὑπὸ τῆς θείας προνοίας ἀφορισθῆναι τοῖς ἀνθρώποις ἀγγέλους πρὸς φυλακήν, δι' ὧν ἂν ὁρίζοιντο καὶ κινοῖντο πρὸς τἀγαθόν.

Compendium ST Ia, Q. 113, A. 6 (*Œ* V, 498,26–27): Ὡσαύτως δὲ ὁ ἄγγελος ὁ τὴν περὶ τὸν ἄνθρωπον τοῦ Θεοῦ πρόνοιαν ἀποπληρῶν.

6.1. 2–4 Εἰ … νοεῖται

Compendium ST Ia, Q. 49, A. 2 (*Œ* V, 389,27–31): Τὸ δὲ ἐν τῇ *Σοφίᾳ*· "Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν", νοεῖται ὡς οὐ καθ' ἑαυτὸν δηλαδὴ τὸν θάνατον βουλόμενος, εἰς δὲ τὴν τοῦ παντὸς τάξιν ἀνήκει καὶ ἡ τῆς δικαιοσύνης τάξις, ἣ ἀπαιτεῖ τὸ τοῖς ἁμαρτάνουσι δίκην ἐπάγεσθαι· καὶ οὕτως ὁ Θεός ἐστιν ἀρχὴ κακοῦ, ὅπερ ἐστὶν ἡ τιμωρία, οὐ μέντοι τοῦ κακοῦ ὅ ἐστιν ἁμαρτία.

Compendium ST Ia, Q. 118, A. 3 (*Œ* V, 508,16–20): Τὸ γὰρ τήνδε τὴν ψυχὴν ἄνευ σώματος μένειν διὰ τὴν τοῦ σώματος συμβαίνει φθοράν, ἥτις ἠκολούθησεν ἐκ τῆς ἁμαρτίας· ὅθεν οὐκ ἦν εἰκὸς ἐντεῦθεν ἄρξασθαι τὰ ἔργα τοῦ Θεοῦ· "Ὃ" γὰρ "Θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλλ' οἱ ἀσεβεῖς ταῖς χερσὶ καὶ τοῖς λόγοις ἐπεσώρευσαν αὐτήν", ὡς ἐν τῇ *Σοφίᾳ* λέγεται.

4–10 οὐ … ἀποχρῆται

Compendium ST Ia, Q. 19, A. 6 (*Œ* V, 354,36–355,17): Ὅτι ἀναγκαῖον ἀεὶ πληροῦσθαι τὴν θείαν βούλησιν. Τὴν γὰρ καθόλου πάντων τῶν ὄντων αἰτίαν ἀδύνατον μὴ τυγχάνειν τοῦ οἰκείου ἀποτελέσματος. Εἰ δέ τι κατὰ μίαν τάξιν ἀφίστασθαι δοκεῖ τῆς θείας θελήσεως, εἰς αὐτὴν καθ' ἑτέραν τάξιν ἐπανακάμπτει· ὥσπερ ὁ ἁμαρτωλὸς τὸ ἐπ' αὐτῷ τῆς θείας θελήσεως ἀφιστάμενος ἐν τῷ ἁμαρτάνειν, πάλιν ἐμπίπτει τῇ τάξει τῆς θείας θελήσεως κολαζόμενος διὰ τῆς δικαιοσύνης. Τὸ δὲ «ὃς καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι» νοεῖται ὡς ἢ θέλει τοὺς σῴζεσθαι βουλομένους· οὐ γάρ ἐστιν ἀληθές, ὅτι μηδείς ἐστιν ὃν μὴ θέλει σωθῆναι ἢ ἐκ πάσης τῶν ἀνθρώπων τάξεως, ἢ τῇ ἡγουμένῃ βουλήσει, ἀλλ' οὐ τῇ ἑπομένῃ· ὧν ἡ διάκρισις οὐ κατ' αὐτὴν τὴν θείαν βούλησιν, ἀλλὰ κατὰ τὰ θελητά. Θέλει γὰρ ὁ Θεὸς πάντα ἄνθρωπον σῴζεσθαι προηγουμένως, ἀλλ' ἑπομένως θέλει τὸν ἁμαρτωλὸν κολάζεσθαι, ὥσπερ καὶ ὁ δίκαιος δικαστὴς προηγουμένως θέλει πάντα ἄνθρωπον ζῆν, ἑπομένως δὲ τὸν φονέα ἀναρτηθῆναι. Τὸ δὲ προηγουμένως θέλειν οὐχ ἁπλῶς ἐστι θέλειν ἀλλά πη· τὸ γὰρ ἁπλῶς τι θέλειν ἐστὶν ὅταν ἐκεῖνό τις θέλῃ θεωρηθέντων πάντων τῶν μερικῶν περιστατικῶν, ἐν οἷς ἐστι τὸ ἑπομένως θέλειν. Ὅθεν ὁ δίκαιος κριτὴς ἁπλῶς θέλει τὸν φονέα ἀναρτηθῆναι, εἰ καί πῃ θέλει τοῦτον ζῆν, δηλονότι ὡς ἄνθρωπον. Καὶ οὕτω δῆλον ὡς, ὅπερ ἂν ὁ Θεὸς ἁπλῶς θέλοι γίνεται, εἰ καί τι, ὃ προηγουμένως θέλει, οὐ γίνεται.

Compendium ST Ia, Q. 64, A. 4 (*Œ* V, 415,30–35): Περὶ μὲν οὖν τῶν ἀνθρωπίνων ψυχῶν σαφές ἐστιν ἐκ τούτων καὶ πολλῶν ἄλλων λογίων ἢ εἰς τὸν οὐρανὸν τὰς ἀξίας ἀναλαμβάνεσθαι ἢ εἰς τὴν κόλασιν κατασπᾶσθαι, αἷς ὁ τόπος ἐκεῖνος ἐκ τῆς θείας ἀποδίδοται δικαιοσύνης, ἐπειδὰν τελειωθῶσι, τουτέστι τὰ σώματα ἀναλάβωσιν ἐν τῇ ἀναστάσει, καὶ τὴν τοῖς σώμασιν ὀφειλομένην δίκην ἐκ προσθήκης ἀποτίνειν μελλούσας.

Compendium ST Iα IIae, Q. 19, A. 8/10 (*Œ* VI, 25,26–29): Εἰ δὲ θέλει τὴν καταδίκην τινὸς ὁ Θεός, ἐπεὶ οὐ τῷ λόγῳ τῆς καταδίκης καὶ τοῦ θανάτου (θέλει γὰρ πάντας μᾶλλον σωθῆναι), ἀλλὰ τῷ τοῦ δικαίου, ἀρκεῖ τὸ θέλειν τὸν ἄνθρωπον τὴν θείαν δικαιοσύνην καὶ τὸ τὴν τῆς φύσεως τάξιν τηρεῖσθαι.

Compendium SG III, 142 (*Œ* V, 218,21–27): Ἐπεὶ γὰρ ἡ θεία δικαιοσύνη τοῦτο ζητεῖ, τὸ διὰ τὸ τὴν προσήκουσαν ἐν τοῖς πράγμασιν ἰσότητα τηρεῖσθαι ὑπὲρ μὲν τῶν ἁμαρτιῶν τιμωρίας, ὑπὲρ δὲ τῶν ἀρετῶν ἆθλα ἀποδίδοσθαι, ἀναγκαῖόν ἐστιν ἑπομένως, ὡς ἐν ταῖς ἐναρέτοις πράξεσι καὶ τοῖς ἄθλοις βαθμός τις εὑρίσκεται, οὕτω κἀν ταῖς τιμωρίαις ἀναλόγως τοῖς ἁμαρτήμασιν. Δεῖ γὰρ τῇ κατὰ τὴν ποιότητα τῶν ἔργων ὑπεροχῇ καὶ τὴν τῶν ἀμοιβῶν καὶ τιμωριῶν ἀνισότητα ἀνταποκρίνεσθαι.

7 ἑπομένῃ … ποιεῖ

Compendium SG II, 23 (*Œ* V, 68,31): Ὁ Θεὸς ἄρα θελήσει ποιεῖ, οὐ φυσικῇ ἀνάγκῃ.

Compendium SG II, 23 (*Œ* V, 68,37–38): Θελήσει ἄρα ἐνεργεῖ ἐν τοῖς πράγμασι καὶ οὐκ ἀνάγκῃ τῆς φύσεως.

Compendium ST Ia, Q. 32, A. 1 (*Œ* V, 371,7–9): Τῷ γὰρ λέγειν τῷ ἑαυτοῦ λόγῳ πάντα ποιῆσαι τὸν Θεὸν ἡ αἵρεσις ἐκβάλλεται τῶν τιθέντων ἐκ φυσικῆς ἀνάγκης παραγαγεῖν.

11 Κύριος … ζωογονεῖ

Compendium ST I, Q. 49, A. 2 (*Œ* V, 389,26): …ὡς ἐν τῇ πρώτῃ τῶν *Βασιλειῶν*· “Κύριος θανατοῖ καὶ ζωογονεῖ”.

15–19 Καὶ … τἀγαθόν

Compendium ST Ia, Q. 22, A. 2 (*Œ* V, 359,33–360,2): Καὶ εἰ ἐν τῷ *Ἐκκλησιαστῇ* λέγεται ὅτι “ὁ Θεὸς ἀφῆκε τὸν ἄνθρωπον ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ”, ὃ περὶ τῶν ἁμαρτωλῶν μάλιστα ἀληθές, οὐ τὸ εἶναι ἔξω τῆς θείας προνοίας τὸν ἄνθρωπον, ἀλλὰ τὸ μὴ προδιατετυπῶσθαι τούτῳ δύναμιν ἐνεργητικὴν εἰς ἓν ὡρισμένην, ὡς τὰ φυσικά, δηλοῖ. Εἰ γὰρ καὶ αὐτεξουσίως ζῇ ὁ ἄνθρωπος, ἀλλ’ ἐπεὶ ἡ τοῦ αὐτεξουσίου ἐνέργεια ὡς εἰς αἰτίαν ἀνάγεται τὸν Θεόν, ἀνάγκη τὰ ἐκ τοῦ αὐτεξουσίου γινόμενα τῇ θείᾳ ὑποτετάχθαι προνοίᾳ.

Compendium ST Ia, Q. 83, A. 1 (*Œ* V, 453,12–16): Ὅτι ὁ ἄνθρωπος ἔχει τὸ αὐτεξούσιον. Ἄλλως γὰρ μάτην ἂν ἦσαν αἱ συμβουλαὶ καὶ αἱ ἐντολαὶ καὶ τὰ κωλύματα. Καὶ ἐν τῷ *Ἐκκλησιαστῇ* λέγεται· “Ὁ Θεὸς ἐν ἀρχῇ κατέστησε τὸν ἄνθρωπον καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ”, τουτέστιν “ἐν ἐξουσίᾳ τοῦ αὐτοπροαιρέτου”, φησὶν ὁ ἐξηγητής.

Compendium ST Ia IIae, Q. 10, A. 4 (*Œ* VI, 18,18–20): …ἡ θέλησις οὐκ ἐξ ἀνάγκης κινεῖται ὑπὸ τοῦ Θεοῦ. Ἐν γὰρ τῷ πεντεκαιδεκάτῳ τοῦ *Ἐκκλησιαστοῦ* λέγεται· “ὁ Θεὸς ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἐποίησε καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ”.

Compendium SG III, 73 (*Œ* V, 162,36–37): Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ *Ἐκκλησιαστῇ*· “Ὁ Θεὸς ἐξ ἀρχῆς τὸν ἄνθρωπον ὑπεστήσατο καὶ ἀφῆκεν αὐτὸν ἐν τῇ χειρὶ τῆς βουλῆς αὐτοῦ”.

19 οὐ … τἀγαθόν

Compendium SG III, 94 (*Œ* V, 182,13–17): Οὔτε, εἰ πάντα ὑπὸ τῆς θείας ἄγονται προνοίας, οὐδέν ἐστιν ἐφ’ ἡμῖν· οὕτω γάρ εἰσιν ὑπὸ τοῦ Θεοῦ προεγνωσμένα, ὥσθ’ ὑφ’ ἡμῶν ἐλευθέρως γίνεσθαι, ἅτε τῇ θείᾳ προνοίᾳ οὐ μόνον τῶν ἀποτελεσμάτων, ἀλλὰ καὶ τῶν αἰτίων καὶ τῶν τρόπων τοῦ εἶναι ὑποκειμένων.

Compendium SG IV, 55 (*Œ* V, 302,8–11): Οὐδὲ γὰρ ἔδει τὸ αὐτεξούσιον τῶν ἀνθρώπων ἀναιρεθῆναι, δι’ οὗ δύνανται συνάπτεσθαι τῷ σαρκωθέντι Θεῷ, ἵνα μὴ κατηναγκασμένον ᾖ τὸ ἀγαθὸν τοῦ ἀνθρώπου καὶ διὰ τοῦτο ἀμοιβῆς ἐκτὸς καὶ ἐπαίνων.

19–23 Ὃν … δίκαιον

Compendium SG III, 73 (*Œ* V, 162,9–11): Ὡσαύτως οὐδὲ τῇ τῆς θελήσεως ἐλευθερίᾳ μάχεται ἡ θεία πρόνοια· παντὸς γὰρ τοῦ προνοοῦντος ἡ πρόνοια πρὸς τὴν τελειότητα τάττεται τῶν προνουμένων, ἢ ὥστε τυγχάνειν αὐτῆς, ἢ ὥστε αὔξειν, ἢ ὥστε συντηρεῖν.

Compendium SG III, 73 (*Œ* V, 162,25–29): Ἔτι, δέδεικται τὸ αὐτεξούσιον εἶναι ἐν τῷ Θεῷ, οὗ τῆς ὁμοιότητος τυγχάνει ἐν τῷ ποιεῖν τὸ ἐλευθέρως ποιοῦν· παντὸς δὲ κτίσματος τὸ ἔσχατον τέλος τὸ τῆς θείας τυχεῖν ὁμοιότητος, καὶ πάντα διὰ τῆς θείας προνοίας πρὸς τὸ ἁρμόζον ἄγονται τέλος. Οὐκ ἄρα διὰ τῆς τοῦ θεοῦ προνοίας ἡ τῆς θελήσεως ἀναιρεῖται ἐλευθερία.

Compendium SG III, 148 (*Œ* V, 222,34–223,4): Κατὰ γὰρ τὸν αὐτῶν τρόπον πάντων ἡ θεία πρόνοια προνοεῖ. Ἴδιον δὲ τοῦ ἀνθρώπου καὶ πάσης τῆς λογικῆς κτίσεως ἑκουσίως ἐνεργεῖν καὶ κύριον τῆς ἑαυτοῦ πράξεως εἶναι, ὡς δῆλον ἐκ τῶν εἰρημένων. Τὸ δ’ ἀναγκάζεσθαι τούτῳ ἐναντιοῦται. Οὐκ ἄρα ὁ Θεὸς τῇ ἑαυτοῦ βοηθείᾳ ὀρθῶς πράττειν

ἀναγκάζει τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία βοήθεια οὕτω νοεῖται δίδοσθαι τῷ ἀνθρώπῳ, ὡς καὶ ἐν ἡμῖν τὰ ἡμέτερα ἔργα ἐργαζομένη ὡς ἡ πρώτη αἰτία τὰς τῶν δευτέρων αἰτίων ἐνεργείας ἐργάζεται, καὶ τὸ πρώτως ποιοῦν τὴν τοῦ ὀργάνου ἐνέργειαν ἐνεργεῖ, ὡς ἐν τῷ *Ἡσαΐᾳ* λέγεται· "Πάντα τὰ ἡμέτερα ἔργα εἰργάσω, Κύριε, ἐν ἡμῖν".

7., 19 εἰ… εὐχάς
Compendium SG III, 95 (*Œ* V, 182,24–32): Ὅτι τὸ ἀκίνητον τῆς θείας προνοίας οὐκ ἀναιρεῖ τὸ χρήσιμον τῆς εὐχῆς (tit.). Ὡς γὰρ ἀνάγκην τοῖς προνοουμένοις οὐκ ἐπιτίθησιν, οὕτως οὐδὲ τὸ τῆς εὐχῆς χρήσιμον ἀναιρεῖ. Οὐ γὰρ τὴν εὐχὴν τούτου χάριν ἐκχέομεν πρὸς τὸν Θεόν, ὥστε τὸ τῆς προνοίας αἰώνιον μεταβάλλεσθαι (ἀδύνατον γάρ), ἀλλ' ἵνα τις παρὰ τοῦ Θεοῦ οὗ ἐφίεται τύχῃ. Ταῖς γὰρ εὐσεβέσι τῆς λογικῆς κτίσεως ἐπιθυμίαις ἁρμόζον ἐστὶ συγκατατίθεσθαι τὸν Θεόν, οὐχ ὡς τῶν ἡμετέρων ἐπιθυμιῶν τὸν ἀκίνητον κινουσῶν Θεόν, ἀλλ' ὡς ἐκ τῆς ἐκείνου προϊόντος ἀγαθότητος τοῦ τελειοῦν οἰκείως τὰ ἐπιθυμητά.

20 περὶ… γίνεσθαι
Compendium ST Ia, Q. 116, A. 1 (*Œ* V, 362,20–25): Ὅτι ἔστι τι ἡ εἱμαρμένη. Τινὲς γὰρ τὰ ἐνταῦθα ἀπὸ τύχης ἢ ταὐτομάτου γινόμενα εἰς μηδεμίαν αἰτίαν ὑψηλοτέραν ἀνῆγον, τινὲς δὲ αἰτίαν τούτων ἔθεντο τὰ οὐράνια σώματα· ἑκάτεροι δὲ φαύλως ἐδόξασαν. Τὸ δ' ἀληθές ἐστιν ὅτι εἷς τινα καὶ ταῦτα αἰτίαν ἀνάγονται, τάττουσαν καὶ διὰ νοῦ ἐνεργουμένην, ἥ ἐστιν ὁ Θεός.

14 Πτολεμαῖος
Compendium SG III, 87 (*Œ* V, 173,34–37): Καὶ Πτολεμαῖος δὲ ἐν τῇ *Τετραβίβλῳ* φησίν· "Οὐκ ὀφείλομεν νομίζειν ἀφύκτως τὰ μετέωρα προϊέναι, ὡς τὰ ἀπὸ θείας προνοίας γινόμενα καὶ ἃ μηδένα τρόπον ἔστι διαφυγεῖν καὶ τὰ κατὰ ἀλήθειαν καὶ ἐξ ἀνάγκης προϊόντα". Ἔτι τε ἐν τῷ *Γενεθλιαλογικῷ* φησιν· "Αὗται δὲ αἱ κρίσεις, ἅς σοι παραδίδωμι, μεταξύ εἰσι τοῦ τε ἀναγκαίου καὶ δυνατοῦ".

Λόγος Γ΄

2.2. 13–15 Μὴ… σεαυτῷ
Compendium SG III, 93 (*Œ* V, 179,24–28): Τινὲς δὲ πάντα τὰ ἐνταῦθα ἐξ αὐτομάτου συμβαίνοντα εἰς τὰ οὐράνια ἀνῆγον σώματα καὶ τὰς ἀνθρωπίνας αἱρέσεις, τὴν δύναμιν τῆς τῶν ἀστέρων θέσεως, ᾗ πάντα μετά τινος ἀνάγκης ὑποκεῖσθαι ἐτίθεσαν, 'εἱμαρμένην' καλοῦντες, ἥτις δόξα ἀδύνατος καὶ τῆς πίστεως ἀλλοτρία.

3.3., 22–23 οὐκ… ἀποθανοῦνται
Compendium SG IV, 50 (*Œ* V, 293,19–21): Πρῶτον μὲν γάρ, τὸ ἐν τῇ *Γενέσει* εἰρημένον περὶ τῆς ἐντολῆς καὶ τῆς ἀπειλῆς, ὅτι· "Οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγεσθε, θανάτῳ ἀποθανεῖσθε", ἤγουν ἀνάγκῃ θανάτῳ ὑποκείσεσθε, μάτην ἂν ἐλέγετο, εἰ ἐκ τῆς συστάσεως τῆς ἰδίας φύσεως τὴν τοῦ ἀποθνῄσκειν ἀνάγκην ὁ ἄνθρωπος εἶχεν· ἀλλὰ δίκη ἐστὶν ἡ ἀνάγκη αὕτη καὶ ὁ θάνατος.

3.4., 39–42 Καίτοι… φύσει
Compendium SG II, 30 (*Œ* V, 72,5–8): Εἰ δὲ καὶ πάντα τῆς τοῦ Θεοῦ θελήσεως ὡς πρώτης αἰτίας ἤρτηται, ἥτις οὐδεμίαν ἀνάγκην εἰς τὸ ἐνεργεῖν ἔχει εἰμὴ ἐξ ὑποθέσεως κατὰ τὴν αὐτοῦ πρόθεσιν, διὰ τοῦτο μέντοι τῶν πραγμάτων οὐκ ἐκβάλλεται ἡ ἀπολελυμένη ἀνάγκη.

Compendium SG III, 99 (*Œ* V, 188,24–34): Καὶ εἰ διὰ κτιστῆς τινος δυνάμεως δυνατὸν τὴν φυσικὴν τάξιν ἀπὸ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον εἰς τὸ ἐπ' ἔλαττον μεταβάλλεσθαι ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλειν, ὡς ὅταν ἕκτον δάκτυλον ἡ φύσις ἐν ἀνθρώπῳ παρὰ τὴν τάξιν

γεννᾷ, πολλῷ μᾶλλον ἡ δύναμις τῆς θείας προνοίας δύναταί τι ποιεῖν παρὰ τὴν ἐντεθεῖσαν ἐξ αὐτῆς τοῖς πράγμασι τάξιν ἄνευ τοῦ τὴν πρόνοιαν μεταβάλλειν. Δῆλον γὰρ ὅτι ἡ ἐν τοῖς πράγμασι τάξις, καθόσον ἐστὶν ἐν αὐτοῖς, οὐκ ἀεὶ ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ἰσχύει, πολλῶν παρ' αὐτὴν ἐνίοτε γινομένων ἢ ἀσθενείᾳ τῆς ποιητικῆς δυνάμεως, ἢ ἀνεπιτηδειότητι τῆς ὕλης, ἢ δι' ἄλλο τι ποιοῦν ἰσχυρότερον. Ἀλλ' οὐκ ἀσθενεῖ διὰ τοῦτο ἢ μεταβάλλει ἡ τῆς προνοίας τάξις· καὶ γὰρ καὶ τοῦτο αὐτὸ ὑπὸ τὴν θείαν ἐστὶ πρόνοιαν καὶ τὴν αὐτῆς τάξιν· ἡ δὲ θεία δύναμις καὶ φανεροῦται μᾶλλον ἐντεῦθεν. Ἐκ τούτου γὰρ φαίνεται τὸ τὴν ἐν τοῖς πράγμασι τάξιν ἐξ αὐτοῦ τοῦ Θεοῦ, οὐκ ἐκ φυσικῆς ἀνάγκης, ἀλλ' ἐλευθέρας βουλήσεως προελθεῖν.

Compendium SG III, 100 (*Œ* V, 189,22–25): Οὐδ' ἄρα παρὰ φύσιν ἐστίν, εἰ ἐν τοῖς φυσικοῖς ὁ Θεὸς ἑτέρως ἐνεργεῖ ἢ ὡς ὁ εἰωθὼς ἔχει τῆς φύσεως δρόμος. Κατὰ γὰρ Αὐγουστῖνον, "τοῦτ' ἔστιν ἑκάστῳ φυσικόν, ὃ ποιεῖ ὁ δημιουργός, παρ' οὗ πᾶς ἐστι' τρόπος καὶ ἀριθμὸς καὶ τάξις' τῆς φύσεως".

Compendium SG III, 161 (*Œ* V, 237,22–23): …ἐπεὶ καὶ παρὰ τὴν ἐντεθεῖσαν τοῖς πράγμασι τάξιν ὁ Θεὸς ἐνεργεῖν δύναται.

Compendium ST Ia, Q. 19, A. 8 (*Œ* V, 355,32–34): Διὰ τὸ τοίνυν δραστήριον τῆς θείας θελήσεως, οὐ μόνον ἅπερ θέλει ὁ Θεός, ἀλλὰ καὶ ὃν τρόπον θέλει γίνονται πάντα.

Compendium ST Ia, Q. 105, A. 6–7 (*Œ* V, 485,21–35): Ὅτι δύναται ποιεῖν τι παρὰ τὴν ἐγκειμένην τοῖς οὖσι τάξιν. Τῇ γὰρ τάξει τῶν δευτέρων αἰτίων αὐτὸς οὐχ ὑπόκειται, ἀλλὰ μᾶλλον ἡ τοιαύτη τάξις ὑπόκειται αὐτῷ, ὡς ἂν ἀπ' αὐτοῦ προϊοῦσα οὐ φυσικῇ ἀνάγκῃ ἀλλ' ἐλευθέρᾳ βουλήσει· ἠδύνατο γὰρ καὶ ἄλλην τάξιν ἐνστήσασθαι. Ὅθεν δύναται καὶ παρὰ τὴν οὐσίαν [an οὖσαν?] ποιεῖν τι, οἷον ποιεῖν τὰ τῶν δευτέρων αἰτίων ἀποτελέσματα χωρὶς αὐτῶν, ἢ προάγων ἀποτελέσματα ἐφ' ἃ ἡ δύναμις τῶν δευτέρων αἰτίων οὐκ ἐκτείνεται. Οὕτω γὰρ ὡρισμένην τάξιν τοῖς οὖσιν ἐνέθηκεν, ὥστε ἑαυτῷ φυλάττειν τὸ καὶ ἄλλως αὐτὸν ἐνίοτε ὡς κοινὴν καὶ πρώτην αἰτίαν ποιεῖν· διὸ καὶ οὐ μεταβάλλεται παρὰ τὴν ὡρισμένην τάξιν ποιῶν.

Ὅτι πάντα ὅσα παρὰ τὴν φυσικὴν τάξιν ποιεῖ 'θαύματα' λέγονται. Θαυμάζομεν γάρ, ὅταν τὰ μὲν ἀποτελέσματα ᾖ φανερά, ἡ δὲ αἰτία ἀπόκρυφος· ὡς οἱ τὴν ἔκλειψιν τοῦ ἡλίου θαυμάζοντες τῷ ὁρᾶν μὲν αὐτήν, τὴν δὲ αἰτίαν οὐκ εἰδέναι, καίτοι ἄλλων εἰδότων, οἳ διὰ τοῦτο οὐ θαυμάζουσιν, οἷά τισίν εἰσι θαύματος ἄξια, ἄλλοις μὴ ὄντα.

4., 43–45 ἐν… αὐτῷ

Compendium ST Ia, Q. 86, A. 4 (*Œ* V, 462,36–463,2): Ὅτι οὐ γινώσκει τὰ μέλλοντα ἐν ἑαυτοῖς· ὑπὸ γὰρ μόνου τοῦ Θεοῦ οὕτω γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα, τῆς αὐτοῦ νοήσεως ἐπὶ πάντα φερομένης τὸν χρόνον ὁμοῦ. Ἐν δὲ ταῖς αὐτῶν αἰτίαις ἕνια γινώσκει· καὶ τὰ μὲν ἀναγκαίως ἐξ αὐτῶν προϊόντα βεβαίῳ ἐπιστήμῃ γινώσκει, ὡς οἱ ἀστρολόγοι τὴν μέλλουσαν ἔκλειψιν, τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον στοχαστικῶς ἢ μᾶλλον καὶ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

5., 7–13 Τὰ… πάσχουσιν

Compendium SG III, 149 (*Œ* V, 224,8–11): Οὐ μέντοι διὰ τοὺς τοιούτους τῶν λόγων ἀναιρεῖται τὸ αὐτεξούσιον, ὥς τινες κακῶς ἐνόησαν, ὡς ἂν τοῦ ἀνθρώπου μὴ κυρίου τῶν ἑαυτοῦ πράξεων ὄντος καὶ τῶν ἔνδον καὶ τῶν ἔξω, ἀλλὰ δείκνυται ὡς ὑποτέτακται τῷ Θεῷ.

6.1., 4 δι ἀπειρίαν

Compendium SG II, 32 (*Œ* V, 74,4): Ἔτι, ἡ θεία ἀγαθότης, ἥτις ἐστὶ τῶν ὄντων αἰτία, ἄπειρός ἐστιν.

5–6 ἔστι…τρόπον

Compendium SG I, 2 (*Œ* V, 4,35–37): Διήκει μὲν γὰρ ἡ γνῶσις τῶν θείων ἐκ τοῦ θείου νοῦ πρὸς τὸν ἀνθρώπινον, ἀλλὰ κατὰ τὸν τρόπον τῶν ὑποδεχομένων αὐτήν.

Compendium SG I, 61 (*Œ* V, 39,32–33): Ὁ δὲ θεῖος νοῦς πάντα γινώσκει τῷ τρόπῳ τοῦ γινώσκοντος νοῦ τὸ τί ἐστι.

Compendium SG I, 66 (*Œ* V, 42,29–31): Ὁ δὲ θεῖος νοῦς γινώσκει κατὰ τὸν τρόπον τοῦ γινώσκοντος τί ἐστιν, οὐ μόνον τοὺς ὁρισμούς, ἀλλὰ καὶ τὰ ἀποφαντικά. Γινώσκει ἄρα καὶ τὰ μὴ ὄντα.

Compendium SG I, 70 (*Œ* V, 45,27–28): Ὁ γὰρ γινώσκων τὰ εἴδη τῶν γνωστῶν, κατὰ τὸν ἑαυτοῦ περιέχει τρόπον.

Compendium ST I, Q. 12, A. 3 (*Œ* V, 347,25–27): Ὅτι οὐκ αἰσθήσει ὁρᾶται ὁ Θεός· ἀσώματος γάρ. Αἰσθήσει δὲ ὑποπίπτει τὸ σῶμα, εἴπερ τὸ γινωσκόμενον δεῖ ἐν τῷ γινώσκοντι εἶναι κατὰ τὸν τοῦ γινώσκοντος τρόπον.

6–8 Ὅθεν…ἐνδεχόμενα

Compendium ST Ia, Q. 86, A. 4 (*Œ* V, 462,36–463,2): Ὅτι οὐ γινώσκει τὰ μέλλοντα ἐν ἑαυτοῖς· ὑπὸ γὰρ μόνου τοῦ Θεοῦ οὕτω γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα, τῆς αὐτοῦ νοήσεως ἐπὶ πάντα φερομένης τὸν χρόνον ὁμοῦ. Ἐν δὲ ταῖς αὐτῶν αἰτίαις ἔνια γινώσκει, καὶ τὰ μὲν ἀναγκαίως ἐξ αὐτῶν προϊόντα βεβαίῳ ἐπιστήμῃ γινώσκει, ὡς οἱ ἀστρολόγοι τὴν μέλλουσαν ἔκλειψιν, τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον στοχαστικῶς ἢ μᾶλλον καὶ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

8–12 Οὐ…ἰδιότησι

Compendium SG III, 76 (*Œ* V, 165,26–27): Ἀνάγκη τοίνυν, ὥσπερ ἀμέσως γινώσκει τὰ μερικά, οὕτω καὶ ἀμέσως τὴν τάξιν αὐτῶν ὑφιστάνειν.

Compendium SG III, 77 (*Œ* V, 166,3–13): Δυοῖν δὲ περὶ τὴν πρόνοιαν ζητουμένων, ὧν πρῶτον ἡ τάξις αὐτή, δεύτερον ἡ τῆς τάξεως ἀποπλήρωσις, καὶ τοῦ μὲν πρώτου διὰ τῆς γνωστικῆς δυνάμεως γινομένου καὶ τοῖς ὑψηλοτέροις προσήκοντος, τοῦ δὲ λοιποῦ διὰ τῆς πρακτικῆς γινομένου δυνάμεως, ἄμφω ταῦτα ἐν τῷ Θεῷ ἐσχάτως τέλεια εὑρίσκονται, ἐν ᾧ καὶ τελειοτάτη σοφία πρὸς τὸ τάττειν ἐστὶ καὶ τελειοτάτη πρὸς τὸ ποιεῖν δύναμις, καὶ διὰ τοῦτο ἀναγκαῖον αὐτὸν τῇ αὐτοῦ σοφίᾳ καὶ τὰς τῶν ἐλαχίστων τάξεις διατιθέναι· ἀποπληροῖ δὲ τὰ ἐλάχιστα διὰ τῶν ταπεινοτέρων δυνάμεων, δι’ ὧν ἐνεργεῖ, ὥσπερ ἡ καθόλου δύναμις καὶ ὑψηλοτέρα διὰ τῆς ταπεινοτέρας καὶ μερικῆς. Καὶ διὰ τοῦτο προσῆκον ἦν τὰς ταπεινοτέρας ποιητικὰς δυνάμεις ἀποπληρωτικὰς εἶναι τῆς θείας προνοίας.

Compendium ST Ia, Q. 22, A. 3 (*Œ* V, 360,15–20): Ὅτι ὁ Θεός, κατὰ μὲν τὸν λόγον τῆς εἰς τὸ τέλος τάξεως τῶν προνοουμένων, ἀμέσως πάντων προνοεῖ, κατὰ δὲ τὴν τῆς τοιαύτης τάξεως διαχείρισιν, ἣ διεξαγωγὴ καλεῖται, εἰσί τινα μέσα τῆς θείας προνοίας, διὰ τῶν ὑψηλοτέρων τῶν ταπεινοτέρων κυβερνωμένων οὐκ ἀσθενείᾳ τῆς προνοητικῆς δυνάμεως, ἀλλὰ ὑπερβολῇ ἀγαθότητος μεταδιδούσῃ καὶ τοῖς ποιήμασι τῆς αἰτιώδους ἀξίας.

14–16 Ὅθεν…ὅρον

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 361,2–5): Ὅθεν ὁ λόγος τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν ὁδηγίας τῆς λογικῆς φύσεως ‘προορισμὸς’ ὀνομάζεται (ὁρίζειν γάρ, τὸ τὸν ὅρον ἐφ’ ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι). Καὶ οὕτως ὁ προορισμὸς προνοίας μέρος ἐστίν.

16–19 Τὰ…συνεργίαις

Compendium SG III, 73 (*Œ* V, 162,28–29): …καὶ πάντα διὰ τῆς θείας προνοίας πρὸς τὸ ἁρμόζον ἄγονται τέλος.

Compendium SG III, 147 (*Œ* V, 222,2–6): Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν

ὑπερβαῖνον, εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

Compendium SG III, 148 (*Œ* V, 222,22–24): Δεῖται τοίνυν θείας βοηθείας ὁ ἄνθρωπος, ἵνα μὴ διὰ τούτων τῶν κωλυμάτων τοῦ ἐσχάτου τέλους παντελῶς ἀποπέσῃ.

Compendium SG III,155 (*Œ* V, 233,11–15): Ἡ ἄρα διαμονὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ παρὰ τοῦ Θεοῦ ἐστι, καὶ δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ διδομένης ἐπὶ τῇ καθ' ἕξιν χάριτι πρὸς τὸ τἀγαθὰ πράττειν ἄλλης χάριτος πρὸς τὸ διαμένειν, ἀλλὰ μετὰ πάσας τὰς ἀπὸ τῆς χάριτος ἕξεις τῆς θείας προνοίας ἔξωθεν κυβερνώσης τὸν ἄνθρωπον.

Compendium SG III, 157 (*Œ* V, 221,26–222,6): Δέδοται μὲν γὰρ τοῖς ἀνθρώποις φυσική τις ἐκ Θεοῦ χορηγία πρὸς τὸ τυγχάνειν τοῦ τέλους, καὶ τρόπος κυβερνήσεως ὑψηλότερος κατὰ τὴν τοῦ τέλους ἀναλογίαν, οἷον νοῦς καὶ λόγος, δι' ὧν τὴν ἀλήθειαν διακρίνειν καὶ παρακολουθεῖν δύναται· καὶ δυνάμεις αἰσθητικαὶ ἔνδοθέν τε καὶ ἔξωθεν, δι' ὧν βοηθοῖτ' ἂν πρὸς τὸ τὴν ἀλήθειαν ἐξετάζειν· καὶ ἡ τοῦ προφορικοῦ λόγου χρῆσις, ἵν' οὕτως, ἀλλήλοις βοηθῶσιν οἱ ἄνθρωποι, φανεροῦντες τὴν συνεγνωσμένην ἀλήθειαν ἑαυτοῖς καὶ πρὸς ἄλλους, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τῆς ζωῆς ἀναγκαίοις τῇ γλώττῃ χρώμενοι. Ἀλλὰ καὶ περαιτέρω τὸ ἔσχατον τοῦ ἀνθρώπου τέλος ἔν τινι τῆς ἀληθείας γνώσει συνέστηκεν τὴν φυσικὴν αὐτοῦ δύναμιν ὑπερβαίνοντι, ὥστ' αὐτὴν δηλονότι τὴν πρώτην ἀλήθειαν ἐν ἑαυτῇ δύνασθαι καθορᾶν, ὥστε καὶ ἐκ τοῦ τέλους μάλιστα τὸν τῆς ἐκ Θεοῦ κυβερνήσεως διαφορώτερον τρόπον ἐν ἀνθρώποις καταλαμβάνεσθαι. Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

6.2. 1–25 Ἡ…δυσχερείας

Compendium SG III, 163 (*Œ* V, 238,33–239,17): Ἀνάγκη δὲ τὴν προειρημένην τῶν ἀνθρώπων διάκρισιν παρὰ τοῦ Θεοῦ ἐξ ἀιδίου τετάχθαι, ὡς καὶ πάντα τὰ γινόμενα ἐκ Θεοῦ καὶ προῶπται τῇ αὐτοῦ σοφίᾳ καὶ τέτακται. Οὓς μὲν οὖν προδιετάξατο ὁδηγησομένους εἰς τὸ τέλος, 'προορίσαι' λέγεται, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ὃς προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν κατὰ τὴν πρόθεσιν τῆς βουλήσεως αὐτοῦ". Οἷς δὲ ἐξ ἀιδίου μὴ δοῦναι τὴν χάριν ταύτην προδιετάξατο, 'ἀποδοκιμάσαι' λέγεται, ὡς ἐν τῷ *Μαλαχίᾳ*· "Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα". Τῷ δὲ τῆς τοιαύτης διακρίσεως λόγῳ ἡ θεία καταλαμβάνεται ἐκλογή, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου". Δῆλον οὖν ὅτι προορισμὸς καὶ ἀποδοκιμασία καὶ ἐκλογή, μέρος τι τῆς θείας προνοίας. Οὐδ' ἐπάγουσιν ἀνάγκην. Ἡ γὰρ θεία πρόνοια, ὡς δέδεικται, τὸ ἐνδεχόμενον τῶν πραγμάτων οὐκ ἀναιρεῖ. Ὅτι δὲ τοῦ προορισμοῦ καὶ τῆς ἐκλογῆς οὐκ ἔστιν αἴτιον ἀνθρώπινά τινα ἔργα, δῆλον γένοιτ' ἂν οὐ μόνον ἐκ τοῦ τὴν χάριν τοῦ Θεοῦ, τοῦ προορισμοῦ οὖσαν ἀποτέλεσμα, ὑπὸ τῶν ἔργων μὴ προλαμβάνεσθαι ἀλλὰ καὶ πάντων ἀνθρωπίνων ἔργων αὐτὴν προηγεῖσθαι, ἀλλὰ καὶ ἐκ τοῦ τὴν θείαν θέλησιν καὶ πρόνοιαν αἰτίαν εἶναι τῶν γινομένων. Ἀδύνατον δὲ εἶναί τι αἴτιον τῆς θείας θελήσεως καὶ προνοίας, εἰ καὶ τῶν τῆς προνοίας ἀποτελεσμάτων, ὁμοίως δὲ καὶ προορισμοῦ τινός, δύναται ἑτέρα εἶναι αἰτία. "Τίς" γάρ, ὥς φησιν ὁ Ἀπόστολος, "δέδωκεν αὐτῷ πρότερον, καὶ ἀνταποδοθήσεται αὐτῷ; Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τὰ πάντα· αὐτῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν".

Compendium ST Ia, Q. 23, A. 3 (*Œ* V, 361,25–26): Ὅτι ὁ Θεὸς καί τινας ἀποδοκιμάζει, καὶ ἔστιν ἡ ἀποδοκιμασία μέρος προνοίας, ὡς καὶ ὁ προορισμός.

1–2 ὁ…ὁρισμός

Compendium SG III, 3 (*Œ* V, 117,35–36): Πᾶν γὰρ τὸ ποιοῦν εἰς ὡρισμένον τι τείνει καὶ οἰκεῖον αὐτῷ. Τὸ δὲ οἰκεῖον τινὶ καὶ ἀγαθόν ἐστιν αὐτῷ. Ποιεῖ ἄρα τοῦ ἀγαθοῦ χάριν.

Compendium SG III, 22 (*Œ* V, 126,23–24) (titulus): Πῶς διαφόρως τὰ πράγματα εἰς τὰ οἰκεῖα τάττονται τέλη.

25-26 Χωρὶς… οὐδέν

Compendium SG III, 67 (*Œ* V, 158,2–3): …καὶ ἐν τῷ *Κατὰ Ἰωάννην*· "Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν".

Compendium SG III, 149 (*Œ* V, 223,37–224,1): Διὸ καὶ ἐν τῷ *Κατὰ Ἰωάννην* φησὶν ὁ Κύριος· "Οὐ δύνασθε ποιεῖν χωρὶς ἐμοῦ οὐδέν".

30–50 Οὐκ… πνεύματος

Compendium ST I, Q. 23, A. 3 (*Œ* V, 361,30–33): Ἔστι δὲ ὁ μὲν προορισμὸς αἴτιος σωτηρίας ἐν τοῖς προωρισμένοις, ὡς καὶ τῆς μελλούσης δόξης καὶ τῆς ἐνταῦθα χάριτος, ἡ δὲ ἀποδοκιμασία τῆς μὲν ἁμαρτίας ἐνταῦθα οὐκ αἰτία, τοῦ δὲ ἀποδοθησομένου αὐτῇ, ὅτι ἡ ἁμαρτία πρόεισιν ἐκ τοῦ αὐτεξουσίου τοῦ ἀποδεδοκιμασμένου.

Compendium ST I, Q. 23 A. 5 (*Œ* V, 362,7–11): Ὅτι τὰ ἀνθρώπινα ἔργα οὐκ εἰσὶν αἴτια τοῦ προορισμοῦ ἢ τῆς ἀποδοκιμασίας ἢ τῆς ἐκλογῆς. [...] Ὥσπερ δὲ σῴζει, οὕτω καὶ σωθῆναι προώρισεν. Οὐκ ἄρα ἡ τῶν ἔργων πρόγνωσις αἰτία ἢ λόγος τοῦ προορισμοῦ.

Compendium ST I, Q. 23, A. 7 (*Œ* V, 363,14–18): Ὅτι ὥρισται ὁ τῶν προωρισμένων ἀριθμὸς οὐκ εἰδικῶς μόνον, ἀλλὰ καὶ ὑλικῶς, καὶ οὐ μόνον τῷ τῆς γνώσεως τρόπῳ, ἀλλὰ καί τινος ἀρχοειδοῦς προορισμοῦ. Οὐχ οὕτω μέντοι παντάπασι καὶ ἐπὶ τῶν ἐγκαταλελειμμένων ἐστίν· οὗτοι γὰρ εἰς τὸ τῶν ἐκλεκτῶν ἀγαθὸν δοκοῦσιν ὑπὸ τοῦ Θεοῦ προδιατετάχθαι, "οἷς πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν".

42–44 καθὼς… καθήκοντα

Compendium SG III, 162 (*Œ* V, 238,19–20): …καὶ ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν τοῦ ποιεῖν τὰ μὴ καθήκοντα".

6.3., 1–4 Εἰ… γίνεσθαι

Compendium ST Ia, Q. 86, A. 4 (*Œ* V, 462,36–463,2): Ὅτι οὐ γινώσκει τὰ μέλλοντα ἐν ἑαυτοῖς· ὑπὸ γὰρ μόνου τοῦ Θεοῦ οὕτω γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα, τῆς αὐτοῦ νοήσεως ἐπὶ πάντα φερομένης τὸν χρόνον ὁμοῦ. Ἐν δὲ ταῖς αὐτῶν αἰτίαις ἕνια γινώσκει· καὶ τὰ μὲν ἀναγκαίως ἐξ αὐτῶν προϊόντα βεβαίῳ ἐπιστήμῃ γινώσκει, ὡς οἱ ἀστρολόγοι τὴν μέλλουσαν ἔκλειψιν, τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον στοχαστικῶς ἢ μᾶλλον καὶ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

Compendium SG III, 94 (*Œ* V, 182,8–17): Ἔστι γὰρ ἡ θεία πρόνοια αἰτία καθ' αὑτὴν τοῦ τὸ μὲν ἐνδεχομένως προελθεῖν, τὸ δὲ ἀκυρωθῆναι μὴ δύνασθαι. Οὔτε ἀληθές ἐστι τὸ συνημμένον τοῦτο· 'εἰ ὁ Θεὸς τουτὶ τὸ μέλλον προῄδει, τοῦτ' ἔσται'· ἀλλ' ὅτι οὕτως ἔσται, ὡς ὁ Θεὸς προῄδει, τοῦτ' εἶναι μέλλον. Προῄδει δὲ τοῦτ' εἶναι μέλλον ἐνδεχομένως. Ἕπεται τοίνυν ἀψευδῶς ὡς ἔσται, ἐνδεχομένως δὲ καὶ οὐκ ἐξ ἀνάγκης. Οὔτε, εἰ πάντα ὑπὸ τῆς θείας ἄγονται προνοίας, οὐδέν ἐστιν ἐφ' ἡμῖν· οὕτω γάρ εἰσιν ὑπὸ τοῦ Θεοῦ προεγνωσμένα, ὥσθ' ὑφ' ἡμῶν ἐλευθέρως γίνεσθαι, ἅτε τῇ θείᾳ προνοίᾳ οὐ μόνον τῶν ἀποτελεσμάτων, ἀλλὰ καὶ τῶν αἰτίων καὶ τῶν τρόπων τοῦ εἶναι ὑποκειμένων.

7-8 συνεργεῖ… προελομένοις

Compendium ST Ia, Q. 23, A. 7 (*Œ* V, 363,14–18): Ὅτι ὥρισται ὁ τῶν προωρισμένων ἀριθμὸς οὐκ εἰδικῶς μόνον, ἀλλὰ καὶ ὑλικῶς, καὶ οὐ μόνον τῷ τῆς γνώσεως τρόπῳ, ἀλλὰ καί τινος ἀρχοειδοῦς προορισμοῦ. Οὐχ οὕτω μέντοι παντάπασι καὶ ἐπὶ τῶν ἐγκαταλελειμμένων ἐστίν· οὗτοι γὰρ εἰς τὸ τῶν ἐκλεκτῶν ἀγαθὸν δοκοῦσιν ὑπὸ τοῦ Θεοῦ προδιατετάχθαι, "οἷς πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν".

15 ὑπωπιάσει… δουλαγωγήσει

Compendium SG IV, 70 (*Œ* V, 317,28–30): Καὶ αὐτὸς ὁ Ἀπόστολός φησι περὶ ἑαυτοῦ· "Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγαγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι".

7., 17 Αὐγουστῖνος

Aug., *sent.* 379 (134,1–9): Οὐδένα πρὸς τὴν ἁμαρτίαν ὁ Θεὸς ἀναγκάζει, προγινώσκει μέντοι τοὺς ἁμαρτησομένους ἰδίᾳ θελήσει. Διὰ τί τοίνυν ἃ προειδὼς οὐκ ἀναγκάζει, ταῦτα δίκαιος ὢν οὐ κολάσει; Ὥσπερ γὰρ ἡ τῶν πραγμάτων μνήμη οὐκ ἀναγκάζει γίνεσθαι τὰ παρελθόντα, οὕτως οὐδ' ἡ τοῦ Θεοῦ πρόγνωσις ἀναγκάζει γενήσεσθαι τὰ μέλλοντα. Καὶ ὥσπερ ὁ ἄνθρωπός τινων μὲν ὧν ποιεῖ μέμνηται, οὐ μὴν ποιεῖ πάντα ὧν μέμνηται, οὕτω καὶ ὁ Θεὸς πάντα μὲν ὧν ἐστι δημιουργὸς προγινώσκει, οὐ μὴν πάντων ἃ προεῖδεν, ἐστὶ καὶ δημιουργός· ὧν δ' οὐκ ἔστιν αἴτιος πονηρός, τούτων δίκαιός ἐστιν ἐκδικητής.

23–24 ἰδίως… ἀνήκει

ST IIa IIae, Q. 1, A. 8 Resp. (*Par. Gr.* 1237, 5v/8v, 23–27): Ἔτι, ὥσπερ ἀναγκαῖόν ἐστιν ἐν τῇ πίστει πιστεύειν τὸν Θεὸν παντοκράτορα, οὕτω καὶ τὸ πιστεύειν αὐτὸν πάντα ἐπίστασθαι καὶ πάντα προνοεῖσθαι. Συνέβη δὲ καὶ περὶ ἑκάτερόν τινας πλανηθῆναι. Ἔδει ἄρα ἐν τοῖς τῆς πίστεως ἄρθροις μνήμην γενέσθαι τῆς θείας σοφίας καὶ τῆς θείας προνοίας, ὥσπερ καὶ τοῦ πάντων κρατεῖν.

ST IIa IIae, Q. 1, A. 8 Resp. (*Par. Gr.* 1237, 6r/9r, 24–28)**:** Πρὸς τὸ δεύτερον· αὐτὸ τὸ τῆς Θεότητος ὄνομα πόνοιαν τινὰ σημαίνει, ὡς εἴρηται ἐν τῷ *Πρώτῳ* βιβλίῳ. Ἡ δὲ δύναμις ἐν τοῖς ἔχουσι νοῦν θελήσει μόνῃ καὶ γνώσει ἐνεργεῖ. Καὶ διὰ τοῦτο τὸ παντοκρατορικὸν τοῦ Θεοῦ ὁμοῦ περιέχει, τρόπον τινά, τὴν γνῶσιν καὶ τὴν πρόνοιαν πάντων. Οὐ γὰρ ἂν ἠδύνατο ποιεῖν ὅπερ ἐβούλετο ἐν τοῖς ὑποκάτῳ τούτοις, εἰ μὴ ταῦτα καὶ ἐγίνωσκε καὶ τούτων προενοεῖτο.

Λόγος Δ΄

2., 21 θανατοῖ… ζωογονεῖ

Compendium Iae, Q. 49, A. 2 (*Œ* V, 389,26): …ὡς ἐν τῇ πρώτῃ τῶν *Βασιλειῶν*· "Κύριος θανατοῖ καὶ ζωογονεῖ".

3.2., 10–12 οὐ… αὐτά

Compendium ST Ia, Q. 86, A. 4 (*Œ* V, 462,36–463,2): Ὅτι οὐ γινώσκει τὰ μέλλοντα ἐν ἑαυτοῖς· ὑπὸ γὰρ μόνου τοῦ Θεοῦ οὕτω γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα, τῆς αὐτοῦ νοήσεως ἐπὶ πάντα φερομένης τὸν χρόνον ὁμοῦ. Ἐν δὲ ταῖς αὐτῶν αἰτίαις ἔνια γινώσκει, καὶ τὰ μὲν ἀναγκαίως ἐξ αὐτῶν προϊόντα βεβαίῳ ἐπιστήμῃ γινώσκει, ὡς οἱ ἀστρολόγοι τὴν μέλλουσαν ἔκλειψιν, τὰ δὲ ὡς ἐπὶ τὸ πλεῖστον στοχαστικῶς ἢ μᾶλλον καὶ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

Compendium SG III, 94 (*Œ* V, 182,8–17): Ἔστι γὰρ ἡ θεία πρόνοια αἰτία καθ' αὑτὴν τοῦ τὸ μὲν ἐνδεχομένως προελθεῖν, τὸ δὲ ἀκυρωθῆναι μὴ δύνασθαι. Οὔτε ἀληθές ἐστι τὸ συνημμένον τοῦτο· 'εἰ ὁ Θεὸς τουτὶ τὸ μέλλον προῄδει, τοῦτ' ἔσται', ἀλλ' ὅτι οὕτως ἔσται, ὡς ὁ Θεὸς προῄδει, τοῦτ' εἶναι μέλλον. Προῄδει δὲ τοῦτ' εἶναι μέλλον ἐνδεχομένως. Ἕπεται τοίνυν ἀψευδῶς ὡς ἔσται, ἐνδεχομένως δὲ καὶ οὐκ ἐξ ἀνάγκης. Οὔτε, εἰ πάντα ὑπὸ τῆς θείας ἄγονται προνοίας, οὐδέν ἐστιν ἐφ' ἡμῖν· οὕτω γάρ εἰσιν ὑπὸ τοῦ Θεοῦ προεγνωσμένα, ὥσθ' ὑφ' ἡμῶν ἐλευθέρως γίνεσθαι, ἅτε τῇ θείᾳ προνοίᾳ οὐ μόνον τῶν ἀποτελεσμάτων, ἀλλὰ καὶ τῶν αἰτίων καὶ τῶν τρόπων τοῦ εἶναι ὑποκειμένων.

4.2. 1–8 Ὧν… λόγων

Compendium SG III, 147 (*Œ* V, 221,26–222,28): Δέδοται μὲν γὰρ τοῖς ἀνθρώποις φυσική τις ἐκ Θεοῦ χορηγία πρὸς τὸ τυγχάνειν τοῦ τέλους, καὶ τρόπος κυβερνήσεως ὑψηλότερος κατὰ τὴν τοῦ τέλους ἀναλογίαν, οἷον νοῦς καὶ λόγος, δι' ὧν τὴν ἀλήθειαν διακρίνειν καὶ παρακολουθεῖν δύναται· καὶ δυνάμεις αἰσθητικαὶ ἔνδοθέν τε καὶ ἔξωθεν, δι' ὧν βοηθοῖτ' ἂν πρὸς τὸ τὴν ἀλήθειαν ἐξετάζειν· καὶ ἡ τοῦ προφορικοῦ λόγου χρῆσις, ἵν' οὕτως ἀλλήλοις βοηθῶσιν οἱ ἄνθρωποι, φανεροῦντες τὴν συνεγνωσμένην ἀλήθειαν ἑαυτοῖς καὶ πρὸς ἄλλους, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τῆς ζωῆς ἀναγκαίοις τῇ γλώττῃ χρώμενοι. Ἀλλὰ καὶ περαιτέρω τὸ ἔσχατον τοῦ ἀνθρώπου τέλος ἔν τινι τῆς ἀληθείας γνώσει συνέστηκεν τὴν φυσικὴν αὐτοῦ δύναμιν ὑπερβαίνοντι, ὥστ' αὐτὴν δηλονότι τὴν πρώτην ἀλήθειαν ἐν ἑαυτῇ δύνασθαι καθορᾶν, ὥστε καὶ ἐκ τοῦ τέλους μάλιστα τὸν τῆς ἐκ Θεοῦ κυβερνήσεως διαφορώτερον τρόπον ἐν ἀνθρώποις καταλαμβάνεσθαι. Τὰ γὰρ ἄλλα κτίσματα, μὴ δυνάμενα πρός τι τέλος ἀφικέσθαι τὴν φυσικὴν αὐτῶν δύναμιν ὑπερβαῖνον, καὶ τῆς προνοίας ἀναλογούσης ἀπολαύει τῷ τέλει. Τεταγμένος τοίνυν ὁ ἄνθρωπος πρὸς τέλος τὴν αὐτοῦ δύναμιν ὑπερβαῖνον εἰκότως ὑπερφυοῦς τινος βοηθείας δεῖται θεόθεν χορηγουμένης, δι' ἧς ἂν τείνοι πρὸς τὸ τέλος.

Compendium SG III, 148 (*Œ* V, 222,22–24): Δεῖται τοίνυν θείας βοηθείας ὁ ἄνθρωπος, ἵνα μὴ διὰ τούτων τῶν κωλυμάτων τοῦ ἐσχάτου τέλους παντελῶς ἀποπέσῃ.

Compendium SG III, 155 (*Œ* V, 233,11–15): Ἡ ἄρα διαμονὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀγαθῷ παρὰ τοῦ Θεοῦ ἐστι, καὶ δεῖται τῆς ἐκ τῆς θείας χάριτος βοηθείας πρὸς τὸ μέχρι τέλους ἐν τῷ ἀγαθῷ διαμένειν, οὐ διδομένης ἐπὶ τῇ καθ' ἕξιν χάριτι πρὸς τὸ τἀγαθὰ πράττειν ἄλλης χάριτος πρὸς τὸ διαμένειν, ἀλλὰ μετὰ πάσας τὰς ἀπὸ τῆς χάριτος ἕξεις τῆς θείας προνοίας ἔξωθεν κυβερνώσης τὸν ἄνθρωπον.

4.3. 1–4 Γενικὸν … προμήθεια

Compendium SG III, 64 (*Œ* V, 156,4–7): Ὁ Θεὸς ἄρα τῇ προνοίᾳ τῆς ἑαυτοῦ σοφίας κυβέρνησιν καὶ διοίκησιν τοῖς πράγμασι χορηγεῖ, δι' ἧς αὐτὰ πρὸς τὸ ἔσχατον κατευθύνει τέλος, ὅπερ ἐστὶν αὐτός, ὁ καὶ ταῦτα πεποιηκώς.

Compendium ST Ia, Q. 23, A. 2 (*Œ* V, 361,20–24): Ὅτι ὁ προορισμὸς οὐκ ἔστι τι ἐν τοῖς προωρισμένοις, ἀλλ' ἐν τῷ προορίζοντι· ὃ μὲν γάρ, μέρος προνοίας, ἡ δέ, ὡς ἔστι λόγος ἐν τῷ τοῦ προνοοῦντος λογισμῷ εἴρηται. Ἀλλ' ἡ διαχείρισις τῆς προνοίας, ἣ καὶ 'κυβέρνησις' λέγεται, παθητικῶς μὲν ἔστιν ἐν τοῖς κυβερνωμένοις, ἐνεργητικῶς δὲ ἐν τῷ κυβερνῶντι.

4–8 Ἐπεὶ … καλεῖται

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,34–361,5): Ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη, ἧς δὴ πομπῆς ὁ λόγος ἐν αὐτῷ προϋφίσταται, ὡς καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὅ φαμεν 'πρόνοιαν'. Ὁ δὲ τοῦ ἐσομένου λόγος, ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων, προϋπόστασίς τίς ἐστιν αὐτοῦ τοῦ πράγματος· ὅθεν ὁ λόγος τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν ὁδηγίας τῆς λογικῆς φύσεως προορισμὸς ὀνομάζεται· ὁρίζειν γάρ, τὸ τὸν ὅρον ἐφ' ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι. Καὶ οὕτως ὁ προορισμὸς προνοίας μέρος ἐστίν.

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 361,12–15): Τὰ δὲ ἄλλα κτίσματα, ὡς μὴ δεκτικὰ τέλους τοιούτου τὴν εὐπορίαν καὶ τὸν λόγον τῆς κτιστῆς φύσεως ὑπερβαίνοντος, οὐ κυρίως λέγονται 'προωρίσθαι', καταχρηστικῶς δέ, τῇ πρὸς τὸ ἐφικτὸν καὶ οἰκεῖον τέλος παραθέσει, ὅτι καὶ αὐτὰ εἰς αὐτὸ τῇ θείᾳ προνοίᾳ τάττονται.

8.13 Τῶν … χορηγίας

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,28–33): Πάντα γὰρ τῇ θείᾳ προνοίᾳ ὑπόκεινται. Τῆς δὲ προνοίας τὸ εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται. Εἰς ὃ δὲ τάττονται τέλος ὑπὸ Θεοῦ τὰ ὄντα διττόν, ἓν μὲν ὑπερφυές, ἡ αἰώνιος ζωή, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, ἓν δὲ τὸ τῇ φύσει οἰκεῖον, καὶ οὗ τὰ κτιστὰ δύνανται ἅπτεσθαι τῇ οἰκείᾳ δυνάμει.

Compendium SG III, 25 (*Œ* V, 131,33–34): Δῆλον δὲ τοῦτο καὶ ἐντεῦθεν, ὅτι ὁ ἀνθρώπινος νοῦς μᾶλλον ἐπιθυμεῖ καὶ ἥδεται τῇ γνώσει τῶν θείων.

Compendium SG III, 25 (*Œ* V, 132,6–7): Ἡ θεία ἄρα γνῶσις ἔσχατον τέλος τοῦ ἀνθρώπου καὶ πάσης νοερᾶς οὐσίας, ὅπερ ‘εὐδαιμονία’ καὶ ‘μακαριότης’ ὀνομάζεται.

Compendium SG III, 25 (*Œ* V, 132,9–12): …καὶ τὸ ἐν τῷ *Ἰωάννῃ*· “Αὕτη δε ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν”, καὶ Ἀριστοτέλης ἐν ἐσχάτῳ τῶν *Ἠθικῶν* τὴν ἐσχάτην τοῦ ἀνθρώπου εὐδαιμονίαν θεωρητικὴν εἶναί φησι κατὰ τὴν θεωρίαν τοῦ ἀρίστου θεωρητοῦ.

Compendium SG III, 26 (*Œ* V, 133,5–8): Πολλῷ τοίνυν ἄρα μᾶλλον οὐδ’ ἑτέρα τις ἐνέργεια θελήσεως ἡ εὐδαιμονία ἐστίν, ἀλλ’ ἐν τῷ γινώσκειν τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία· οὐσιωδῶς γὰρ μακαριότης τοῦ ἀνθρώπου ἐστὶν ἡ ἐνέργεια, δι’ ἧς φθάνει πρὸς τὸν Θεόν.

Compendium SG III, 52 (*Œ* V, 146,34–38): Ἐντεῦθέν ἐστι τὸ ἐν τῇ *Πρὸς Ῥωμαίους*· “Ἡ χάρις τοῦ Θεοῦ ζωὴ αἰώνιος”, ὅτι πρὸς τὴν θείαν μακαριότητα, ἥτις καὶ ‘ζωὴ αἰώνιος’ λέγεται, ἐν τῇ θείᾳ θεωρίᾳ συνισταμένη, μόνον τῇ τοῦ Θεοῦ χάριτι φθάνομεν, διότι ἡ θεία θεωρία πᾶσαν κτιστὴν εὐπορίαν ὑπερβαίνει, καὶ πρὸς ταύτην ἀδύνατον ἐλθεῖν, εἰ μὴ διὰ τῆς θείας δωρεᾶς.

13–17 Ἡ…ἔχουσι

Compendium ST Ia, Q. 64, A. 4 (*Œ* V, 415,30–35): Περὶ μὲν οὖν τῶν ἀνθρωπίνων ψυχῶν σαφές ἐστιν ἐκ τούτων καὶ πολλῶν ἄλλων λογίων ἢ εἰς τὸν οὐρανὸν τὰς ἀξίας ἀναλαμβάνεσθαι ἢ εἰς τὴν κόλασιν κατασπᾶσθαι, αἷς ὁ τόπος ἐκεῖνος ἐκ τῆς θείας ἀποδίδοται δικαιοσύνης, ἐπειδὰν τελειωθῶσι, τουτέστι τὰ σώματα ἀναλάβωσιν ἐν τῇ ἀναστάσει, καὶ τὴν τοῖς σώμασιν ὀφειλομένην δίκην ἐκ προσθήκης ἀποτίνειν μελλούσας.

Compendium ST Ia IIae, Q. 19, A. 8/10 (*Œ* VI, 25,26–29): Εἰ δὲ θέλει τὴν καταδίκην τινὸς ὁ Θεός, ἐπεὶ οὐ τῷ λόγῳ τῆς καταδίκης καὶ τοῦ θανάτου (θέλει γὰρ πάντας μᾶλλον σωθῆναι), ἀλλὰ τῷ τοῦ δικαίου, ἀρκεῖ τὸ θέλειν τὸν ἄνθρωπον τὴν θείαν δικαιοσύνην καὶ τὸ τὴν τῆς φύσεως τάξιν τηρεῖσθαι.

17–24 Διπλῆς…ἀποδεδοκιμασμένοι

Compendium ST Ia, Q. 23, A. 3 (*Œ* V, 361,25–33): Ὅτι ὁ Θεὸς καί τινας ἀποδοκιμάζει, καὶ ἔστιν ἡ ἀποδοκιμασία μέρος προνοίας, ὡς καὶ ὁ προορισμός. Ὥσπερ γὰρ ὁ προορισμὸς περιέχει πρόθεσιν τοῦ δοῦναι χάριν καὶ δόξαν, οὕτω καὶ ἡ ἀποδοκιμασία θέλησιν περιέχει τοῦ συγχωρεῖν εἰς ἁμαρτίαν ἐμπίπτειν τινὰ καὶ δίκην κατακρίσεως ἐπιφέρειν ἀντὶ τῆς ἁμαρτίας. Ἔστι δὲ ὁ μὲν προορισμὸς αἴτιος σωτηρίας ἐν τοῖς προωρισμένοις, ὡς καὶ τῆς μελλούσης δόξης καὶ τῆς ἐνταῦθα χάριτος, ἡ δὲ ἀποδοκιμασία τῆς μὲν ἁμαρτίας ἐνταῦθα οὐκ αἰτία, τοῦ δὲ ἀποδοθησομένου αὐτῇ, ὅτι ἡ ἁμαρτία πρόεισιν ἐκ τοῦ αὐτεξουσίου τοῦ ἀποδεδοκιμασμένου.

24–32 Οἱ…ῥάβδῳ

Compendium ST Ia, Q. 23, A. 7 (*Œ* V, 363,14–18): Ὅτι ὥρισται ὁ τῶν προωρισμένων ἀριθμὸς οὐκ εἰδικῶς μόνον, ἀλλὰ καὶ ὑλικῶς, καὶ οὐ μόνον τῷ τῆς γνώσεως τρόπῳ, ἀλλὰ καί τινος ἀρχοειδοῦς προορισμοῦ. Οὐχ οὕτω μέντοι παντάπασι καὶ ἐπὶ τῶν ἐγκαταλελειμμένων ἐστίν· οὗτοι γὰρ εἰς τὸ τῶν ἐκλεκτῶν ἀγαθὸν δοκοῦσιν ὑπὸ τοῦ Θεοῦ προδιατετάχθαι, οἷς “πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν”.

5.1., 20-22 Οὐ…τελευτῆς

Compendium SG III, 78 (*Œ* V, 166,32–167,1): Ἐπεὶ δὲ τῇ θείᾳ προνοίᾳ προσήκει τὸ σύμφωνον τὴν ἐν τοῖς πράγμασι σῴζεσθαι τάξιν, τάξις δέ ἐστι τὸ ἀπὸ τῶν ἄκρων μέχρι τῶν ἐσχάτων ἀναλόγως κατιέναι, ἀνάγκη τὴν θείαν πρόνοιαν κατά τινα ἀναλογίαν καὶ μέχρι τῶν

ἐσχάτων προϊέναι πραγμάτων. Αὕτη δέ ἐστιν ἡ τάξις ἵν', ὥσπερ ὑπὸ τὸν Θεόν εἰσι τὰ ἀκρότατα τῶν κτισμάτων καὶ ὑπ' αὐτοῦ διοικοῦνται, οὕτω καὶ τὰ ὑποκάτω ὑπὸ τὰ ὑπερέχοντα κτίσματα ᾖσιν καὶ ἄρχωνται ὑπ' ἐκείνων. Τῶν δὲ κτισμάτων πάντων ἀνώτερα εἰσὶ τὰ λογικά, ὡς ἐκ τῶν εἰρημένων φανερόν.

27–31 Δεῖ…ἀπότευξιν

Compendium SG III, 140 (*Œ* V, 217,12–14): Ἔτι, οἱ διὰ τῆς θείας χωροῦντες τάξεως τοῦ τέλους τυγχάνουσιν, ὅπερ ἀμοιβῆς ἔχει λόγον, οἱ δὲ τῆς τάξεως ἀποχωροῦντες τοῦ τέλους τοῦ ἀγαθοῦ ἀποκλείονται διὰ τῆς ἁμαρτίας, ὅ ἐστι τὸ κολάζεσθαι.

5.2., 10–11 ἐξελέξατο…υἱοθεσίαν

Compendium SG III, 150 (*Œ* V, 225,9–12): Ὅθεν καὶ ὁ Ἀπόστολος ἐν τῇ *πρὸς Φιλιππησίους* [sic pro *Ἐφεσίους*] φησίν· "Προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν κατὰ τὴν πρόθεσιν τῆς θελήσεως αὐτοῦ, εἰς ἔπαινον τῆς δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ Υἱῷ αὐτοῦ" (Eph. 1,5).

Compendium SG III, 163 (*Œ* V, 238,35–37): Οὓς μὲν οὖν προδιετάξατο ὁδηγησομένους εἰς τὸ τέλος, προορίσαι λέγεται, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ὃς προώρισεν ἡμᾶς εἰς υἱοθεσίαν, κατὰ τὴν πρόθεσιν τῆς βουλήσεως αὐτοῦ".

Compendium SG III, 163 (*Œ* V, 239,3–4): ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου" (Eph. 1,4).

Compendium ST Ia, Q. 23, A. 4 (*Œ* V, 362,3–4): Ὅτι ὁ Θεὸς ἐκλέγεται τοὺς εἰς σωτηρίαν προωρισμένους, ὡς ἐν τῇ *Πρὸς Ἐφεσίους*· "Ἐξελέξατο ἡμᾶς ὁ Θεὸς πρὸ καταβολῆς τοῦ κόσμου".

14–16 Εἰ…ἐξῆς

Compendium SG III, 161 (*Œ* V, 237,32–34): Ἐντεῦθέν ἐστι τὸ ἀποστολικὸν ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν;".

Compendium ST Ia, Q. 23, A. 5 (*Œ* V, 362,20–25): …τοῦ Ἀποστόλου λέγοντος ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Εἰ δὲ θέλων ὁ Θεὸς δεῖξαι τὴν ὀργήν" (τουτέστι τὴν δικαίαν τιμωρίαν) "καὶ γνωρίσαι τὴν δύναμιν αὐτοῦ, ὑπέμεινε" (τουτέστι συνεχώρησεν) "ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα δείξῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν".

18–20 σκεύη…ἡτοιμασμένα

Compendium Iae, Q. 23, A. 5 (*Œ* V, 362,25–27): …καὶ ἐν τῇ *Πρὸς Τιμόθεον δευτέρᾳ*· "Ἐν τῇ μεγάλῃ δὲ οἰκίᾳ εἰσὶν οὐ μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν".

5.3., 24–28 Δόξα…λήψεται

Compendium ST Ia IIae, Q. 114, A. 5 (*Œ* VI, 150,15–18): Ὁ γὰρ τῆς χάριτος λόγος ἐναντίος ἐστὶ τῷ μισθῷ τῶν ἔργων, κατὰ τὸ τέταρτον τῆς *Πρὸς Ῥωμαίους*· "Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατ' ὀφειλήν"· ἀλλ' ἐκεῖνο ὡς μισθὸν λαμβάνει ὁ ἄνθρωπος, ὃ λογίζεται ὥσπερ τις μισθὸς τοῦ ἔργου ἐκείνου.

6.1. 1–9 Τὸν…δουλευόντων

Compendium SG III, 24 (*Œ* V, 131,8–13): Ὅθεν οὐδ' ἄτοπον εἰ αἱ κινήσεις τῶν οὐρανίων σωμάτων καὶ αἱ ἐνέργειαι τῶν κινούντων αὐτὰς λέγοιντο εἶναι ἀμηγέπη τῶν γινομένων καὶ φθειρομένων σωμάτων ἕνεκα, ἅπερ ἐκείνων εἰσὶν ἀτιμότερα. Οὐ γάρ εἰσιν αὐτῶν ἕνεκα ὡς

ἐσχάτου τέλους, ἀλλὰ τὴν γένεσιν τούτων σκοποῦντα, τὸ ἴδιον σκοποῦσιν ἀγαθὸν καὶ τὴν θείαν ὁμοιότητα ὡς ἔσχατον τέλος.

Compendium SG III, 82 (*Œ* V, 170,16–19): Τὰ δὲ οὐράνια σώματα, ἀνώτερα τῶν ὑποκάτω σωμάτων, ὥστε καὶ εἰδικώτερα καὶ μᾶλλον ποιητικά, καὶ διὰ τοῦτο δρῶσιν εἰς τὰ ὑποκάτω, καὶ τούτοις τὰ ὑποκάτω διατίθενται.

Compendium SG IV, 97 (*Œ* V, 336,29–32): Τῆς δὲ τῶν ὑποκάτω γενέσεως καὶ φθορᾶς ἡ τοῦ οὐρανοῦ κίνησίς ἐστιν αἰτία. Πρὸς τὸ τοίνυν τὴν γένεσιν καὶ τὴν φθορὰν ἐν τοῖς ὑποκάτω παύσασθαι, ἀνάγκη καὶ τὴν τοῦ οὐρανοῦ κίνησιν στῆναι.

6.1. 4–7 τὴν … ποιοῦσι

Compendium SG III, 148 (*Œ* V, 222,22–24): Δεῖται τοίνυν θείας βοηθείας ὁ ἄνθρωπος, ἵνα μὴ διὰ τούτων τῶν κωλυμάτων τοῦ ἐσχάτου τέλους παντελῶς ἀποπέσῃ.

9–14 Ὅθεν … δοξάσαντες

Compendium SG III, 38 (*Œ* V, 137,9–11): Ὅθεν καὶ πολλοὶ πεπλάνηνται, ὡς οἱ τὰ οὐράνια σώματα θεοὺς ἢ τὰ στοιχεῖα ὑπειληφότες, ἢ ὅσα πλάναις συνέστησαν περὶ τῶν τοιούτων ἐν ἀνθρώποις.

Compendium SG III, 84 (*Œ* V, 170,35–171,2): Ὅτι τὰ οὐράνια σώματα οὐ δύνανται αἴτια εἶναι τῶν περὶ τὸν νοῦν. Δέδεικται γὰρ τὸ τὰ ὑποκάτω διὰ τῶν ὑπεράνω διοικεῖσθαι τάξιν εἶναι τῆς θείας προνοίας· ὁ δὲ νοῦς τῇ τῆς φύσεως τάξει πάντων τῶν σωμάτων ὑπέρκειται· ἀδύνατον ἄρα τὰ οὐράνια σώματα εἰς τὸν νοῦν ἄντικρυς δρᾶν. Οὐκ ἄρα δύνανται καθ’ αὐτὰ τῶν περὶ τὸν νοῦν αἴτια εἶναι.

Compendium SG III, 93 (*Œ* V, 179,24–28): Τινὲς δὲ πάντα τὰ ἐνταῦθα ἐξ αὐτομάτου συμβαίνοντα εἰς τὰ οὐράνια ἀνῆγον σώματα καὶ τὰς ἀνθρωπίνας αἱρέσεις, τὴν δύναμιν τῆς τῶν ἀστέρων θέσεως, ᾗ πάντα μετά τινος ἀνάγκης ὑποκεῖσθαι ἐτίθεσαν, ‘εἱμαρμένην’ καλοῦντες, ἥτις δόξα ἀδύνατος καὶ τῆς πίστεως ἀλλοτρία.

13 τὴν … ὑπουργίαν

Compendium SG III, 94 (*Œ* V, 180,35–38): Τὰ δέ τι τῶν πραγμάτων ποιοῦντα ὀργανικῶς ποιεῖ ὑπ’ ἐκείνου κινούμενα, καὶ ἑαυτὰ παραμιγνύντα διακονοῦσι πρὸς τὴν ἐξ ἀιδίου τάξιν τῆς θείας προνοίας, τὸ νοηθέν, ἵν’ οὕτως εἴποιμι, ἐν τοῖς πράγμασιν ἐξαπλοῦντα.

Compendium ST Ia, Q. 104, A. 2 (*Œ* V, 483,34–39): Ὅτι οὐκ ἀμέσως ὁ Θεὸς συντηρεῖ πᾶσαν τὴν κτίσιν, ἀλλὰ μεσιτευόντων τινῶν κτισμάτων, οἷς ὑπουργικῶς τὸ αἰτιῶδες ἔνειμεν ὁ Θεός, ὡς προείρηται. Εἰ δὲ καὶ ἀμέσως πάντα δεδημιούργηκεν, ἀλλὰ καὶ ἀρχοειδῶς ἀμέσως συντηρεῖ, εἰ καὶ ἐν αὐτῇ τῇ δημιουργίᾳ τὴν τάξιν αὐτοῖς ἐνέθηκε ταύτην, ὥσθ’ ἕτερα ἑτέρων ἠρτῆσθαι, δι’ ὧν κατὰ δεύτερον λόγον συντηροῖτο ἂν ἐν τῷ εἶναι.

6.2. 4–9 Ἀλλ’ … σῴζονται

Compendium SG III, 99 (*Œ* V, 188,13–15): Ὁ δὲ Θεὸς βουλήσει ἐνεργεῖ, καὶ οὐκ ἀνάγκῃ, ὡς εἴρηται, ὥστε καὶ τὰ μικρότερα τῶν ἀποτελεσμάτων τὰ διὰ τῶν κατωτέρω αἰτίων γινόμενα δύναται ποιεῖν ἀμέσως, ἄνευ τῶν δευτέρων αἰτίων.

26–30 Καὶ … πονηρίαν

Compendium SG III, 81 (*Œ* V, 169,29–38): Ὥσπερ δὲ ἐν ἑνὶ ἀνθρώπῳ ἀταξία συμβαίνει, τοῦ μὲν νοῦ τῇ αἰσθητικῇ δυνάμει δουλεύοντος, τῆς δὲ πρὸς τὴν τοῦ ἀνεπιτηδείου σώματος κίνησιν ἑλκομένης, οὕτω κἀν τῷ πλήθει καὶ τῇ ἀρχῇ τῶν ἀνθρώπων πρόεισιν ἀταξία, ὅταν τις μὴ κατὰ τὴν ἐν τῷ νῷ ὑπεροχὴν ἄρχειν αἱρεθῇ, ἀλλὰ σωματικῇ δυνάμει νοσφίζηται τὴν ἀρχήν, ὡς ἐν τῷ *Ἐκκλησιαστῇ* λέγεται· “Ἔστι πονηρὸν ὃ εἶδον ὑπὸ τὸν ἥλιον, ἄρχοντα μωρὸν ἐν ἀξίᾳ ὑπερεχούσῃ”. Αὕτη δὲ ἡ ἀταξία τὴν θείαν οὐκ ἀναιρεῖ πρόνοιαν· πρόεισι γὰρ

θείᾳ παραχωρήσει διὰ τὴν ἀσθένειαν τῶν ὑποκάτω ποιούντων, ὡς εἴρηται καὶ περὶ τῶν ἄλλων κακῶν.

8., 24 ὃς… ζωογονεῖ
Compendium ST Ia, Q. 49, A. 2 (*Œ* V, 389,26): …ὡς ἐν τῇ πρώτῃ τῶν *Βασιλειῶν*· "Κύριος θανατοῖ καὶ ζωογονεῖ".

26–28 Μὴ… σεαυτῷ
Compendium SG III, 93 (*Œ* V, 179,24–28): Τινὲς δὲ πάντα τὰ ἐνταῦθα ἐξ αὐτομάτου συμβαίνοντα εἰς τὰ οὐράνια ἀνῆγον σώματα καὶ τὰς ἀνθρωπίνας αἱρέσεις, τὴν δύναμιν τῆς τῶν ἀστέρων θέσεως, ᾗ πάντα μετά τινος ἀνάγκης ὑποκεῖσθαι ἐτίθεσαν, 'εἱμαρμένην' καλοῦντες, ἥτις δόξα ἀδύνατος καὶ τῆς πίστεως ἀλλοτρία.

Λόγος Ε΄

40–41 Ὅπως… εὐχῶν
Compendium SG III, 95 (*Œ* V, 182,24–25): Ὅτι τὸ ἀκίνητον τῆς θείας προνοίας οὐκ ἀναιρεῖ τὸ χρήσιμον τῆς εὐχῆς.

1. 12–13 Καὶ… καλῶς
Compendium SG III, 96 (*Œ* V, 184,21–23): Τὴν μὲν γὰρ τάξιν τῆς ἀιδίου διοικήσεως οὐ μεταβάλλουσιν αἱ εὐχαί, ὡς ὑπὸ τὴν τάξιν ὑπάρχουσαι καὶ αὐταί.

2.1., 8–10 Προνοεῖν… τάττεσθαι
Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V,, 360,29–30): Τῆς δὲ προνοίας τὸ εἰς τὸ τέλος τὰ πράγματα τάττειν, ὡς εἴρηται.

8–15 Προνοεῖν… τέλος
Compendium SG III, 3 (*Œ* V, 117,35–36): Πᾶν γὰρ τὸ ποιοῦν εἰς ὡρισμένον τι τείνει καὶ οἰκεῖον αὐτῷ. Τὸ δὲ οἰκεῖον τινὶ καὶ ἀγαθόν ἐστιν αὐτῷ, Ποιεῖ ἄρα τοῦ ἀγαθοῦ χάριν.
Compendium SG III, 22 (*Œ* V, 126,23–24): Πῶς διαφόρως τὰ πράγματα εἰς τὰ οἰκεῖα τάττονται τέλη (tit.).

12 ἔσχατον τέλος
Compendium SG III, 17 (*Œ* V, 124,36–37): Ὁ Θεὸς ἄρα ἐστὶν ἔσχατον τέλος πάντων.

13–21 δεῖ… δικαίως
Compendium SG III, 64 (*Œ* V, 155,38–156,9): Τὸ γὰρ διοικεῖν τινα οὐδέν ἐστιν ἕτερον ἢ τὸ τάξιν τούτοις ἐπιτιθέναι· ἡ δὲ θεία σοφία οὐ μόνον τάττει τὰ ὄντα κατὰ τὴν τῶν φύσεων καθόλου διάκρισιν καὶ τῶν βαθμῶν αὐτῶν, ἀλλὰ καὶ τὰς ἐνεργείας ἑκάστου, δι' ὧν ἕκαστον μᾶλλον τῷ ἐσχάτῳ προσαχθήσεται τέλει· τοῦτο δέ ἐστι τὸ διοικεῖν. Ὁ Θεὸς ἄρα τῇ προνοίᾳ τῆς ἑαυτοῦ σοφίας κυβέρνησιν καὶ διοίκησιν τοῖς πράγμασι χορηγεῖ, δι' ἧς αὐτὰ πρὸς τὸ ἔσχατον κατευθύνει τέλος, ὅπερ ἐστὶν αὐτός, ὁ καὶ ταῦτα πεποιηκώς· αὐτῷ γὰρ προσήκει τῷ ποιητῇ πρὸς τὸ τέλος χρῆσθαι τοῖς ἔργοις, οὗ χάριν πεποίηκεν. Ἔστιν ἄρα πάντων τῶν ὄντων τῇ ἑαυτοῦ προνοίᾳ διοικητής…

21–26 Πάντων… τάξεως
Compendium ST Ia, Q. 22, A. 1 (*Œ* V, 359,9–13): Ὅτι ἀνάγκη τιθέναι ἐν τῷ Θεῷ πρόνοιαν, ὡς ἐν τῇ *Σοφίᾳ* λέγεται· "Σὺ δὲ πατήρ, κυβερνῶν προνοίᾳ"· καὶ ἔστιν ἐν τῷ Θεῷ ἡ

πρόνοια ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πραγμάτων, οὐχ ὡς ἐν ἀνθρώποις ἡ πρόνοια τὸ εἰς τὸ τέλος τάττειν τὰ ἄλλα ἐστίν, ἢ τῇ πρὸς αὐτοὺς παραθέσει, πρὸς τὸ τῆς ζωῆς δηλαδὴ τέλος.

Compendium SG III, 97 (*Œ* V, 184,35–185,38): Ἐκ δὲ τῶν προειρημένων φανερῶς δύναται καθορᾶσθαι, ὡς ἔπονταί τινι λόγῳ τὰ ὑπὸ τῆς θείας προνοίας διατιθέντα. Καὶ ἐκ μὲν τοῦ τέλους ὁ λόγος λαμβάνεται τῆς τῶν εἰδῶν διαφορᾶς ἐν αὐτοῖς, ἐκ δὲ τῆς τῶν εἰδῶν διαφορᾶς ὁ τῆς τάξεως λόγος. Ἡ μὲ γὰρ τοῦ παντὸς τελειότης καὶ τὸ δεῖν ὑπὸ διαφόρων τὴν θείαν ἀγαθότητα μετασχεθῆναι, ἣν ἕν τι παριστάνειν οὐ δύναται, τὴν ἀνισότητα τῶν πραγμάτων καὶ τὴν τάξιν ἐποίησε καὶ τοὺς βαθμούς, αὕτη δὲ τὴν τῶν εἰδῶν ποικιλίαν. Τὰ δὲ διάφορα εἴδη καὶ διαφόρους ἐνεργείας ἔχειν ἀνάγκη· ἑκάστου δὲ τῇ ἑαυτοῦ ἐνεργείᾳ πρὸς τὸ ἴδιον ἀφικνουμένου τέλους διαφέρουσι καὶ τὰ ἴδια τέλη ἑκάστων, ἐξ ὧν ὁ λόγος ἑκάστου λαμβάνεται, εἰ καὶ τὸ ἔσχατον τέλος πᾶσίν ἐστι κοινόν.

24–26 τῷ…τάξεως

Compendium ST Ia, Q. 56 A. 2 (*Œ* V, 396,38–39): Ἐν δὲ τῷ Θεοῦ Λόγῳ ἐξ ἀιδίου ὑφεστήκασιν οἱ πάντων τῶν ὄντων λόγοι.

26–28 Ἡ…ἀρχή

Compendium SG III, 17 (*Œ* V, 124,18): Ὅτι πάντα τάττονται εἰς ἓν τέλος, ὅπερ ἐστὶν ὁ Θεός (tit.).

Compendium SG III, 17 (*Œ* V, 124,25–26): Ἔστιν ἄρα τέλος τῶν πραγμάτων πάντων αὐτός.

Compendium SG III, 64 (*Œ* V, 155,29–32): Πάντα δὲ πρὸς τὴν θείαν ἀγαθότητα τάττονται ὡς εἰς τέλος. Καὶ ἀνάγκη τὸν Θεόν, ᾧ ἡ ἀγαθότης πρώτως ἀνήκει ὡς οὐσιωδῶς ἐνοῦσα καὶ νοουμένη καὶ ἐρωμένη, τοῖς δὲ ἄλλοις κατὰ μετοχήν, πάντων εἶναι κυβερνήτην.

26–30 Ἡ…τέλος

Compendium ST Ia, Q. 103, A. 1 (*Œ* V, 481,1–4): …ἄλλως τε καὶ ἄριστα γεγενημένα, καὶ τοῦ ἀρίστου ἕνεκα ἢ τοῦ αὐτοῖς, ἢ τοῦ ἁπλῶς, δεῖ αὐτὰ τελειοῦσθαι ἐν τῷ τυγχάνειν τοῦ τέλους, ἀνάγκη τὴν θείαν ἀγαθότητα, ὡς παρήγαγεν αὐτὰ τὴν ἀρχὴν εἶναι, οὕτω καὶ πρὸς τὸ τέλος ἄγειν, ὅ ἐστι τὸ κυβερνᾶν.

26–27 πρὸς^{2}…Θεός

Compendium SG I, 40 (*Œ* V, 28,11): Ἔτι, ἔσχατον τέλος ἐστὶν ὁ Θεός, καὶ ἔσχατον ἀγαθόν.

2.2. 1–4 Αὐτοὶ…πατέρες

Compendium ST Ia, Q. 4, A. 3 (*Œ* V, 342,24–29): Ὅτι τὰ κτίσματα δυνατὸν ὡμοιῶσθαι αὐτῷ λέγεσθαι, ἀλλ’ οὔτε ἐν τῷ αὐτῷ λόγῳ καὶ τρόπῳ τῆς εἰδικῆς κοινωνίας, οὔτε ἐν τῷ αὐτῷ λόγῳ μόνον, εἰ καὶ μὴ τρόπῳ ὡς τὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον λεγόμενα, οὔτε ὡς τὰ μὴ συνωνύμως ποιοῦντα, ἅπερ οὐδὲ τοῦ λόγου κοινωνεῖ, ἀλλ’ ὡς κατά τινα ἀμυδρὰν ἀναλογίαν ἐξομοιούμενα· ὥσπερ τὰ ὄντα κατὰ τὸ κοινὸν εἶναι, καθὸ πάντα κατὰ τὸ εἶναι ὡμοίωνται τῷ Θεῷ.

Compendium ST Ia, Q. 22, A. 2 (*Œ* V, 359,19–20): …ἐπεὶ τὸ τοῦ Θεοῦ αἰτιῶδες εἰς πάντα τὰ ὄντα ἐκτείνεται, οὐ μέχρι μόνων τῶν τοῦ εἴδους ἀρχῶν, ἀλλὰ καὶ τῶν τοῦ ἀτόμου.

19–24 πῶς…οἰκείως

Compendium SG II, 2 (*Œ* V, 61,15–16): …ἐκ τῆς τῶν ποιημάτων ἐπισκέψεως τὴν σοφίαν τοῦ δημιουργοῦ <συμπεραίνειν> δυνάμεθα.

Compendium SG III, 154 (*Œ* V, 228,17–19): Ἐπεὶ δὲ "τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται", οὐ μόνον ἀποκαλύπτονται τοῖς ἀνθρώποις τὰ θεῖα διὰ τῆς χάριτος, ἀλλὰ καί τινα τῶν κτιστῶν, ἃ τῇ ἐπιστήμῃ προσήκει.

Compendium ST Ia, Q. 88, A.3 (*Œ* V, 464,14–16): Ὅτι πολλῷ ἔλαττον δυνήσεται γνῶναι τὴν ὕπαρξιν τῆς ἀκτίστου οὐσίας· καὶ διὰ τοῦτο οὐκ ἔστι τὸ πρώτως ὑφ' ἡμῶν γινωσκόμενον ὁ Θεός, ἀλλὰ μᾶλλον διὰ τῶν κτισμάτων ἐπὶ τὴν αὐτοῦ γνῶσιν ἐρχόμεθα.

24–26 Τὸ … διακονίας

Compendium SG III, 100 (*Œ* V, 189,12–14): Ἔτι, οὐ παρὰ τὴν τοῦ ὀργάνου φύσιν τὸ ὑπὸ τοῦ πρώτου ποιοῦντος κινεῖσθαι, οἰκεῖον μὲν οὖν [an ὂν?] αὐτοῦ· τὰ δὲ μετὰ τὸν Θεὸν πάντα τὸν πρῶτον ποιοῦντα ὥσπερ ὄργανά εἰσιν αὐτοῦ, γεγονότα ὥστε δουλεύειν αὐτῷ.

3. 1–3 Ἡ … ἅπαντα

Compendium SG III, 92 (*Œ* V, 178,8–11): Παρὰ τὴν θείαν μέντοι γε πρόνοιαν οὐδὲν συμβῆναι ἀγαθὸν δύναται τῷ ἀνθρώπῳ, ἤτις, ὥσπερ ποιητική, οὕτω καὶ προνοητικὴ καὶ διοικητική ἐστι τοῦ ὄντος καθὸ ὄν· διὸ πάντα ὑφ' ἑαυτὴν περιέχει.

4–6 Αὕτη … ἀξίαν

Compendium SG III, 111 (*Œ* V, 195,18–32): Ὑπερέχουσι γὰρ τῶν ἄλλων κτισμάτων τῇ τε τῆς φύσεως τελειότητι· μόνα γὰρ τῶν ἰδίων ἐνεργειῶν ἐλευθέρως ἄρχει, ἑαυτὰ ἄγοντα ἐπὶ τὸ πρακτέον, τῶν ἄλλων ἀγομένων ἐπὶ τὰ οἰκεῖα ἔργα μᾶλλον ἢ ἀγόντων· καὶ τῇ τοῦ τέλους ἀξίᾳ. Μόνα γὰρ τοῦ ἐσχάτου τέλους πάντων τῇ ἑαυτῶν ἐνεργείᾳ ἅπτονται, γινώσκοντα καὶ ἀγαπῶντα τὸν Θεὸν δηλαδή, τῶν ἄλλων ἐφικνουμένων τοῦ ἐσχάτου τέλους κατά τινα μόνον μετοχὴν ὁμοιότητος. […] Οὕτω τοίνυν καὶ ὁ τῆς τάξεως λόγος, καθ' ὃν τῇ θείᾳ προνοίᾳ τὰ λογικὰ ὑπόκεινται κτίσματα, ἄλλος ἐστί, καὶ ἕτερος καθ' ὃν τὰ ἄλλα τάττονται κτίσματα.

7–8 πάντας … ἐλθεῖν

Compendium SG III, 159 (*Œ* V, 236,6–7): "Θέλει γὰρ πάντας ἀνθρώπους σωθῆναι", καὶ ἐν τῇ *Πρὸς Τιμόθεον* λέγεται καὶ τὰ ἑξῆς.

Compendium ST Ia, Q. 19, A. 6 (*Œ* V, 355,4–17): Τὸ δέ· "ὃς καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι", νοεῖται ὡς ἢ θέλει τοὺς σῴζεσθαι βουλομένους (οὐ γάρ ἐστιν ἀληθὲς ὅτι μηδείς ἐστιν ὃν μὴ θέλει σωθῆναι) ἢ ἐκ πάσης τῶν ἀνθρώπων τάξεως, ἢ τῇ ἡγουμένῃ βουλήσει, ἀλλ' οὐ τῇ ἑπομένῃ. Ὧν ἡ διάκρισις οὐ κατ' αὐτὴν τὴν θείαν βούλησιν, ἀλλὰ κατὰ τὰ θελητά. Θέλει γὰρ ὁ Θεὸς πάντα ἄνθρωπον σῴζεσθαι προηγουμένως, ἀλλ' ἑπομένως θέλει τὸν ἁμαρτωλὸν κολάζεσθαι, ὥσπερ καὶ ὁ δίκαιος δικαστὴς προηγουμένως θέλει πάντα ἄνθρωπον ζῆν, ἑπομένως δὲ τὸν φονέα ἀναρτηθῆναι. Τὸ δὲ προηγουμένως θέλειν οὐχ ἁπλῶς ἐστι θέλειν, ἀλλά πη· τὸ γὰρ ἁπλῶς τι θέλειν ἐστὶν ὅταν ἐκεῖνό τις θέλῃ θεωρηθέντων πάντων τῶν μερικῶν περιστατικῶν, ἐν οἷς ἐστι τὸ ἑπομένως θέλειν. Ὅθεν ὁ δίκαιος κριτὴς ἁπλῶς θέλει τὸν φονέα ἀναρτηθῆναι, εἰ καί πῃ θέλει τοῦτον ζῆν, δηλονότι ὡς ἄνθρωπον. Καὶ οὕτω δῆλον ὡς, ὅπερ ἂν ὁ Θεὸς ἁπλῶς θέλοι, γίνεται, εἰ καί τι, ὃ προηγουμένως θέλει, οὐ γίνεται.

8–11 Διὸ … ποικίλλεται

Compendium SG III, 113 (*Œ* V, 197,15–21): Οὕτω γὰρ ἕκαστον εἰς τὴν ἰδίαν ἐνέργειαν ὑπὸ Θεοῦ τάττεται, ὡς καὶ τῇ αὐτοῦ προνοίᾳ ὑπόκειται· ἡ δὲ λογικὴ κτίσις τῇ θείᾳ προνοίᾳ ὑπόκειται, ὡς ἂν δι' ἑαυτὴν κυβερνωμένη καὶ τῆς προνοίας τυγχάνουσα οὐ μόνον διὰ τὸ εἶδος, ὡς τὰ ἄλλα φθαρτά· τὸ γὰρ τοῦ εἴδους ἕνεκα μόνον κυβερνώμενον ἄτομον οὐ δι' ἑαυτὸ κυβερνᾶται. Τὰ λογικὰ ἄρα κτίσματα ὁδηγίαν ὑπὸ Θεοῦ πρὸς τὰς ἑαυτῶν ἐνεργείας λαμβάνουσιν οὐ διὰ τὸ εἶδος μόνον, ἀλλὰ καὶ διὰ τὸ ἄτομον.

Compendium ST Ia, Q. 22, A. 3 (*Œ* V, 360,15–20): Ὅτι ὁ Θεὸς κατὰ μὲν τὸν λόγον τῆς εἰς τὸ τέλος τάξεως τῶν προνοουμένων ἀμέσως πάντων προνοεῖ, κατὰ δὲ τὴν τῆς τοιαύτης

τάξεως διαχείρισιν, ἣ ‘διεξαγωγὴ’ καλεῖται, εἰσί τινα μέσα τῆς θείας προνοίας, διὰ τῶν ὑψηλοτέρων τῶν ταπεινοτέρων κυβερνωμένων οὐκ ἀσθενείᾳ τῆς προνοητικῆς δυνάμεως, ἀλλὰ ὑπερβολῇ ἀγαθότητος μεταδιδούσῃ καὶ τοῖς ποιήμασι τῆς αἰτιώδους ἀξίας.

4.1. 26–33 Αὐτοὶ… παρεῖναι

Compendium ST Ia, Q. 23, A. 1 (*Œ* V, 360,34–361,5): Ὅθεν ἰδίως ἡ λογικὴ κτίσις, δεκτικὴ οὖσα τῆς αἰωνίου ζωῆς, ἄγεται εἰς αὐτὴν ὥσπερ ὑπὸ τοῦ Θεοῦ πεμπομένη, ἧς δὴ πομπῆς ὁ λόγος ἐν αὐτῷ πρϋφίσταται, ὡς καὶ ὁ λόγος τῆς εἰς τὸ τέλος τάξεως πάντων, ὅ φαμεν πρόνοιαν. Ὁ δὲ τοῦ ἐσομένου λόγος, ἐν τῇ τοῦ ποιητοῦ διανοίᾳ ὑπάρχων, προϋπόστασίς τίς ἐστιν αὐτοῦ τοῦ πράγματος· ὅθεν ὁ λόγος τῆς ἐπὶ τὴν αἰώνιον ζωὴν ὁδηγίας τῆς λογικῆς φύσεως ‘προορισμὸς’ ὀνομάζεται· ὁρίζειν γὰρ τὸ τὸν ὅρον ἀφ’ ὃν δεῖ ἀχθῆναι προϋποτιθέναι, καὶ οὕτως ὁ προορισμὸς προνοίας μέρος ἐστίν.

30–33 τῇ… παρεῖναι

Compendium ST Ia, Q. 14, A. 11 (*Œ* V, 350,38–351,1): Πᾶσαι γὰρ αἱ ἐν τοῖς κτίσμασι τελειότητες καθ’ ὑπεροχὴν προϋφεστᾶσιν [ex. edit. προϋφεστῶσιν correxi] ἐν τῷ Θεῷ.

Compendium ST Ia, Q. 15, A. 3 (*Œ* V, 352,5–8): Λόγοι γάρ εἰσι τῶν ὄντων, ἐν τῷ θείῳ προϋφεστῶτες νῷ· πάντων δὲ ὁ Θεὸς λόγους ἰδίους ἔχει, ὥστε καὶ πάντων ἰδέας ἢ ὡς παράδειγμα τῶν κατὰ χρόνον δημιουργηθέντων ἢ ὡς λόγος τῶν γινωσκομένων.

Compendium ST Ia, Q. 22, A. 1 (*Œ* V, 359,10–12): Καὶ ἔστιν ἐν τῷ Θεῷ ἡ πρόνοια ὁ λόγος τῆς πρὸς τὸ τέλος τάξεως τῶν πραγμάτων, οὐχ ὡς ἐν ἀνθρώποις ἡ πρόνοια τὸ εἰς τὸ τέλος τάττειν τὰ ἄλλα ἐστίν.

Compendium ST Ia, Q. 56, A. 2 (*Œ* V, 396,38–39): …ἐν δὲ τῷ Θεοῦ Λόγῳ ἐξ ἀιδίου ὑφεστήκασιν οἱ πάντων τῶν ὄντων λόγοι.

4.2. 21–23 Ὅτι… Θεῷ

Compendium ST Ia, Q. 23, A. 2 (*Œ* V, 362,20–22): Ὅτι ὁ προορισμὸς οὐκ ἔστι τι ἐν τοῖς προωρισμένοις, ἀλλ’ ἐν τῷ προορίζοντι· ὁ μὲν γὰρ μέρος προνοίας, ἡ δέ, ὡς ἔστι λόγος ἐν τῷ τοῦ προνοοῦντος λογισμῷ εἴρηται.

21–28 Ὅτι… συμμετρούμενον

Compendium ST Ia, Q. 23, A. 8 (*Œ* V, 363,37–364,3): Εἰ δὲ λέγοι τις ὅτι ὁ μὲν προορισμὸς ἀίδιος, αἱ δ’ εὐχαὶ καὶ τὰ ἄλλα ἐν χρόνῳ, τὸ δ’ ἐν χρόνῳ οὐ προηγεῖται τοῦ ἀιδίου οὐδὲ βοηθεῖ πρὸς τὸ εἶναι ἐκεῖνο, ἢ ὅτι τὸ μὲν δεῖσθαι βοηθείας δι’ ἀσθένειαν συμβαίνει δυνάμεως…

5. 11–14 Συγχωρεῖ… ἐστί

Compendium SG III, 96 (*Œ* V, 183,27–28): Ἔστι δ’ ὅτε καὶ οὓς μάλιστα φιλεῖ, τούτων οὐκ ἀποπληροῖ τὰς δεήσεις, ἵν’ ἀποπληρώσῃ ὃ μᾶλλον τῷ ζητοῦντι συνοίσει.

16–17 τὸ^{2}… μετεωρίζουσι

Compendium SG IV, 54 (*Œ* V, 299,19–21): Ἔτι, ἀναγκαῖον ἦν τὸν ἄνθρωπον, ἐπὶ τὴν τελείαν μακαριότητα τεταγμένον, εἰς τὸν θεῖον ἐνάγεσθαι ἔρωτα· καὶ γὰρ ἀπολαύειν μὲν ἀξιοῦται ὁ ἐπιθυμήσας σφοδρῶς…

26–28 Εἰ… εὔχεσθαι

Compendium SG III, 95 (*Œ* V, 182,29–32): Ταῖς γὰρ εὐσεβέσι τῆς λογικῆς κτίσεως ἐπιθυμίαις ἁρμόζον ἐστὶ συγκατατίθεσθαι τὸν Θεόν, οὐχ ὡς τῶν ἡμετέρων ἐπιθυμιῶν τὸν ἀκίνητον κινουσῶν Θεόν, ἀλλ’ ὡς ἐκ τῆς ἐκείνου προϊόντος ἀγαθότητος τοῦ τελειοῦν οἰκείως τὰ ἐπιθυμητά.

26–28 Εἰ… αἰτεῖσθε

Compendium SG III, 96 (*Œ* V, 183,9–12): Εἰ δὲ πολλάκις αἰτοῦντες οὐκ εἰσακούονται, τοῦτ' ἔστι διὰ τὸ μὴ εἶναι τὸ αἰτούμενον ἀληθῶς ἀγαθόν, ἀλλὰ δοκοῦν ἀγαθόν, ἁπλῶς δὲ κακόν, ὡς ἐν τῇ *Ἰακώβου ἐπιστολῇ*· "Αἰτεῖτε καὶ οὐ λαμβάνετε, ὅτι κακῶς αἰτεῖσθε".

28 Αἰτεῖτε… αἰτεῖσθε

Compendium SG III, 96 (*Œ* V, 183,30–32): …ὡς ἐν τῷ *Κατὰ Ματθαῖον* εἶπεν ὁ Κύριος πρός τινας· "Οὐκ οἴδατε τί αἰτεῖσθε"· καὶ ἐν τῇ *Πρὸς Ῥωμαίους*· "Τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, οὐκ ἴσμεν".

33–39 Δεῖ… σπουδήν

Compendium ST Ia, Q. 23, A. 8 (*Œ* V, 363,33–36): Ὅθεν τοὺς προωρισμένους ἐπιχειρεῖν δεῖ ἀγαθοεργίᾳ καὶ εὐχαῖς· διὰ γὰρ τούτων τὸ τοῦ προορισμοῦ ἀποτέλεσμα βεβαίως πληροῦται. Διὰ τοῦτο λέγεται ἐν τῇ πρώτῃ τοῦ *Πέτρου*· "Σπουδάσατε δι' ἀγαθῶν ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι".

43–45 Ὥστε… ἀξίαν

Compendium SG III, 95 (*Œ* V, 182,9–12): Ὡς γὰρ ἀνάγκην τοῖς προνοουμένοις οὐκ ἐπιτίθησιν, οὕτως οὐδὲ τὸ τῆς εὐχῆς χρήσιμον ἀναιρεῖ.

Compendium SG III, 96 (*Œ* V, 183,33–184,3): Φανερὸν οὖν ὅτι τῶν παρὰ Θεοῦ αἰτία καὶ αἱ εὐχαὶ καὶ αἱ εὐσεβεῖς ἐπιθυμίαι. Ὥσπερ δὲ τὰς ἄλλας αἰτίας οὐκ ἀναιρεῖ ἡ θεία πρόνοια, ὡς ἐδείχθη, διὰ τὴν ἐν τῷ παντὶ τάξιν, ὅθεν οὐδὲ μάχονται αὗται τῇ προνοίᾳ, διακονοῦσι μὲν οὖν τοῖς ταύτης ἀποτελέσμασιν, οὕτω καὶ αἱ πρὸς τὸν Θεὸν εὐχαὶ τὸ δραστήριον ἔχουσιν. Τὴν δὲ τῆς προνοίας ἀμετάβλητον οὐ λύουσι τάξιν· τὸ γὰρ τῷδε ζητοῦντι τόδε συγχωρεῖσθαι ὑπὸ τὴν τάξιν καὶ αὐτὸ πίπτει τῆς θείας προνοίας.

APPENDIX

Τα δάνεια χωρία του *Περὶ προνοίας* του Θεοδώρου Αγαλλιανού από την *Ἐπιστολὴν πρὸς Ἰσίδωρον ἱερομόναχον, περὶ ὅρων ζωῆς αἰτήσαντα* του Μάρκου Ευγενικού και από το *Περὶ θείας προνοίας καὶ προορισμοῦ, σπουδαῖον* του Σχολάριου

Ο Θεόδωρος Αγαλλιανός, κατά τη σύνθεση της πραγματείας του *Περὶ προνοίας*[667] (1467),[668] προέβη, όπως ο ίδιος ομολογεί,[669] σε εκτενή δανεισμό από τα έργα *Ἐπιστολὴ πρὸς Ἰσίδωρον ἱερομόναχον περὶ ὅρων ζωῆς αἰτήσαντα*[670] (ante 1437)[671] του Μάρκου Εὐγενικοῦ και *Περὶ θείας προνοίας καὶ προορισμοῦ: σπουδαῖον*[672] (1458/9) του Γενναδίου. Ο ίδιος μάλιστα αντιλαμβάνεται τον κίνδυνο σκώμματος που μπορεί να εγείρει η τακτική του. Ωστόσο, δεν την απαρνείται και αυτοσαρκαζόμενος παρομοιάζει τον εαυτό του με πνευματικό παράσιτο.[673] Ο Γεννάδιος, πάλι, διαπιστώνοντας τον εκτενή ερανισμό του Αγαλλιανού,[674] τον αξιολογεί απολύτως θετικά (τουλάχιστο στο μέρος που αντλεί από το δικό του *Περὶ θείας προνοίας και προορισμοῦ*), ως στοιχείο που νομιμοποιεί το έργο, κατοχυρώνει την αξία του και θεμελιώνει την εγκυρότητά του.[675]

Εκτός από τη χρήση αντίστοιχων χωρίων από την ιερά παράδοση[676] (χρήση την οποία έως ένα βαθμό δικαιολογεί η ενιαία δογματική προϊστορία της κοινής στα δύο έργα

---

[667] Το κείμενο αυτό εκδόθηκε εν μέρει (καθώς λείπει η αρχή) από τους Ευστρατιάδη και Λαυρεώτη (1925, 37–51).

[668] ΠΑΤΡΙΝΕΛΗΣ 1966, 48.

[669] Για το Γεννάδιο και τον Ευγενικό, βλ. σημ. 198.

[670] BOISSONADE 1844, 349–361.

[671] Το 1437 ο Μάρκος, που εκφωνεί το λόγο ως μοναχός, χειροτονείται και πλέον υπογράφει τα έργα του ως Μητροπολίτης Εφέσου (ΜΑΜΩΝΗ 1954, 51).

[672] *Œ* I, 390–412.

[673] Όπως σημειώσαμε και νωρίτερα, πιθανώς εννοεί την παροιμία «κολοιὸς ἀλλοτρίοις πτεροῖς ἀγάλλεται» παρμένη από τον ΛΟΥΚΙΑΝΟ. Βλ. σημ. 198.

[674] ΣΧΟΛΑΡΙΟΣ, *Περὶ τοῦ θείου προορισμοῦ, τέταρτον*: «Περὶ δέ γε τοῦ θείου προορισμοῦ καὶ τῆς ἐκεῖθεν προνοίας περὶ πάντας ἀνθρώπους […] εἴρηται ἡμῖν ἐν τρισὶ λόγοις ἀρκούντως καὶ μετὰ πολλῆς ἐπεξεργασίας, ὧν ὁ μὲν πρότερος ἐκεῖνος, *οὗ καλῶς ἐν τῷ συγγράμματι μέμνησαι*, τῆς ἀληθείας ἐστὶν κατασκευαστικός, οἱ δὲ λοιποὶ δύο, πρὸς τῷ τὴν ἀλήθειαν κατασκευάζειν σαφέστερον, καὶ τὰ δοκοῦντά τισι δι’ ἀπειρίαν αὐτῶν ἀνθίστασθαι λύουσι» (*Œ* I, 443,35–444,6).

[675] Βλ. σημ. 80.

[676] Βλ. π.χ.: ΣΧΟΛΑΡΙΟΣ, *Περὶ θείας προνοίας καὶ προορισμοῦ: σπουδαῖον*: «εἴρηταί τε ἐν τοῖς λογίοις ὁ Θεὸς λέγων “οὐ θελήσει θέλειν τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὥσπερ θέλει θελήσει τὸ δ’ ἐπιστροφῆς ζῆν αὐτὸν αἰωνίως” (Ιεζ. 33:11: «Οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν»)» (*Œ* I, 399,37–400,2)· ΘΕΟΔΩΡΟΣ ΑΓΑΛΛΙΑΝΟΣ, *Περὶ προνοίας*: «“οὐ θελήσει θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν", ὡς καὶ τοῖς ἔργοις τοῦτο ἔδειξεν ἐπὶ τε τοῦ Ἐζεκίου καὶ τῶν Νινευϊτῶν καὶ ἄλλων πολλῶν» (ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 425β)· ΣΧΟΛΑΡΙΟΣ, *Περὶ θείου προορισμοῦ, δεύτερον*: «Καὶ διὰ τοῦτο ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν λέγεται· “Κύριος θανατοῖ καὶ ζωογονεῖ” (Α΄ Βασ. 2:6: “Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει”), οὐχ ὡς ἰδίᾳ πράττοντος μόνον ἑκάτερον, ὃ ταὐτόν ἐστι τῷ θέλοντος ἑκάτερον γίνεσθαι, ὡς αὐτοῦ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχοντος, ἀλλ’ ὡς καὶ ἐν τῷ θανατοῦν πολλάκις ζωογονοῦντος καὶ τὸν τοῦ θανάτου χρόνον καὶ τρόπον πρὸς τὸ συμφέρον καὶ τὴν προωρισμένην ζωὴν πολλοῖς οἰκονομοῦντος καὶ τάττοντος» (*Œ* I, 424,10–15)· ID., *Περὶ τοῦ θείου προορισμοῦ, τέταρτον*: «Οὕτω μὲν καθ’ ἡμέραν τὸν Θεὸν ἀνυμνοῦσι μετὰ τοῦ θείου Δαυὶδ οὐρανόθεν ταῦτα ἐμπνεομένου, εἶτα φρονοῦσί τε τἀναντία τούτων καὶ ἄλλους διδάσκουσιν· καὶ ‘Θανατοῖ μὲν Κύριος καὶ ζωογονεῖ’ λέγουσί τε καὶ τοῖς εἰποῦσιν ἀξιοῦσι πιστεύειν, ἀοριστίαν δὲ ζωῆς καὶ θανάτου καταψηφίζονται καὶ τυχαῖόν τε καὶ αὐτόματον τὸ σύμπαν τῶν ἀνθρώπων ἡγοῦνται χρῆμα» (*Œ* I, 441,32–37)· ΘΕΟΔΩΡΟΣ ΑΓΑΛΛΙΑΝΟΣ, *Περὶ προνοίας*: «Μαρτυρεῖ καὶ Δαυὶδ ἱκετεύων τὸν Θεὸν μὴ ἀναγαγεῖν αὐτὸν ἐν ἡμίσει ἡμερῶν αὐτοῦ, μὴ συντμηθῆναι πάντως τοὺς τῆς ζωῆς αὐτοῦ ὅρους αἰτούμενος· πάντες γὰρ ζωῆς καὶ θανάτου Κύριον τὸν Θεὸν καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὴν πνοὴν εἶναι πάντων τῶν ζώντων ὁμολογοῦσι· ‘Κύριος’ γάρ, φησί, ‘θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει’» (ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 426b)· ΣΧΟΛΑΡΙΟΣ, *Περὶ τοῦ θείου προορισμοῦ, τέταρτον*: Οὕτω καὶ πόλις παρανομοῦσα φαύλοις ἄρχουσιν ἐγχειρίζεται, καὶ τοὐναντίον πολίταις ἀγαθοῖς οἰκουμένη· «Δώσω» γάρ, φησίν, «ἄρχοντας ὑμῖν κατὰ τὰς καρδίας ὑμῶν» (Ιερ. 3:15: «καὶ δώσω ὑμῖν ποιμένας κατὰ τὴν καρδίαν μου, καὶ ποιμανοῦσιν ὑμᾶς ποιμαίνοντες μετ’ ἐπιστήμης»)» (*Œ* I, 450,12–14)· ΘΕΟΔΩΡΟΣ ΑΓΑΛΛΙΑΝΟΣ, *Περὶ προνοίας*: «Καὶ ὁ Παῦλος δὲ

προβληματικής), και πέρα από την αναφορά κοινών παραδειγμάτων[677] για την παραστατική απόδοση ή περιγραφή μιας κατάστασης, ο Αγαλλιανός δεν διστάζει να παραθέτει κάποιες φορές αυτολεξεί ορισμένα αποσπάσματα από το λόγο του Γενναδίου. Άλλοτε πάλι προβαίνει σε μερικώς αναλυτικότερη παράθεσή τους, ενδεχομένως για να καταστήσει περισσότερο εύληπτες τις ερανιζόμενες θέσεις.

Στη συνέχεια παρατίθενται τα αποσπάσματα, με την πηγή στην αριστερή στήλη.

Μάρκος Ευγενικός *Ἐπιστολὴ πρὸς Ἰσίδωρον ἱερομόναχον περὶ ὅρων ζωῆς αἰτήσαντα* (ante 1437)	**Θεόδωρος Αγαλλιανός** *Περὶ προνοίας* (1467/8)
1. Οἱ μὲν οὖν λέγοντες ὅρον αὐτὴν εἶναι τὴν τοῦ Θεοῦ πρόγνωσιν, ὡς πάντα περιλαμβάνουσαν, ἐοίκασιν οὐκ ἀκριβῶς ἐπιστῆσαι τῷ σκοπῷ τῶν ῥηθέντων, ἀλλ᾽ ἐπιπολῆς αὐτῶν ἅψασθαι. Ἔστι γὰρ οὐ ταυτὸν ὅρος καὶ πρόγνωσις, ἀλλ᾽ ἐπὶ πλέον τοῦ ὅρου ἡ πρόγνωσις. Ὃ μὲν γάρ τις ὁρίζει, τοῦτο καὶ προγινώσκει πάντως, οὐ μὴν ὃ προγινώσκει, τοῦτο καὶ προορίζει.[678]	1. Ὅτι δὲ φὴς οὐ ταὐτὸν ‘ὅρος’ καὶ ‘πρόγνωσις’, ἄλλο δὲ καὶ ἄλλο —ὃ γὰρ προορίζει τις, τοῦτο καὶ προγινώσκει, ὃ δὲ προγινώσκει, οὐ πάντως καὶ προορίζει—, σύμφημι καὶ αὐτός, πρὸς ἀνθρώπου δὲ τοῦτο καὶ οὐ πρὸς τοῦ Θεοῦ· [«Ἔοικας, ὦ ἄνθρωπε, μὴ ἐπιστῆσαι ἀκριβῶς τῷ σκοπῷ τοῦ ῥητοῦ, ἀλλ᾽ ἐπιπολῆς ἅψασθαι αὐτοῦ»].[679] […]. Εἰ δὲ ἡ θεία πρόγνωσις περιλαμβάνει καὶ τὸν ὅρον ὡς ἐπιπλέον οὖσα αὐτοῦ —ὃ γὰρ προορίζει, τοῦτο καὶ προγινώσκει, οὐ μὴν ὅπερ προγινώσκει πάντως καὶ προορίζει· διὸ καὶ καλῶς ἔχει τις κατηγορῆσαι τοῦ ὅρου τὴν πρόγνωσιν, οὐχ οὕτω δὲ καὶ τῆς προγνώσεως

ἥκειν τοῖς ἄρχουσι παραινεῖ οὐ μόνον τοῖς ἐπιεικέσιν ἀλλὰ καὶ τοῖς μὴ τοιούτοις ἐκδικηταῖς οὖσι τοῦ Θεοῦ· καὶ "δώσω ὑμῖν", φησίν, "ἄρχοντα κατὰ τὰς καρδίας ὑμῶν"» (ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 423b).

677 Το παράδειγμα του τοξότου και του βέλους είναι ένα από αυτά. Διαβάζουμε στο *Περὶ θείας προνοίας καὶ προορισμοῦ, σπουδαῖον* του Σχολάριου: «Εἰ γὰρ τὸ βέλος γνώμην εἶχεν, ὥστε ἀφιέμενον ὅμως ἔρχεσθαι καὶ ἐκὸν ἐπὶ τὸν σκοπὸν ἢ παραφέρεσθαί ποι καὶ διαπίπτειν, καὶ τοιοῦτον αὐτὸ ὁ ποιῶν ἐποίει θέλων τε καὶ δυνάμενος, αὐτός γε ὢν καὶ ποιητὴς αὐτοῦ καὶ τοξότης, ἡ μὲν ἀγαθὴ αὐτοῦ πρόνοια διεφαίνετ᾽ ἂν ἐν τῷ προθεῖναι μὲν τὸν σκοπὸν καὶ οἰκεῖον τῇ δυνάμει τοῦ βέλους, ἀφεῖναι δὲ πρὸς αὐτὸν εὐφυῶς καὶ ἠρέμα τι καὶ συνεπωθεῖν, εἰ βούλοιτο καὶ ἑαυτὸ ἄγειν· εἰ δέ, ὧδέ που παραφερόμενον καὶ οὐχ ἑπόμενον τῷ καλῶς ἀφιέντι τε καὶ συνεπωθοῦντι ἢ καὶ ὁδοποιοῦντι, μὴ καλῶς ἐφίκοιτο τοῦ σκοποῦ, ἀλλ᾽ αὐτοῦ που καταπατοῖτο κείμενον, οὔτ᾽ ἂν ἀσθένεια τῆς ἐπ᾽ αὐτῷ προνοίας εἴη τοῦτό γε οὔτε ἐθελοκακία» (*Œ* I, 397,24–34)· και στο *Περὶ προνοίας* του ΑΓΑΛΛΙΑΝΟΥ: «Μάθε τοῦτο καὶ ἀπὸ παραδείγματος· τοξοτῶν τις εἰδὼς βάλλειν εὐφυῶς βέλος ἀφεὶς πρὸς τὸν σκοπόν, ὁρμῶν μὲν αὐτὸ ἰὸν εὐθὺ τούτου καὶ μέλλον τυχεῖν αὐτοῦ τέρπεται καὶ οἷόν τε αὐτῷ ἐπάγεται καὶ ὁδηγεῖν καὶ παρεπόμενος συνεπωθεῖν καὶ πᾶσι τρόποις ὁρμήν τε καὶ δύναμιν ἐνιέναι πρὸς τὸ καὶ ἔτι βέλτιον φθάσαι πρὸς τὸν σκοπόν, ὡς δή τι μέγα κερδανῶν· ἑωρακὼς δὲ τοῦτο ἐκτραπὲν καὶ παραφερόμενον ἰδίᾳ στρεβλότητι καὶ κακίᾳ καὶ μὴ πρὸς τὸν σκοπὸν τρέχον πρὸς ὃν καλῶς ἀφῆκεν ὁ εὐφυὴς τοξότης ἐκεῖνος, αὐτὸς μὲν ἀδημονεῖ ὡς τὰ μέγιστα ζημιωθησόμενος, ἀπέστρεψε τε τοὺς ὀφθαλμοὺς αὐτοῦ τοῦ μὴ βλέπειν αὐτὸ καὶ οὐδὲ ἐπάραι αὐτοὺς πρὸς τὸ αὐτὸ ὑπομένει, ἀλλ᾽ ἐγκαταλιμπάνει αὐτὸ ὡς ἀπολούμενον· τὸ δὲ καταπεσὸν ὅπη τύχοι, ἢ θηρίων συμπατησάντων αὐτὸ κατάγνυται, ἢ ὁδίτου τινος εὑρόντος, κατὰ κρημνοῦ ῥίπτεται ἢ παραδίδοται πυρί· τῶν τοιούτων τίνι προσάψεις τὴν αἰτίαν; Τῷ καλῶς ἀφέντι τοξότι ἢ τῇ στρεβλότητι τοῦ βέλους; Τῷ δευτέρῳ πάντως» (ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 425a–b).

678 BOISSONADE 1844, 357–358. Για το ζήτημα της σχέσης *προγνώσεως - ὅρου* έχουμε και τοποθέτηση και από το Γεννάδιο: «Ἀλλὰ τὰ ἄλλα τούτου παρίημι. “Ἡ δὲ πρόγνωσις”, φησίν, “οὐκ ἔστιν ὅρος”» (*Περί τοῦ θείου προορισμοῦ, τρίτον· Œ* I, 430,36–37)· «Καὶ μὴν οὐδ᾽ ἔστι τις ὁ λέγων ὅρον εἶναι τὴν πρόγνωσιν, εἰ μὴ καὶ κίνησιν ἐθέλοι λέγειν τὸ τῆς κινήσεως πέρας· αἴτιον δέ πως μᾶλλον τῆς προγνώσεως ὁ ὅρος ἐστί» (*Œ* I, 431,32–34).

679 ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 433b.

τὸν ὅρον ὥσπερ καὶ τοῦ ἀνθρώπου τὸ ζῶον, οὐ μὴν τοῦ ζώου τὸν ἄνθρωπον—, τί θαυμαστὸν εἰ ἐν τῷ ἔχοντι ἀναντιρρήτως τὴν ἐπὶ πλέον οὖσαν τοῦ ὅρου τὴν πρόγνωσιν ὡς περιληπτικὴν αὐτοῦ, ταὐτόν ἐστιν ὅρος καὶ πρόγνωσις, καὶ ἡ πρόγνωσίς ἐστιν ὅρος ἐν τῷ Θεῷ καὶ ὁ ὅρος πρόγνωσις, οὐ μόνον ἐπὶ ζωῆς καὶ θανάτου τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ πάντων ἁπλῶς;».[680]

2. «Τὸ μὲν οὖν ζητούμενον ἐστίν, εἰ ὥρισται παρὰ Θεῷ τῶν ἀνθρώπων ὁ βίος, ἢ ὑπὸ τῆς φύσεως αὐτῆς ὁ θάνατος ἐπιφέρεται καὶ τῶν ἔξωθεν συμπτωμάτων· τοῦτο δὲ αὐτὸ προθεὶς εἰς ἐξέτασιν ὁ θεῖος πατὴρ Ἀναστάσιος, ὁ ‘Σιναΐτης’ ἐπικληθείς, φυσικαῖς τε καὶ Γραφικαῖς μαρτυρίαις, οἷος ἐκεῖνος περὶ τὰ τοιαῦτα πολύς, ἔδειξεν ἀκριβῶς μὴ δεῖν ἐπὶ ζωῆς ἀνθρωπίνης, ὥσπερ οὐδ’ ἐπὶ τῶν ἄλλων τῶν κατὰ τῶν βίον πράξεων ἢ παθημάτων, ὅρον τινὰ παρὰ Θεοῦ πεπηγότα φρονεῖν, ἀλλ’ ἀναίτιον εἶναι καὶ τούτου τὸ θεῖον ὥσπερ κἀκείνων, προνοητικὸν μὲν ἁπάντων ὂν καὶ δυνάμενον πάντα μεταποιεῖν ὅπως ἂν βούληται, ἐπιτρέπον δὲ ὅμως ἕκαστα τῇ φύσει τε καὶ τῇ προαιρέσει».[681]

2. Καὶ αὐτὸς γὰρ ὁ μακάριος Ἐφέσου περὶ τοῦ ἁγίου Ἀναστασίου μαρτυρεῖ φάσκων ὅτι προνοητικὸν εἶναι πάντων τὸν Θεὸν καὶ δυνάμενον πάντα μεταποιεῖν ὅπως ἂν βούληται, καὶ σφόδρα ὁμολογεῖ, ἐπιτρέποντα δὲ ὅμως ἕκαστα τῇ τε φύσει καὶ τῇ προαιρέσει.[682]

3. Κρίσει ἄρα δικαίᾳ καὶ προορισμῷ τοῦ Θεοῦ, τό τε παρελθὸν τῆς ζωῆς εἰδότος καὶ τὸ μέλλον προορωμένου, πρὸς τὸ συμφέρον ὁ θάνατος ἔπεισι. Καὶ ταῦτα διδάσκει μὲν ὁ μέγας Βασίλειος, ᾧ τοσοῦτον ὑπάρχει τὸ συγκεχωρηκὸς ἐν ἅπασι παρὰ πάντων, ὡς μὴ ἂν ἕνα μηδένα τὴν ἐναντίαν θέσθαι τολμῶντα μὴ οὐ καταγέλαστον εἶναι δοκεῖν.[683]

3. Τὸν χρόνον φαμὲν προορίζειν τὸν Θεόν, καθ’ ὃν θνήσκει ὁ ἄνθρωπος, συντελεσθείσης αὐτοῦ τῆς ζωῆς, ὃ διδάσκει καὶ ὁ μέγας πατὴρ Βασίλειος, ᾧ πηλίκον ἐστὶν ἀξίωμα διδασκαλίας ἐν τῇ ἐκκλησίᾳ καὶ ὅπως τὸ συγκεχωρηκὸς ἐν ἅπασι τοῖς λεγομένοις αὐτῷ παρὰ πάντων ἔχει, ὡς μὴ ἂν ἕνα μηδένα θέσθαι τετολμηκότα μὴ οὐ καταγέλαστος δοκεῖν, ἴσασι πάντες καλῶς».[684]

[680] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 427b.
[681] BOISSONADE 1844, 351.
[682] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 430b.
[683] BOISSONADE 1844, 353.
[684] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 427a–b.

Σχολάριος *Περὶ θείας προνοίας καὶ προορισμοῦ, σπουδαιον* (1458/9)	**Θεόδωρος Αγαλλιανός** *Περὶ προνοίας* (1467/8)
1. Τὸ δὲ τῶν ἀνθρώπων πρᾶγμα οὐχ ὁμοίως τοῖς ἄλλοις γενητοῖς καὶ φθαρτοῖς ἔχει, ἀλλὰ σύγκειται μὲν ἐκ θνητοῦ καὶ ἀθανάτου τὴν ἀρχὴν ἄνθρωπος.[685]	1. Τὸ δὲ τῶν ἀνθρώπων χρῆμα οὐκ ἔχει κατὰ τὰ ἄλλα γένη τὰ καὶ φθαρτά· σύγκειται δὲ ὁ ἄνθρωπος ἐκ θνητοῦ, ὃ ἐστιν ἡ γεηρὰ ὕλη ἡ ἐκ τῶν στοιχείων δήπου σύγκρασις, καὶ ἀθανάτου, ὃ ἐστι θείας οὐσίας ἀπορροὴ ἐκ τοῦ θείου ἐμφυσήματος εἰς νοερὰν ψυχὴν ζῶσαν λογικὴν γεγονὼς καὶ τῇ τοιαύτῃ ὕλῃ τῇ γενητῇ καὶ φθαρτῇ ὡς εἶδος ἐναποτεθέν.[686]
2. Οὕτω δὴ καὶ Θεὸς προνοεῖ μὲν ἑκάστου ἀνθρώπου, ὅπως ἂν ὡς βέλτιστος γεγονώς, καὶ τῷ μὲν νῷ τἀληθὲς ἐκζητήσας, ὃ τέλος οἰκεῖον αὐτῷ, τῇ δὲ θελήσει τὸ ἀγαθόν, τῇ διπλῇ ταύτῃ ὁδῷ εἰς τὸν τῆς εὐδαιμονίας ἀξίως ἀναχθῇ τόπον.[687] … ἀπαλλαττόμενος δέ ποτε τοῦ θνητοῦ, τῷ ἀθανάτῳ ζῇ μόνῳ· καὶ εἴ ποτε τὸ θνητὸν ἀναλήψηται ἀλλὰ ἀλλοιωθὲν ἤδη, ὥστε τὴν σὺν αὐτῷ ζωὴν μηδὲν διαφέρειν πρός γε τὴν νοερὰν ἐκείνην εὐδαιμονίαν τῆς τῷ ἀθανάτῳ μόνῳ ζωῆς, πλὴν ὅτι τέλειος αὐτῆς ἀπολαύσεται.[688]	2. Ὅθεν προνοεῖ μὲν τῆς αὐτοῦ ζωῆς ὁ Θεὸς ὅπως ἂν ὡς βέλτιστος γεγονὼς καὶ τῷ μὲν λογισμῷ τὸ ὄντως ἀληθὲς ἐκζητήσας, ὃ τέλος οἰκεῖον αὐτῷ, τῇ δὲ θελήσει τὸ ἀγαθὸν εἰς τὸν τῆς εὐδαιμονίας ἀναχθῆναι τόπον τὸν πάσης ἀπηλλαγμένον θνητότητος καὶ μόχθου κοσμικοῦ, ἀποθέμενος καὶ αὐτὸς τὸ θνητόν, μόνῳ δὲ τῷ ἀθανάτῳ ζῶν· εἰ δὲ καὶ ὅ πρότερον ἦν θνητόν ἀναλήψαιτο, ἀλλ’ ἀλλοιωθὲν ἤδη καὶ ἀθανασίαν ἐνδυσάμενον, ἐφ’ ᾧ καὶ τὴν σὺν αὐτῷ ζωὴν μηδὲν διαφέρειν τῆς τῷ ἀθανάτῳ μόνῳ ζωῆς πρός γε τὴν νοερὰν ἐκείνην εὐδαιμονίαν.[689]
3. Προνοεῖ μὲν δὴ αὐτοῦ, ἁπλῶς εἰπεῖν, κρεῖττον ἢ κατὰ πάντα τά τε ὄντα τά τε γινόμενα, οὐχ ὅτι αὐτῷ μᾶλλον θέλει τὸ αὐτοῦ ἀγαθὸν ἢ ἐκείνοις τὸ οἰκεῖον ἑκάστοις, ἀλλ’ ὅτι τὸ τοῦ ἀνθρώπου ἀγαθὸν μεῖζον μέν ἐστιν ἢ κατὰ τὰ ἄλλα, πολλῇ δὲ ἀνθρωπίνῃ σπουδῇ καὶ πλείονι τῇ ἐκ Θεοῦ ῥοπῇ ἀνυστὸν διὰ τὰς συνούσας τῷ ἀνθρωπίνῳ βίῳ δυσχερείας. Ὅθεν αὐτοῦ οἱ πλείους ἀποτυγχάνουσι δι’ ἐθελοκακίαν.[690]	3. Προνοεῖ δὲ αὐτοῦ ἁπλῶς εἰπεῖν καὶ ὑπὲρ πάντα τὰ ἄλλα γεννητά, ὅτι τὸ τοῦ ἀνθρώπου ἀγαθὸν ἀσυγκρίτως ὑπέρκειται ἐκείνων καὶ δεῖ τῆς αὐτοῦ σπουδῆς μετὰ τῆς ἐκ Θεοῦ ροπῆς ἀνυστὸν αὐτῷ γενέσθαι, ὅτι πλείστας δυσχερείας τοῦ ἀνθρωπίνου βίου κεκτημένου καὶ ὡς πλεῖστοι μὲν ἐπιτυγχάνουσι τούτου, οἱ πλείους δὲ καὶ ἀποτυγχάνουσι δι’ ἐθελοκακίαν.[691]
4. Εἰ δὲ πολλοὶ ἀποφοιτῶσι τῶν θείων μαθημάτων ἢ οὐδὲ τὴν ἀρχὴν ἐθέλουσι αὐτὰ ζητεῖν, καὶ διὰ τοῦτο ἐνταῦθά τε τυφλοὶ διαπορεύονται, διανοίᾳ καὶ θελήσει	4. …ἀποφοιτῶντες τῶν θείων μαθημάτων, ἢ οὐδὲ θέλοντες τὴν ἀρχὴν ἀνιχνεύειν αὐτά· ἡ προαίρεσις δὲ ἑκάτερον ἐνεργεῖ· οὐδένα γὰρ βιάζεται ὁ Θεὸς ὥστε μὴ βουλόμενον λαβεῖν τὸ ἕτερον, οὐδὲ συνήνεγκεν ἂν οὐδενὶ ἡ ἐπί τι

[685] *Œ* I, 394,32–34.
[686] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 421b–422a.
[687] *Œ* I, 397,34–398,1.
[688] *Œ* I, 394,34–37.
[689] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 422a-b.
[690] *Œ* I, 395,24–29.
[691] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 422b.

διεστραμμέναις φρονοῦντές τε καὶ βιοῦντες.[692]

Οὔτ' ἂν οὖν συνήνεγκεν αὐτοῖς βιάζεσθαι ἐπὶ τὸ ἀγαθὸν, οὔτε οἷόν τε ἦν, ὡς ἂν προαιρέσει δύναιντο χρῆσθαι ἄνθρωποι ὄντες, οὔτε, εἰ μὴ ἄγοιντο πρὸς τἀγαθὸν ἢ ἀπάγοιντο αὐτοῦ βιαζόμενοι, ἀλλ' αἱρούμενοι καὶ ἑκόντες.[693]

Καὶ ἀνάγονταί γε ὡς πλεῖστοι, ἀλλ' οὐδένα βιάζεται ὥστε καὶ μὴ βουληθέντα ἂν λαβεῖν ὅπερ αὐτῷ πρόκειται ἀγαθόν· τοῦτο γὰρ ἀδύνατον ἂν ἦν διὰ τὰ εἰρημένα. Εὐλόγως δὲ καὶ ὁ διττὸς τοῖς ἀνθρώποις τόπος ἡτοίμασται.[694]

5. Σοφώτατα δὲ καὶ τῆς σωματικῆς τοῦ ἀνθρώπου ζωῆς προνοεῖται ζωῆς ἐνταῦθα, οὐ πρὸς αὐτὸ τὸ ζῆν μόνον, ἀλλὰ καὶ ὅπως ἡ ψυχὴ αὐτῷ μήτε ἐμποδίζοιτο ὑπ' αὐτῆς πρὸς τὸ τέλος καὶ ὁδηγοῖτο.[696]

6. Καὶ διὰ τοῦτο ἐνταῦθά τε τυφλοὶ διαπορεύονται, διανοίᾳ καὶ θελήσει διεστραμμέναις φρονοῦντές τε καὶ βιοῦντες ὃν ζωώδη καλοῦμεν βίον, καὶ ἐπειδὰν ἀπαλλαγῶσι τοῦ σώματος, τοῦ μὲν τῇ φύσει κειμένου τέλους οὐκ ἀξιοῦνται, εἰς δὲ τὸν τῆς ἀθλιότητος κατασπῶνται τόπον, ὅς ἐστιν οἰκεῖος τῇ τοιαύτῃ αὐτῶν ζωῇ, τοῦτο οὐ χρὴ θαυμάζειν· οὐ γὰρ παρὰ τὸν θεῖον σκοπόν ἐστι τὸ ἐνδέχεσθαι καὶ τοιούτους εἶναί τινας· μηδὲ ἐνδέχεσθαι γὰρ τοῦτό γε οὐκ ἂν οἷόν τε ἦν, ἕως ἂν ἄνθρωποι ὦσι τῇ φύσει, προαίρεσις δὲ τῶν ἐν ἀνθρώποις τὸ βέλτιστον καὶ ὃ τοῦ ἐν αὐτοῖς ἴδιον λόγου καὶ ᾧ τῇ θείᾳ πῃ ἐξομοιοῦνται ζωῇ.[698]

7. Ἀλλ' εἴτε γινωσκομένων τῶν τελῶν εἴτε ἀγνοουμένων, ἔν τι τοῦτο καὶ πάνυ βέβαιόν ἐστιν, ὡς ἄρα πάντα οἰκείως καὶ κατὰ λόγον

τούτων βία· ἐπεὶ διττὸς ἡτοίμασται τοῖς ἀνθρώποις τόπος, ὅ τε τῆς εὐδαιμονίας, ἵν' ᾖ κληρονομία τοῦ ἑλομένου τὸ ἀγαθὸν, καὶ ὁ τῆς ἀθλιότητος, ἵν' ᾖ τοῦ τὸ πονηρόν.[695]

5. Πρὸς δέ γε τὸ τέταρτον τῆς ἐρωτήσεως ἔστιν εἰπεῖν οὕτως· ὁ Θεὸς τῆς κατὰ τὸ σῶμα ζωῆς τοῦ ἀνθρώπου προνοεῖ οὐ πρὸς αὐτὸ τὸ ζῆν μόνον ὡς ἐπὶ τῶν ἄλλων ζώων, ἀλλὰ καὶ ὅπως ἡ ψυχὴ αὐτῷ μὴ κωλύηται ὑπ' αὐτοῦ πρὸς τὸ τέλος, ἀλλ' ὁδηγεῖται.[697]

6. …εἰ καί τινες ζωώδη βίον ἀνύσαντες καὶ τοῖς ἀνοήτοις ὁμοιωθέντες κτήνεσιν ἀπαξιοῦνται τούτου τοῦ τέλους καὶ εἰς τὸν τῆς ἀθλιότητος παραπέμπονται τόπον, ὅς ἐστιν οἰκεῖος τῇ τοιαύτῃ αὐτῶν ζωῇ· οὐδὲ γὰρ παρὰ τὸν θεῖον σκοπὸν ἐστι τοῦτο, τὸ ἐνδέχεσθαι καί τινας τοιούτους εἶναι· οὐ γὰρ οἷόν τε ἦν μὴ ἐνδέχεσθαι τοῦτο ἀνθρώπους ὄντας τῇ φύσει τῇ αὐτεξουσίῳ προαιρέσει χρωμένους.[699]

7. …ἀλλ' εἴτε γινώσκομεν εἴτε καὶ μή, ἓν τοῦτο καὶ πάνυ βέβαιόν ἐστιν, ὡς ἄρα πάντα οἰκείως καὶ κατὰ τὸν προνοητικὸν λόγον τῷ

[692] *Œ* I, 397,9–12.
[693] *Œ* I, 397,19–22.
[694] *Œ* I, 398,1–4.
[695] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 422b.
[696] *Œ* I, 398,19–21.
[697] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 422b–423a.
[698] *Œ* I, 397,10–19.
[699] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 423a.

τῷ θείῳ περὶ ἕκαστον ὑπουργεῖ σκοπῷ καὶ τῇ πόρρωθεν περὶ αὐτῶ διατάξει τῆς ὑψηλοτάτης προνοίας, καὶ διὰ πάντων ὁ ἄνθρωπος, τῶν τε ὑπ᾽ αὐτοῦ γινομένων τῶν τε ἐπ᾽ αὐτῷ συμβαινόντων ὁποιωσδήποτε ἀπ᾽ ἀρχῆς μέχρι τελευτῆς τοῦ βίου, πρὸς ἥν ποτε προαιρεῖται λῆξιν αὐτός, ἐκ τῆς θείας προνοίας συνδιατάττεται, πάντα ταῖς ἑαυτῆς στρεφούσης οἰκονομίαις, ὅπως αὐτὸς τύχοι τῶν προσηκόντων τῇ ὅλῃ προαιρέσει τοῦ βίου.[700]

θείῳ περὶ ἕκαστον ὑπουργεῖ σκοπῷ καὶ τῇ πόρρωθεν περὶ αὐτῶν διατάξει τῆς ὑψηλοτάτης θείας προνοίας καὶ πάντα τὰ καθ᾽ ἡμᾶς γινόμενα ἢ συμβαίνοντα ἀπ ἀρχῆς μέχρι τέλους τοῦδε τοῦ βίου τῆς θείας ἥρτηται προνοίας καὶ ὑπ᾽ αὐτῆς διατάττεται, πάντα ταῖς ἑαυτῆς στρεφούσης οἰκονομίαις.[701]

8. Οὐδὲν γάρ ἐστι τῶν τοιούτων, ὃ μὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἔγνωστο τῷ Θεῷ τοιῶσδε ἀποβησόμενον. Οὐδὲ γινώσκει μόνον αὐτά, ἐᾷ δὲ ὅπῃ ἔτυχε γίνεσθαι, ἢ τελειοῦσθαι ἢ μὴ τελειοῦσθαι, ἀλλὰ καὶ ὠδὶ γενησόμενα διατάττεται· οὐδὲ τοῦτο μόνον αὖ, ἀλλὰ καὶ τὴν τοιαύτην αὐτῶν τάξιν ἀποπληροῖ καὶ ἀμέσως μόνον καὶ σὺν ὀργάνοις, ὡς εἴρηται.[702]

8. Οὐδὲν γὰρ τῶν τοιούτων ὃ μὴ πόρρωθεν καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς ἔγνωστο τῷ Θεῷ τοιῶσδε ἀποβησόμενον· οὐδὲ γινώσκει μόνον, ἐᾷ δὲ γίνεσθαι ὅπως ποτὲ ἔτυχεν, ἢ τελειοῦσθαι ἢ μὴ τελειοῦσθαι· ἀλλὰ καὶ τὴν τελείωσιν ἑκάστου καὶ σὺν ὁποίᾳ τάξει καὶ τίσι τρόποις καὶ ἀμέσως καὶ σὺν ὀργάνῳ, ὡς εἴρηται, διατάττεται.[703]

9. Καὶ τὸν μὲν ἡ ἀγαθότης τοῦ Θεοῦ ἑτοιμάζει, τῆς δικαιοσύνης αὐτοῦ συμψηφιζομένης (ἀγαθὴ γάρ ἐστι καὶ αὐτή), τὸν δὲ ἡ θεία δικαιοσύνη, τῆς ἀγαθότητος οὐκ ἀντιλεγούσης· καὶ αὐτὴ γὰρ τὰ δίκαια βούλεται.[704]

9. Τὸν μὲν γὰρ τῆς εὐδαιμονίας τόπον ἡτοίμασε τοῖς ἀρίστως βεβιωκόσιν ἡ τοῦ Θεοῦ ἀγαθότης, συμψηφιζομένης καὶ τῆς δικαιοσύνης αὐτοῦ ἀγαθῆς καὶ αὐτῆς οὔσης, τὸν δὲ τῆς ἀθλιότητος τοῖς μὴ τὸν αὐτὸν τρόπον τὸν βίον ἀνύσασιν ἡ θεία δικαιοσύνη, τῆς ἀγαθότητος μὴ ἀνθισταμένης· καὶ αὐτὴ γὰρ τὰ δίκαια βούλεται.[705]

10. …γινωσκόμενα μὲν γὰρ ὅτι οὕτως ἔσται, καὶ ὡρίσθαι οὕτως ἐχρῆν· προγινωσκόμενα δέ καὶ προωρίσθαι δήπου· προωρισμένα δὲ οὕτω, καὶ οὕτω γίνεσθαι, ἐπειδὴ ὡς οὕτως ἐσόμενα, καὶ οὕτω προώριστο· οὔτε γὰρ οἷόν τε ἦν τὸ μέλλον ἀγνοεῖν τὸν Θεόν, ἢ ὑπομένειν ὅπως ἄν τι γένοιτο, ἵνα εἰδῇ…[706]

…ἀορίστων γὰρ οὐκ ἄν ποτε γίνοιτο γνῶσις Θεῷ πρέπουσα.[707]

10. …γινωσκώμενα γὰρ ὅτι οὕτως ἔσται καὶ ὡρίσθαι οὕτως ἐχρῆν, προγινωσκόμενα δ᾽ αὖ καὶ προώρισται δήπου· προωρισμένα δὲ οὕτω καὶ οὕτω γίνεσθαι, ἐπειδὴ δὲ ὡς οὕτως ἐσόμενα καὶ οὕτω προώριστο· οὐ γὰρ ὅσιον εἰπεῖν τὸ μέλλον ἀγνοεῖν τὸν Θεὸν ἢ ὑπομένειν ὅπως ἄν τι γένοιτο, ἵνα γνῶ· ἀορίστων δὲ οὐκ ἄν ποτε γένοιτο γνῶσις Θεῷ πρέπουσα.[708]

---

[700] *Œ* I, 404,4–12.
[701] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 423a.
[702] *Œ* I, 402,15–20.
[703] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 423b.
[704] *Œ* I, 398,16–18.
[705] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 424a–b.
[706] *Œ* I, 407,15–19.
[707] *Œ* I, 408,20–21.
[708] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 425a.

11. Οὔκουν οὐδ’ ἐκεῖνοι τὸν θεῖον προορισμὸν καὶ ἐν τοῖς ἐφ’ ἡμῖν ἀγνοοῦσιν, ὡς μόνων τῶν ἀνθρωπίνων ἐνεργειῶν, ἢ τῷ χείρους εἶναι τῶν ἄλλων οὐχ ὁριζομένων, ἢ τῷ πάνυ βελτίους εἶναι μηδὲ τῇ θείᾳ γνώσει περιλαμβανομένων· ἤκουον γάρ που τοῦ λογίου κεκληκέναι τὸν Θεὸν οὓς προέγνω καὶ προώρισεν, οὗτοι δ’ ἦσαν οἱ ὅσα ἦν ἐπ’ αὐτοῖς θεοφιλῶς προῃρημένοι καὶ πράξαντες. Ἀλλὰ τὸ προορίζειν ἀντὶ τῆς ἀνάγκης λαμβάνουσιν, οὐ πάνυ μὲν ἀκριβῶς ἐφιστῶντες τῷ σημαινομένῳ τῆς λέξεως, ἀκριβῶς δὲ πάνυ φρονοῦντες ,ὡς ὁ θεῖος προορισμὸς οὐκ ἀναγκάζει τὸ αὐτεξούσιον ὡς μηδὲ τοιοῦτο λοιπὸν εἶναι».[709]

Δῆλον δὲ καὶ ὅτι τούτων οὕτως ἐχόντων, οὐδὲν πρὸ τοῦ ἐλέσθαι τὸ βέλτιον ὠφελεῖ ὁ θεῖος προορισμὸς τοὺς προῃρημένους […]. Οὐκοῦν οὐδὲ βλάπτει αὐτοὺς τοῦτό γε. Ἑκόντες ἄρα αἱροῦνται ἀμφότεροι ὅ ποτε αἱροῦνται· διὸ καὶ οἱ μὲν στεφανοῦνται, οἱ δὲ κολάζονται, ὡς ὅλῃ αὐτῶν προαιρέσει τοιοίδε ἀποτελεσθέντες. Καὶ ὁ Θεὸς ἐν οἷς μέν ἐστιν αἴτιος, ἐν οἷς δὲ ἀναίτιος· εἰ δὲ καὶ πάντων αἴτιος, ἀλλ’ οὐδεμιᾶς γε ἀνάγκης ἐν τοῖς προαιρετοῖς· ὡς γὰρ ἔμελλε γίνεσθαι καὶ ὡς ἐπεφύκει ἕκαστα γίνεσθαι ἢ ποιεῖν, οὕτω προέγνωστο τῷ Θεῷ καὶ προώριστο, καὶ τὴν θείαν περὶ ἁπάντων βούλησιν εἰκός ἐστιν ἐμπλέκεσθαι τοῖς τοιούτοις, ὅπου μὲν ἀναγκάζουσαν, ὅπου δὲ συνεργοῦσαν μόνον, ὅπου δὲ συγχωροῦσαν ἐπ’ ὠφελείᾳ, ὅπου δὲ ἐγκαταλείπουσαν τέλεον.[710]

11. Οὔκουν οὐδέτερος τῶν θείων τούτων πατέρων ἐκβάλλει ἢ ἀγνοεῖ τὸν θεῖον προορισμὸν ἕως ἂν καὶ τὴν θείαν πρόγνωσιν ὁμολογῶσιν· οὐ γὰρ ἀνήκοοι τοῦ λογίου εἰσὶ λέγοντος «οὓς προέγνω καὶ προώρισεν». Ὁ γέ τοι θεῖος προορισμὸς οὐκ ἀναγκάζει τὸ αὐτεξούσιον, διὸ καὶ οὔτε ὠφελεῖ τοὺς προῃρημένους τὰ βελτίω οὔτε βλάπτει τοὺς τὰ χείρω· ἑκόντες γὰρ αἱροῦνται ἀμφότεροι ὅ ποτε αἱροῦνται· διὸ καὶ οἱ μὲν στεφανοῦνται, οἱ δὲ κολάζονται, ὡς ὅλῃ αὐτῶν προαιρέσει τοιοίδε ἀποτελεσθέντες καὶ ὡς ἐπεφύκει ἕκαστος ἀποταλεσθήσεσθαι ἔμελλεν, οὕτω καὶ πρέγνωστο καὶ προώριστο τῷ Θεῷ καὶ ὡς ἡ θεία βούλησις, μᾶλλον δ’ εἰπεῖν ὡς ἡ θεία δικαιοσύνη καὶ ἀγαθότης μέλλει τὰ κατ’ αὐτοὺς ἀποτελέσειεν ἐν τῷ ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἀγαθὰ μὲν τοῖς ἑλομένοις τὸ ἀγαθὸν, πονηρὰ δὲ τοῖς τὸ πονηρόν, ὧν πάντων ὁ Θεὸς αἴτιος καὶ ἀναίτιος· τὸ μὲν ὅτι πάντα ἐνεργεῖ καὶ διοικεῖ καὶ ἑτοιμάζει καὶ δικάσει καὶ ἀποδώσει καὶ ἕκαστον πρὸς τὸ οἰκεῖον παραπέμψει τέλος· τὸ δὲ ὅτι οὐδ’ ἴχνος ἀνάγκης τινὸς ἐπάγει τῇ προαιρέσει ἀλλ’ αὐτεξουσιότητι γνώμης καὶ προαιρέσεως αἱρεῖται ἕκαστος ὁπότερον ἂν προέλοιτο.[711]

[709] *Œ* I, 408,27–35.
[710] *Œ* I, 407,27–408,9.
[711] ΛΑΥΡΕΩΤΗΣ / ΕΥΣΤΡΑΤΙΑΔΗΣ 1925, 425a.

ABSTRACT

I. Kassidis

George Gennadios II - Scholarios' "On the Divine Providence and Predestination": an Annotated Critical Edition.

PhD thesis
Dept. of History, Ionian University
Corfu, Greece
2023

My critical edition of George Gennadius II - Scholarius' (c. 1400 - 1472) five discourses *On the Divine Providence and Predestination* is based on the 15th century codices *Parisinus Graecus* 1289, 1294, 1292, *Vaticanus Rossianus* 986 and *Pantocratorinus* 127**.** Their relevant parts either are autographs or were written under Scholarios' supervision; the latter holds for the first Discourse in *Vat. Ross*. 986, written by Scholarios' scribe John Dokeianos, and for the Second Discourse in *Parisinus Graecus* 1289, written by George Amiroutzis.

The Introduction offers a sketch of the historical, philosophical, and theological context within which the five Discourses were produced; it is argued that we witness the transformation of the divine providence issue from a particular topic in the context of the late Byzantine Plato - Aristotle controversy to a central theme of a new, both (philosophical and theological, controversy between Scholarios on the one hand and both Plethon and erring Christian theologians on the other. This is shown by means of a full-fledged presentation and systematic comparison of certain passages from the relevant texts, written by Scholarios (*Κατὰ τῶν Πλήθωνος ἀποριῶν ἐπ' Ἀριστοτέλει*, *Πρὸς Πλήθωνα ἐπὶ τῇ πρὸς τὸ ὑπὲρ Λατίνων βιβλίον αὐτοῦ ἀπαντήσει ἢ κατὰ Ἑλλήνων*, *Ἐπιστολὴ τῇ βασιλίσσῃ περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ*, *Περὶ τοῦ βιβλίου του Γεμιστοῦ καὶ κατὰ τῆς Ἑλληνικῆς πολυθεΐας* και *Περὶ τοῦ ἑνὸς ἐν Τριάδι Θεοῦ ἡμῶν καὶ πάντων τῶν ὄντων δημιουργοῦ, καὶ κατὰ ἀθέων ἤτοι αὐτοματιστῶν καὶ κατὰ πολυθέων)* and others shortly before, or by and large at the same time as, the five *Discourses* (such as Theodore Agallianus' *Περὶ προνοίας*).

The two major figures in this intellectual wage-war, namely Plethon and Gennadius, converged in arguing that getting back to the true 'ancient doctrines' was the only way for the regeneration and prosperity of the Greek nation and humanity. Still, they fiercely disagreed as to what these πάτρια δόγματα actually are, what the correct "religious" or "philosophical" truth is. Plethon looked forward to the revival and continuation of pagan Hellenism on the basis of *εἱμαρμένη*, whereas Scholarios believed in the survival and salvation of the Christian Greeks by means of returning to the strict application of the moral rules of Christianity and the laws of the 'kingdom of the Romans' in the framework of the –Christian-, not Stoically-conceived– 'divine Providence'.

Regardless of the relative relevance of the purely historical and ideological context of the discussion in Scholarios' *Discourses on Divine Providence and Predestination*, it is further argued that we cannot claim in a naively reductionist way that their doctrine can be accounted for in terms of their context. Unlike what some of the older and contemporary scholarly-like accounts of Scholarios' writings assume, there is no evidence that the external canvas, i.e. the conflict between Byzantium and the Ottomans or Christianity and Islam, shaped Scholarios' doctrine. As is the case with speculative (philosophical and theological) discourse in general, the true, direct context of the doctrine of Scholarios' five Discourses is the set of the relevant writings on, and discussions of, the core issues by other, Greek and Latin, authors available to him.

In Part One, each Discourse is presented in detail, with a parallel recording, of the particular issues raised: providence and determinism; providence and foreknowledge; predestination vs. human deliberation; the question of the usefulness of praying; Anastasius of Sinai's opposition

to Basil the Great's 'deterministic', so to speak, view of Providence; pestilence as a case of autonomous action of natural laws within the Providence framework, etc.

Moreover, a detailed investigation into the sources of Gennadius, distinguished as Greek and Thomist, is carried out. Gennadius had a wide and deep knowledge of the Christian and pagan Greek literature on the issue: Mark Eugenicus, Demetrius Cydones, Nikephoros Blemmydes; Nicholas of Methone, Michael Glykas, Germanos I of Constantinople; Proclus, Basil of Caesarea, Anastasios of Sinai, Theodoret of Cyrrhus, and Theodore of Mopsuestia. Some of these authors are seen by Scholarios as deserving the label 'theologians', on account of their knowledge of philosophy, which enabled them to properly interpret the fundamental textual source of Christianity, i.e. the Bible. Of course, this does not imply that all of them agreed with each other or that Scholarios felt obliged to agree with this or that 'theologian'. Some others, he explained, dared to treat of the above issues without being qualified for this. The fact that they were saints is not a remedy for their being unqualified.

Thomas Aquinas is, to Scholarios, the best-qualified of all. This accounts for Scholarios' extensive use of Thomas. Scholarios worked like this. On the one hand, he used the patristic sources he considered correct as 'auctoritates'; on the other, he exploited Thomas as the proper theologian, i.e., the interpreter of the 'auctoritates'. The distinction between 'teachers' and 'theologians' is drawn by Thomas himself as well as by Demetrius Kydones, who was the main transmitter of Aquinas' oeuvre in Byzantium. So, the apparatus fontium, along with the Adnotationes, where the passages used by Scholarios are fully quoted, shows that our author draws extensively upon the *Summa contra Gentiles*, Bk. III and the *Summa Theologiae*, Ia, especially Qu. 19 [On the divine will], 22 [On the divine providence] and 23 [On predestination]. When writing the first of his five Discourses, Scholarios had access to the full version of Cydones' translation of these two Thomistic works; as for the remaining Discourses, Scholarios was based on his own epitomes of Cydones' translation of these two theological works.

Moreover, I offer an analysis of Scholarios' doctrine. I argue that Scholarios clearly argues for God' predestination of man, but in a way that does not cancel man's self-determination; this was a view shared, with a number of variations, by the majority of the Greek Fathers and Byzantine scholars. Moreover, unlike the Aristotelianism that permeates the relevant views of Marcus Eugenicus, who considered *βουλεύεσθαι* a cause parallel to, and independent of, divine providence, Scholarios is in sync with Thomas' neoplatonizing Aristotelianism, where *βουλεύεσθαι* is not only known by the transcendental God in advance but also determined by Him, though in such a way that its free nature be not removed.

Scholarios' deep knowledge of the philosophical and theological tradition of the question of divine providence and predestination led him to consider and present himself as the unerring guide on the issue, granted, we might say, this right to himself even before others grant it to him.

In Part Two, I meticulously present the manuscript tradition of the text of the five Discourses. A description of the five 15th century codices used for the edition is offered, followed by a description of the later extant codices.

In the history of the dissemination (*disseminatio*) of the text of the Discourses, the tradition stemming from cod. *Par. gr*. 1289 clearly prevails. The fifth *Discourse* enjoyed no dissemination at all; this was perhaps due to the fact that Scholarios did not include it in the emblematic autographed set of writings in cod. *Par. Gr*. 1289. This, in turn, may be due to the fact that the fifth Discourse emerged in a context different from that of the previous ones; he is a simply a theoretical defence of praying to God against Predestination.

In the stemma codicum I also include all printed versions of the works edited. Based on all of the above, the *ratio editionis* is offered given. Part Two also includes a section dealing with the issue of how Scholarios himself marked his own quotations of passages.

Part Three includes the critical edition of the Discourses. Three apparatuses are offred: two apparatus fontium and an apparatus criticus. Because of Scholarios' extensive use of Aquinas' *Summa theologiae*, Ia and *Summa contra Gentiles* as well as of the two *Florilegia Thomistica* compiled by himself, the apparatus fontium is divided into apparatus fontium variorum and apparatus fontium Thomisticorum. The former includes the Scriptural passages and passages from the works of Church Fathers and Byzantine authors used by Scholaros, while the latter includes Thomistic passages. The reason for the distinction is not only practical but also substantial: it reflects the way in which Scholarios resorted to the sources he used: the first apparatus fontium includes the Christian *auctoritates*, i.e. those texts that contain Christian doctrine but require interpretation by theologians in order for that doctrine to be grasped unerringly; the second one includes passages from the works of Thomas, who, according to Scholarios, is the best theologian ever. In fact, the Scholastic distinction between teacher and theologian makes the construction of two apparatus fontium obligatory. It also explains why Scholarios nowhere mentions Thomas in his Discourses: the reason is that Scholarios mentions only *auctoritates* that needed to be clarified or interpreted; Thomas does not need clarification or interpretation; it is he who clarifies and interprets.

The apparatus criticus includes all the *variae lectiones* as well as everything written in the margins of the codices. This or that misreading in M. Jugie's old edition (1928) or in certain even earlier editions is not included. I also offer a partially new division of the writings into paragraphs.

The Adnotationes are supposed to make it easier for the reader to compare the passages referred to to the Scholarian writings edited here, so that the reader be enabled to fully understand the exact way in which Scholarios composed his texts.

An Appendix presents in an exhaustive way Theodore Agallianos' so far undetected borrowings from Mark Eugenicus' *Ἐπιστολὴ πρὸς Ἰσίδωρον ἱερομόναχον, περὶ ὅρων ζωῆς αἰτήσαντα* and from Scholarios' *Περὶ θείας προνοίας καὶ προορισμοῦ, σπουδαῖον* in Agallianos' *Περὶ θείας προνοίας*. This highlights the earliest instance of reception of the set of Scholarian writings edited critically in Part III.